



HERODOTOS.

FÜR DEN SCHULGEBRAUCH ERKLÄRT

VON

Dr. K. ABICHT,

OBERLEHRER AM GYMNASIUM ZU EMDEN.

FÜNFTER BAND.

BUCH VIII, IX UND ZWEI INDICES.

MIT ZWEI KARTEN.

(1. SEESCHLACHT BEI SALAMIS. 2. PLAN VON PLATAEAE.)



LEIPZIG,

DRUCK UND VERLAG VON B. G. TEUBNER.

1866.

VORWORT.

Es sind diesem Bande, dem fünften und letzten, zwei Karten (Plan der Schlachten bei Salamis und Plataeae) so wie zwei Indices angefügt; der erstere enthält ein Verzeichnis der bei Herodot vorkommenden Völker-, Personen-, Orts-, Fluss-, Gebirgsnamen, der zweite besteht aus einem grammatischen Register, in welchem die wesentlichsten Eigentümlichkeiten des herodoteischen Sprachgebrauchs kurz zusammengestellt sind. Wir hoffen, dasz namentlich durch das letztere die Brauchbarkeit der Ausgabe wird erhöht werden.

Angeschlossen ist ferner ein revidiertes Verzeichnis sämtlicher (wichtigeren) Lesarten, in welchen diese Ausgabe vom Text der Teubnerschen (durch R. Dietsch besorgten) abweicht; doch sind die zahlreichen dialectischen Aenderungen nicht mit aufgeführt; die Erklärung derselben gibt die dem ersten Bande vorangeschickte Uebersicht über den Dialect.

Emden, im Juli 1866.

K. Abicht.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΟΓΔΟΗ.

ΟΙ ΔΕ Ἑλλήνων ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντες ἦσαν 1
οἵδε· Ἀθηναῖοι μὲν νέας παρεχόμενοι ἑπτὰ καὶ εἴκοσι καὶ ἑκατόν· ὑπὸ δὲ ἀρετῆς τε καὶ προθυμίης Πλαταιέες, ἄπειροι τῆς ναυτικῆς ἐόντες, συνεπλήρουν τοῖσι Ἀθηναίοισι τὰς νέας· Κορίνθιοι δὲ τεσσεράκοντα νέας παρείχοντο, Μεγαρέες δὲ εἴκοσι. καὶ Χαλκιδέες ἐπλήρουν εἴκοσι Ἀθηναίων σφι παρεχόντων τὰς

Die Kämpfe bei Artemision (c. 1—21). Aufzählung der griechischen Schiffe. Streit der Lakedämonier und Athener um die Hegemonie. Themistokles verhindert durch Bestechung des Eurybiades und Adeimantos den Abzug der griechischen Flotte von Euboia.

1. 1. *οἵδε Ἑλλήνων ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντες ἦσαν οἵδε.* Dasz die griech. Flotte bei Artemision, das Landheer bei den Thermopylen aufgestellt war, hat Herod. schon oben angegeben. Vgl. VII 175 *ταῦτα* (i. e. *αἱ Θερμόπυλαι καὶ τὸ Ἀρτεμίσιον*) *γὰρ ἄγχου τε ἀλλήλων ἐστὶ ὥστε πυνθάνεσθαι τὰ κατ' ἑκατέρους ἐόντα.* Daran schlosz sich die Beschreibung des Landkampfes um Thermopylae (VII 202—233), mit welcher das siebente Buch abschlieszt. Der Anfang des achten (c. 1—18) enthält die Schilderung der beiden Seegefechte von Artemision, welche in denselben Tagen wie die Kämpfe bei Thermopylae stattfanden. (Vgl. c. 15 *συνέπιπτε ὥστε τῇσι αὐτῇσι ἡμέρῃσι τὰς ναυμαχίας γενέσθαι ταύτας καὶ τὰς πεζομαχίας τὰς ἐν Θερμοπύλῃσι*). *ἐς τὸν — στρατὸν ταχθέντες.* Dieselbe Wendung VII 21 *οἱ μὲν γὰρ νέας παρείχοντο, οἱ δὲ ἐς τὸν πεζὸν ἐτετάχατο.* So öfter.

2. *ἑπτὰ—ἑκατόν.* Später schickten die Athener noch 53 nach (c. 14), so dasz sie im Ganzen 180 stellten (genau so viel wie bei Salamis, vgl. c. 44). Diodor (XV 78) und Nepos (Themist. c. 3) geben die Gesammtzahl von 200 an, wobei die 20 von den Chalkidensern bemannten mitgerechnet sind. Vgl. c. 61.

3. *ὑπὸ δὲ ἀρετῆς.* *ὑπὸ* c. Genet. bezeichnet auch die wirkende Ursache (= wegen). Vgl. I 24 *ὑπ' ἀπιστίης* I 85 *ὑπὸ δέους*, unt. c. 79 *ὑπὸ μεγάθεος τῶν παρεόντων κακῶν.* — *Πλαταιέες* vgl. c. 138 *οὖρος, Βέρμιον οὔνομα, ἄβατον ὑπὸ* (= vor) *χειμῶνος.*

6. *Χαλκιδέες.* In Chalkis auf Euboia hatten sich athenische *κληροῦχοι* als Ansiedler niedergelassen;

νέας, Αἰγινῆται δὲ ὀκτωκαίδεκα, Σικυώνιοι δὲ δυώδεκα, Λα-
κεδαιμόνιοι δὲ δέκα, Ἐπιδαύριοι δὲ ὀκτὼ, Ἐρετριέες δὲ ἑπτὰ,
Τροιζήνιοι δὲ πέντε, Στυρέες δὲ δύο καὶ Κεῖοι δύο τε νέας
καὶ πεντηκοντέρους δύο. Λοκροὶ δέ σφι οἱ Ὀπούντιοι ἐπεβώ-
2 θεον πεντηκοντέρους ἔχοντες ἑπτά. Ἦσαν μὲν ὦν οὗτοι οἱ
στρατευόμενοι ἐπ' Ἀρτεμίσιον, εἴρηται δέ μοι καὶ ὅσον πλῆθος
ἕκαστοι τῶν νεῶν παρείχοντο. ἀριθμὸς δὲ τῶν συλλεχθεισέων
νεῶν ἐπ' Ἀρτεμίσιον ἦν, πάρεξ τῶν πεντηκοντέρων, μία καὶ
ἑβδομήκοντα καὶ διηκόσιαι. τὸν δὲ στρατηγὸν τὸν τὸ μέγιστον
κράτος ἔχοντα παρείχοντο Σπαρτιῆται Εὐρυβιάδην τὸν Εὐρυ-
κλείδεω. οἱ γὰρ σύμμαχοι οὐκ ἔφασαν, ἢν μὴ ὁ Λάκων ἡγε-
μονεύῃ, Ἀθηναίοισι ἕψεσθαι ἡγεομένοισι, ἀλλὰ λύσειν τὸ
3 μέλλον ἔσεσθαι στράτευμα. Ἐγένετο γὰρ κατ' ἀρχὰς λόγος,
πρὶν ἢ καὶ ἐς Σικελίην πέμπειν ἐπὶ συμμαχίην, ὡς τὸ ναυτι-
κὸν Ἀθηναίοισι χρεὼν εἴη ἐπιτράπειν. ἀντιβάντων δὲ τῶν
συμμάχων εἶκον οἱ Ἀθηναῖοι, μέγα πεποιημένοι περιεῖναι τὴν
Ἑλλάδα, καὶ γνόντες, εἰ στασιάσουσι περὶ τῆς ἡγεμονίης, ὡς
ἀπολέεται ἡ Ἑλλὰς, ὀρθὰ νοεῦντες· στάσις γὰρ ἔμφυλος

da sie als solche athenische Bürger blieben, so waren sie auch zum Kriegsdienst verpflichtet. Vgl. VII 100. Genaueres über die κληροῦχοι s. z. V 77.

3. Στυρέες hieszen die Einwohner von Styra, einer kleinen Stadt auf der Südwestküste Euboia's. — Κεῖοι, die Bewohner der Kyklade Keos (j. Zea). νέας näml. Trieren, die schon in dieser Zeit gewöhnlich zu Kriegsschiffen gebraucht wurden, während früher meist πεντεκόντεροι (att. πεντηκόντοροι) in Gebrauch gewesen waren.

4. Λοκροὶ — Ὀπούντιοι, so genannt von ihrer Hauptstadt Opus. Ihr nur etwa 5 Quadratmeilen grosses, übrigens sehr fruchtbares Ländchen muss eine nicht unbedeutende Einwohnerzahl gehabt haben, da sie bei Thermopylae 6000 Mann ins Feld stellten. (S. z. VII 203.)

ἐπεβώθεον. S. z. c. 92.

2. 6. ἐπ' Ἀρτεμίσιον. Ueber die Lage vgl. VII 176.

8. μία — διηκόσιαι. Vgl. Diod. XI 12 οἱ δ' Ἕλληνες ὥρμουν μὲν ἐπ' Ἀρτεμισίῳ τῆς Εὐβοίας, εἶχον δὲ τὰς πάσας τριήρεις διακοσίας καὶ ὀγδοήκοντα, wobei also die neun Pentekonteren in die Zahl der Trieren miteingerechnet sind.

11. οὐκ ἔφασαν negaverunt. Vgl. οὐκ ἔα vetuit (c. 36).

3. 13. κατ' ἀρχάς adverbial wie VII 88. 120. IX 22.

14. πρὶν ἢ — πέμπειν. Im Attischen würde ἢ fehlen, während Her. fast durchgängig πρὶν ἢ verbindet. Als Subiect zu πέμπειν schwebt τοὺς Ἕλληνας vor. Zur Sache vgl. VII 145. 153. 157.

3. 16. μέγα πεποιημένοι (= ποιησάμενοι). Vgl. V 24 Ἱστιαῖος μέγα ποιεύμενος σύμβουλος γενέσθαι βασιλέος. Aehnlich IX 111.

18. ὀρθὰ νοεῦντες. Diese Worte, welche ein Urteil des Schriftstellers enthalten, erwarteten wir in selbständiger Satzform; statt dessen sind sie in Form eines appositiven Particips in die Construction des vorhergehenden Satzes hineingezogen, dessen Form doch die rein objectiv erzählende ist. Ganz wie hier c. 10 ἀνῆγον καὶ αὐτοὶ τὰς νέας ἐλπίσαντές σφεας εὐπετέως αἱρήσειν, οἰκότα κάρτα ἐλπίσαντες.

*πολέμου ὁμοφρονέοντος τοσούτῳ κάκιόν ἐστι, ὅσῳ πόλεμος εἰρή-
νης. Ἐπιστάμενοι ὦν αὐτὸ τοῦτο οὐκ ἀντέτεινον, ἀλλ᾽ εἶκον,
μέχρι ὅσου κάρτα ἐδέοντο αὐτῶν, ὡς διέδεξαν. ὡς γὰρ δὴ
ὠσάμενοι τὸν Πέρσην περὶ τῆς ἐκείνου ἤδη τὸν ἀγῶνα ἐποι-
εῦντο, πρόφασιν τὴν Πανσανίεω ὕβριν προϊσχόμενοι ἀπείλοντο
τὴν ἡγεμονίην τοὺς Λακεδαιμονίους. ἀλλὰ ταῦτα μὲν ὕστερον
ἐγένετο· Τότε δὲ οὗτοι οἳ καὶ ἐπ᾽ Ἀρτεμίσιον Ἑλλήνων ἀπι-* 4
*κόμενοι ὡς εἶδον νέας τε πολλὰς καταχθείσας ἐς τὰς Ἀφετὰς
καὶ στρατιῆς ἅπαντα πλέα, ἐπεὶ αὐτοῖσι παρὰ δόξαν τὰ πρή-
γματα τῶν βαρβάρων ἀπέβαινε ἢ ὡς αὐτοὶ κατεδόκεον, καταρ-
ρωδήσαντες δρησμὸν ἐβουλεύοντο ἀπὸ τοῦ Ἀρτεμισίου ἔσω ἐς*

1. *πολέμου ὁμοφρονέοντος.* *πόλεμος* ist hier personificiert.

κάκιόν ἐστι. Ein substantiviertes adjectivisches Neutrum als Prädicat wie III 36 *σοφὸν δὲ ἡ προμήθεια.* Ursprünglich schwebt bei prädicativisch gebrauchten adjectivischen Neutris das Substantiv *χρῆμα* vor.

2. *αὐτὸ τοῦτο* „eben dieses“.

3. *μέχρι ὅσου* eig. „bis zu welcher Zeit“, d. h. solange als. Vgl. c. 84 *μέχρι κόσου ἔτι πρύμνην ἀνακρούσεσθε.*

ἐδέοντο indigebant. Subject: *οἱ Ἀθηναῖοι.* — *αὐτῶν, τῶν συμμάχων.*

ὡς διέδεξαν· (att. *διέδειξαν*) „wie sie es klar an den Tag legten“. Aehnlich steht *διέδεξαν* IX 58. Vgl. auch VII 172 *ὠσάμενοι.* Vgl. IX 25 *ὤσαντο τὴν ἵππον προσβαλοῦσαν.*

4. *περὶ τῆς ἐκείνου* erg. *γῆς.* Es ist vornehmlich an Kleinasien zu denken.

5. *πρόφασιν — προϊσχόμενοι.* Vgl. VI 137 *καὶ οὕτω ἐξελαύνειν αὐτοὺς οὐδεμίην ἄλλην πρόφασιν προϊσχομένους τοὺς Ἀθηναίους.* Vgl. unt. c. 111 *προΐσχεσθαι λόγον.*

ἀπείλοντο — Λακεδαιμονίους. Zur Construction von *ἀπαιρέεσθαι* vgl. VII 104 *οἵ με τιμήν τε καὶ γέρεα ἀπελόμενοι πατρώια ἄπολίν τε καὶ φυγάδα πεποιήκασι.*

6. *ὕστερον.* Nach der Einnahme von Byzanz 477 v. Chr. Wie es kam, dasz die Hegemonie von den Lakedämoniern auf die Athener übergieng, erzählt ausführlich Thukyd. I 95. Vgl. ebend. c. 96 *οἱ Ἀθηναῖοι παρέλαβον τὴν ἡγεμονίαν ἑκόντων τῶν συμμάχων διὰ τὸ Πανσανίου μῖσος.*

4. 7. *οἱ καὶ ἐπ᾽ Ἀρτεμίσιον Ἕλληνες ἀπικόμενοι — καταρρωδήσαντες δρησμὸν ἐβουλεύοντο.* *καὶ* weist auf VII 207 zurück: *οἱ δὲ ἐν Θερμοπύλῃσι Ἕλληνες — καταρρωδέοντες ἐβουλεύοντο περὶ ἀπαλλαγῆς.*

8. *καταχθείσας.* Das passivische *κατάγεσθαι* wird, wie lat. appelli, vom Schiffe gesagt (vgl. lat. navis appellitur), dagegen entspricht *κατάγειν νέα,* oder auch das absolut gebrauchte *κατάγειν,* dem lat. navem appellere. Vgl. c. 41 *οἱ δὲ κατέσχον ἐς τὴν Σαλαμῖνα.*

τὰς Ἀφετάς. *Ἀφεταί,* Stadt auf der Halbinsel des Pagasäischen Meerbusens, in deren Nähe die Perserflotte geankert hatte. Ueber die Beibehaltung der Aspirate s. z. VII 193.

10. *ἢ ὡς αὐτοὶ κατεδόκεον.* Derselbe Gedanke liegt schon in *παρὰ δόξαν.* Die gleiche Abundanz I 79 *ὡς οἱ παρὰ δόξαν ἔσχε τὰ πρήγματα ἢ ὡς αὐτὸς κατεδόκεε.* *καταδοκέειν* ist unattisch; *κατά* verstärkt das einfache *δοκέειν.* Wie hier c. 69. Vgl. *καταφρονέειν* (c. 10), *κατελπίζειν* (c. 146).

11. *ἔσω ἐς τὴν Ἑλλάδα* „in das Innere von Griechenland“. Dieselbe (unattische) Verbindung von *ἔσω ἐς*

τὴν Ἑλλάδα. γνόντες δέ σφεας οἱ Εὐβοέες ταῦτα βουλευομένους ἐδέοντο Εὐρυβιάδεω προσμεῖναι χρόνον ὀλίγον, ἔστ' ἂν αὐτοὶ τέκνα τε καὶ τοὺς οἰκέτας ὑπεκθέωνται. ὡς δὲ οὐκ ἔπειθον, μεταβάντες τὸν Ἀθηναίων στρατηγὸν πείθουσι Θεμιστοκλέα ἐπὶ μισθῷ τριήκοντα ταλάντοισι, ἐπ' ᾧ τε καταμείναντες πρὸ τῆς Εὐβοίης ποιήσονται τὴν ναυμαχίην. Ὁ δὲ Θεμιστοκλέης τοὺς Ἕλληνας ἐπισχεῖν ὧδε ποιέει· Εὐρυβιάδῃ τούτων τῶν χρημάτων μεταδιδοῖ πέντε τάλαντα ὡς παρ' ἑωυτοῦ δῆθεν διδούς. ὡς δέ οἱ οὗτος ἀνεπέπειστο, Ἀδείμαντος γὰρ ὁ Ὠκύτου Κορινθίων στρατηγὸς τῶν λοιπῶν ἤσπαιρε μοῦνος, φάμενος ἀποπλώσεσθαί τε ἀπὸ τοῦ Ἀρτεμισίου καὶ οὐ παραμενέειν, πρὸς δὴ τοῦτον εἶπε ὁ Θεμιστοκλέης ἐπομόσας· Οὐ σύ γε ἡμέας ἀπολείψεις, ἐπεί τοι ἐγὼ μέζω δῶρα δώσω, ἢ βασιλεὺς ἄν τοι ὁ Μήδων πέμψειε ἀπολιπόντι τοὺς συμμάχους. Ταῦτά

VI 33 *οἴχοντο ἀποπλώοντες ἔσω ἐς τὸν Εὔξεινον πόντον.* Ebenso IV 34. Zur Sache vgl. VII 207.

3. *τέκνα τε καὶ τοὺς οἰκέτας.* Dieselbe Zusammenstellung c. 41. Vgl. dagegen c. 60 *ἐς Σαλαμῖνα ἡμῖν ὑπεκκέεται τέκνα τε καὶ γυναῖκες.* c. 56 erklärt Herod. *οἰκέται* durch *τέκνα τε καὶ γυναῖκες*, wie denn durch *οἰκέται* der ganze Hausstand (Weiber, Kinder, Sclaven) bezeichnet werden kann (= *πανοικία*). Vgl. c. 106.

5. *ἐπὶ* verbinde mit *τριήκοντα ταλάντοισι*, wozu *μισθῷ* prädicative Apposition ist = um 30 Tal. als Belohnung. Vgl. V 65 *οἱ Πεισιστρατίδαι παρέστησαν ἐπὶ μισθῷ τοῖσι τέκνοισι*, auch I 160.

ἐπ' ᾧ τε (att. *ἐφ' ᾧτε*) unter der Bedingung dass wird entweder wie hier mit Indic. Fut. (VII 153) oder mit Infin. verbunden (VII 154). — Dasz die Verteidigung der Strasze von Euboia sowol zur Behauptung von Thermopylae als im Interesse des allgemeinen Angriffsplans durchaus notwendig sei, ist sicherlich Themistokles nicht verborgen geblieben; er hat daher vermutlich schon vorher, ehe ihm jene 30 Tal. zur Verfügung gestellt wurden, alles aufgeboten, die so günstige Position bei Artemision zu halten. Nachdem er sich endlich mit Widerstreben dem Beschlusz der übrigen hatte fügen müssen, konnten ihm die Geschenke der Euboier, als letztes, diesmal wirksames Mittel zur Erreichung seines Zwecks nur willkommen sein.

5. 7. *ἐπισχεῖν* verweilen, auch c. 23. 66. 100.

8. *ὡς — δῆθεν διδούς. δῆθεν* dem Vorgeben nach. Wie hier c. 6.

παρ' ἑωυτοῦ de suo. Vgl. VII 29 *παρ' ἐμεωυτοῦ δοὺς τὰς ἑπτὰ χιλιάδας.*

9. *γάρ* im vorgeschobenen Satze. Auch bei Herodot geht wie bei Homer häufig der begründende Satz mit *γάρ* dem zu begründenden voran, welchem er doch logisch untergeordnet ist. Auf *Ἀδείμαντος* weist unt. (12) *πρὸς δὴ τοῦτον* zurück. Mit der ganzen Periode vgl. die ähnliche VI 109: *ὡς δὲ δίχα τε ἐγίνοντο καὶ ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα (ἦν γὰρ ἑνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ λαχὼν Ἀθηναίων πολεμαρχέειν Καλλίμαχος Ἀφιδναῖος) πρὸς τοῦτον ἐλθὼν Μιλτιάδης ἔλεγε τάδε.* Vgl. unt. c. 8. 105. 137.

10. *ἤσπαιρε* reluctabatur. *ἀσπαίρειν* in erster Bedeutung IX 120.

14. *ταῦτά τε ἅμα ἠγόρευε καὶ πέμπει.* Durch die Parataxis

τε ἅμα ἠγόρευε καὶ πέμπει ἐπὶ τὴν νέα τὴν Ἀδειμάντου τάλαντα ἀργυρίου τρία. οὗτοί τε δὴ πληγέντες δώροισι ἀναπεπεισμένοι ἦσαν, καὶ τοῖσι Εὐβοεῦσι ἐκεχάριστο, αὐτός τε ὁ Θεμιστοκλέης ἐκέρδηνε, ἐλάνθανε δὲ τὰ λοιπὰ ἔχων, ἀλλ' ἠπιστέατο οἱ μεταλαβόντες τούτων τῶν χρημάτων, ἐκ τῶν Ἀθηνέων ἐλθεῖν ἐπὶ τῷ λόγῳ τούτῳ τὰ χρήματα.

Οὕτω δὴ κατέμεινάν τε ἐν τῇ Εὐβοίῃ καὶ ἐναυμάχησαν. 6
ἐγένετο δὲ ὧδε· ἐπείτε δὴ ἐς τὰς Ἀφετὰς περὶ δείλην πρωΐην γινομένην ἀπίκατο οἱ βάρβαροι, πυθόμενοι μὲν ἔτι καὶ πρότερον περὶ τὸ Ἀρτεμίσιον ναυλοχέειν νέας Ἑλληνίδας ὀλίγας, τότε δὲ αὐτοὶ ἰδόντες, πρόθυμοι ἦσαν ἐπιχειρέειν, εἴ κως ἕλοιεν αὐτάς. ἐκ μὲν δὴ τῆς ἀντίης προσπλώειν οὔ κώ σφι ἐδόκεε τῶνδε εἵνεκεν, μή κως ἰδόντες οἱ Ἕλληνες προσπλώοντας ἐς φυγὴν ὁρμήσειαν, φεύγοντάς τε εὐφρόνη καταλάβοι· καὶ ἔμελ-

wird die Gleichzeitigkeit des ἀγορεύειν und πέμπειν schärfer ausgedrückt. Vgl. I 112 ἅμα δὲ ταῦτα ἔλεγε ὁ βουκόλος καὶ ἐκκαλύψας ἀπεδείκνυε und III 135 ταῦτα εἶπε καὶ ἅμα ἔπος τε καὶ ἔργον ἐποίεε. Vgl. unser Deutsches: Gesagt, getan. Vgl. unt. c. 56. IX 57.

2. πληγέντες δώροισι eigentl. perculsi i. e. capti muneribus. πλήσσεσθαι ist in dieser Bedeutung und Verbindung nur noch bei Plut. Demosth. c. 25 nachweisbar: πληγεὶς ὑπὸ τῆς δωροδοκίας.

4. ἀλλ' mit Beziehung auf den in ἐλάνθανε (= οὐκ ἐγένετο φανερός) enthaltenen negativen Begriff.

ἠπιστέατο. ἐπίστασθαι heiszt oft bei Her. wie auch εἰδέναι glauben. Vgl. c. 25. 88.

6. ἐπὶ τῷ λόγῳ τούτῳ, zu solchem Zweck (der Verteilung unter die Feldherrn). λόγος hat öfter die Bedeutung von consilium. Vgl. III 36 κατακρύπτουσι τὸν Κροῖσον ἐπὶ τῷδε τῷ λόγῳ.

Eine Abteilung der persischen Flotte umschifft Euboia, um den Griechen in den Rücken zu fallen. Skyllias, der Taucher. Die Griechen siegen im ersten Seetreffen bei Artemision. Untergang der um Euboia gefahrenen Perserschiffe durch einen nächtlichen Sturm. Zweites, unentschiedenes Seetreffen. Nachricht vom Fall der Thermopylen. Abzug der hellenischen Flotte. List des Themistokles. Die Perser auf Euboia (c. 6—23).

6. 8. δείλη πρωίη, Frühnachmittag. Gegensatz c. 9 δείλη ὀψίη.

9. ἔτι πρότερον, schon früher, auch VI 33. Ebenso unt. c. 69. Vgl. c. 62 ἐκ παλαιοῦ ἔτι.

11. τότε δὲ αὐτοὶ ἰδόντες, als sie an Artemision vorbei nach Aphetae fuhren. Vgl. die dem vierten Bande beigegebene Karte.

ἐπιχειρέειν erg. αὐτῇσι. — εἴ κως, weil bei πρόθυμοι ἦσαν der Begriff des Geneigtseins zum Versuche vorschwebt. Vgl. V 30 ἀπικόμενοι δὲ οἱ Νάξιοι ἐς τὴν Μίλητον ἐδέοντο τοῦ Ἀρισταγόρεω εἴ κως αὐτοῖσι παράσχοι δύναμίν τινα.

12. ἐκ τῆς ἀντίης ex adverso. Dafür ἐξ ἐναντίης c. 7.

14. φεύγοντάς τε — καταλάβοι. Die Perser wollten das Treffen am Nachmittag deshalb nicht mehr beginnen, weil sie befürchteten, dasz es sich bis zur Dämmerung hinziehen könne und die Griechen damit Gelegenheit fänden, sich unter dem

λον δῆθεν ἐκφεύξεσθαι, ἔδεε δὲ μηδὲ πυρφόρον τῷ ἐκείνων
7 λόγῳ ἐκφυγόντα περιγενέσθαι. Πρὸς ταῦτα ὦν τάδε ἐμηχανέοντο· τῶν νεῶν ἁπασέων ἀποκρίναντες διηκοσίας περιέπεμπον ἔξωθεν Σκιάθου, ὡς ἂν μὴ ὀφθέωσι ὑπὸ τῶν πολεμίων περιπλώουσαι Εὔβοιαν κατά τε Καφηρέα καὶ Γεραιστὸν ἐς τὸν Εὔριπον, ἵνα δὴ περιλάβοιεν, οἱ μὲν ταύτῃ ἀπικόμενοι καὶ φράξαντες αὐτῶν τὴν ὀπίσω φέρουσαν ὁδὸν, σφεῖς δὲ ἐπισπόμενοι ἐξ ἐναντίης. ταῦτα βουλευσάμενοι ἀπέπεμπον τῶν νεῶν τὰς ταχθείσας, αὐτοὶ οὐκ ἐν νόῳ ἔχοντες ταύτης τῆς ἡμέρης τοῖσι Ἕλλησι ἐπιθήσεσθαι, οὐδὲ πρότερον ἢ τὸ σύνθημά σφι

Schutze der Nacht zu retten. *καταλαμβάνειν τινὰ* wird in dieser Bedeutung sonst meist in ungünstigem Sinne gebraucht, wie z.B. c. 21. 109 *ἣν ἄρα τί μιν καταλαμβάνῃ πρὸς Ἀθηναίων πάθος*. Wie hier III 139 *Συλοσῶντα κατέλαβε εὐτυχίη τις τοιήδε*. Vgl. unt. c. 37 und c. 55. IX 60.

ἔμελλον — ἐκφεύξεσθαι. μέλλειν sollen, müssen; eigentl. bedeutet *μέλλω* (oder das impers. *μέλλει*) cum infin.: es steht zu erwarten dasz ich. Vgl. c. 86 und IX 116 *ταῦτα λέγων εὐπετέως ἔμελλε ἀναπείσειν Ξέρξην δοῦναι ἀνδρὸς οἶκον, οὐδὲν ὑποτοπηθέντα τῶν ἐκεῖνος ἐφρόνεε*. Wie an dieser Stelle *εὐπετέως* zur Verdeutlichung der Bedeutung von *μέλλειν* hinzutritt, so an unserer *δῆθεν* = dem Anschein nach. Der Sinn ist demnach: „Es stand der Wahrscheinlichkeit nach zu erwarten, dasz die Griechen unter dem Schutze der Nacht entkommen würden.“ Natürlich ist das Ganze aus dem Sinne der Perser gesagt, denn auch zu diesem Satzgliede gehört das im Folgenden auftretende *τῷ ἐκείνων* (= nach ihrer Rede).

1. *μηδὲ πυρφόρον — περιγενέσθαι. οὐδὲ πυρφόρος ἐσώθη* (Zenob. V 34) ist eine sprichwörtliche Redeweise von einer gänzlichen Niederlage. In der spartanischen Heeresordnung trug nämlich der *πυρφόρος* das am Opferaltar des Zeus Agetor angezündete Feuer dem Heere voraus und bewarte es vor dem Erlöschen. Fand selbst diese geheiligte Person vor dem Feinde keine Schonung, so wurde überhaupt niemand von ihm geschont.

7. 4. *ἔξωθεν Σκιάθου*, d. h. nördlich über Skiathos hinaus, als wollten sie den Thermaischen Busen herauffahren. Ueber die Lage von Skiathos vgl. die Karte (Band IV) und VII 176. 179.

ὡς ἂν μὴ ὀφθέωσι. Da die Finalpartikeln *ὡς*, *ὅκως* ursprünglich Modalpartikeln (= wie) sind, so kann, insofern die Erreichung der Absicht von äuszeren Umständen abhängig gedacht wird, *ἄν* zu ihnen hinzutreten. Vgl. c. 13. IX 22. 51.

5. *Καφηρέα καὶ Γεραιστόν.* Kaphareus und Geraistos sind zwei Vorgebirge an der Südostspitze von Euboia (j. Cap Doro und Cap Mandili).

6. *περιλάβοιεν* näml. *τοὺς Ἕλληνας*.

οἱ μέν — σφεῖς δέ stehen als Teile des in *περιλάβοιεν* enthaltenen Gesammtsubjects (*οἱ Πέρσαι*) im Nominativ. Genau so ist gleich im Folgenden *αὐτοί*, d. i. der Hauptteil der Flotte, in Gegensatz zu der um Euboia herumgefahrenen Abteilung gesetzt.

9. *ταύτης τῆς ἡμέρης.* Aehnliche temporale Genetive sind III 90 *ἑκάστης ἡμέρης*, V 36 *τοῦ αὐτοῦ χρόνου*.

10. *ἐπιθήσεσθαι.* Vgl. c. 25 *νυκτὸς ἐπεθήκατο τοῖσι Θεσσαλοῖσι*.

σύνθημα. Vgl. IX 98 *μεμνῆσθαί τινα χρὴ τοῦ συνθήματος Ἥβης*. Vgl. V 74. VI 121.

ἔμελλε φανήσεσθαι παρὰ τῶν περιπλωόντων ὡς ἡκόντων. ταύ-
τας μὲν δὴ περιέπεμπον, τῶν δὲ λοιπέων νεῶν ἐν τῇσι Ἀφε-
τῇσι ἐποιεῦντο ἀριθμόν. Ἐν δὲ τούτῳ τῷ χρόνῳ, ἐν τῷ οὗτοι 8
ἀριθμὸν ἐποιεῦντο τῶν νεῶν (ἦν γὰρ ἐν τῷ στρατοπέδῳ τούτῳ
Σκυλλίης Σκιωναῖος δύτης τῶν τότε ἀνθρώπων ἄριστος, ὃς
καὶ ἐν τῇ ναυηγίῃ τῇ κατὰ τὸ Πήλιον γενομένῃ πολλὰ μὲν
ἔσωσε τῶν χρημάτων τοῖσι Πέρσῃσι, πολλὰ δὲ καὶ αὐτὸς περι-
εβάλετο), οὗτος ὁ Σκυλλίης ἐν νόῳ μὲν εἶχε ἄρα καὶ πρότερον
αὐτομολήσειν ἐς τοὺς Ἕλληνας, ἀλλ' οὐ γάρ οἱ παρέσχε ὡς
τότε. ὅτεῳ μὲν δὴ τρόπῳ τὸ ἐνθεῦτεν ἔτι ἀπίκετο ἐς τοὺς Ἕλ-
ληνας, οὐκ ἔχω εἶπαι ἀτρεκέως, θωμάζω δέ, εἰ τὰ λεγόμενά
ἐστι ἀληθέα. λέγεται γάρ, ὡς ἐξ Ἀφετέων δὺς ἐς τὴν θάλασ-
σου οὐ πρότερον ἀνέσχε, πρὶν ἢ ἀπίκετο ἐπὶ τὸ Ἀρτεμίσιον,
σταδίους μάλιστά κῃ τούτους ἐς ὀγδώκοντα διὰ τῆς θαλάσσης
διεξελθών. λέγεται μέν νυν καὶ ἄλλα ψευδέσι ἴκελα περὶ τοῦ

3. ἀριθμὸν ποιέεσθαι. Die Wendung noch VII 59.

8. 4. ἦν γάρ. Ueber γάρ s. z. c. 5.

5. Σκιωναῖος. Ueber Skione s. z. c. 128.

6. κατὰ τὸ Πήλιον. Ueber den Schiffbruch der persischen Flotte am Vorgebirge Sepias vgl. VII 188.

7. περιβάλλεσθαι ist hier in übertragener Bedeutung gebraucht (= sibi comparare). Vgl. IX 39 ὡς δὲ ἅδην εἶχον κτείνοντες τὰ ὑποζύγια, τὰ λοιπὰ αὐτῶν ἤλαυνον περιβαλλόμενοι παρὰ Μαρδόνιον. Ebenso VII 190.

8. ἄρα dient öfter zur Einführung eines neuen erklärenden oder bestätigenden Gedankens (= nämlich, also); ganz wie hier c. 111. 135. 136. IX 48. Oefter noch enthält ἄρα den Begriff des Ueberraschenden (= wider Erwarten), so c. 57. IX 58; auch kann ἄρα das Zufällige, Mögliche (= allenfalls, was möglich ist) ausdrücken wie IX 60.

9. ἀλλ' οὐ γάρ. In der elliptischen Verbindung ἀλλὰ γάρ (= at enim) begründet γάρ den bei ἀλλά vorschwebenden Gedanken, den man aus dem Zusammenhang leicht ergänzen kann. Hier schwebt bei ἀλλά vor: ἀλλ' οὐκ ἐδύνατο αὐτομολέειν, οὐ γάρ οἱ παρέσχε ὡς τότε; vgl. c. 108. IX 27. 46. Das unpersönliche παρέχει μοι auch c. 30. 75. 100.

10. τὸ ἐνθεῦτεν, temporal zu fassen; eigentl. von da ab, d. i. darauf. Der Artikel wie in τὸ νῦν, τὸ ἐκ τοῦ, τὸ ἀπὸ τούτου (c. 23). Ueber den Umtausch der Aspirata und Tenuis vgl. Bd. I Dial. p. 29. — ἔτι doch noch, d. h. schlieszlich.

11. οὐκ ἔχω εἶπαι ἀτρεκέως ist eine bei Her. häufig wiederkehrende Wendung. Vgl. I 57. 160. II 103.

13. ἀνέσχε. Vgl. Hom. Odyss. V 320 οὐδ' ἐδυνάσθη αἶψα μάλ' ἀνσχεθέειν μεγάλου ὑπὸ κύματος ὁρμῆς, wo ἀνσχεθέειν durch ein Scholion mit ἀναδῦναι erklärt ist.

14. μάλιστά κῃ = ungefähr dient wie im folgenden ἐς (= gegen, an) oder wie ὡς (c. 31) zur Limitierung des Zahlbegriffs. ὡς mit μάλιστά κῃ verbunden c. 65 ὡς ἀνδρῶν μάλιστά κῃ τρισμυρίων. Ebenso IX 15.

τούτους. Das Pronomen οὗτος findet sich zuweilen im Appositionssatze (vgl. c. 45 Μεγαρέες—, Ἀμβρακιῆται—, Λευκάδιοι δὲ τρεῖς ἐβεβώθησαν, ἔθνος ἐόντες οὗτοι Δωρικόν). Zur Erklärung von τούτους

ἀνδρὸς τούτου, τὰ δὲ μετεξέτερα ἀληθέα. περὶ μέντοι τούτου
γνώμη μοι ἀποδεδέχθω πλοίῳ μιν ἀπικέσθαι ἐπὶ τὸ Ἀρτεμίσιον.
ὡς δὲ ἀπίκετο, αὐτίκα ἐσήμηνε τοῖσι στρατηγοῖσι τήν τε ναυη-
γίην ὡς γένοιτο, καὶ τὰς περιπεμφθείσας τῶν νεῶν περὶ Εὔ-
9 βοιαν. Τοῦτο δὲ ἀκούσαντες οἱ Ἕλληνες λόγον σφίσι αὐτοῖσι
ἐδίδοσαν. πολλῶν δὲ λεχθέντων ἐνίκα τὴν ἡμέρην ἐκείνην
αὐτοῦ μείναντάς τε καὶ αὐλισθέντας, μετέπειτεν νύκτα μέσην
παρέντας πορεύεσθαι καὶ ἀπαντᾶν τῇσι περιπλωούσῃσι τῶν
νεῶν. μετὰ δὲ τοῦτο, ὡς οὐδείς σφι ἐπέπλωε, δείλην ὀψίην
γινομένην τῆς ἡμέρης φυλάξαντες αὐτοὶ ἐπανέπλωον ἐπὶ τοὺς
βαρβάρους, ἀπόπειραν αὐτῶν ποιήσασθαι βουλόμενοι τῆς τε
10 μάχης καὶ τοῦ διεκπλόου. Ὁρέοντες δέ σφεας οἵ τε ἄλλοι στρα-
τιῶται οἱ Ξέρξεω καὶ οἱ στρατηγοὶ ἐπιπλώοντας νηυσὶ ὀλίγῃσι,

dienen Stellen wie VI 36 εἰσὶ δὲ οὗτοι (= dies) στάδιοι ἕξ τε καὶ τριήκοντα τοῦ ἰσθμοῦ, wo sich das pronominale Subject im Genus und Numerus dem Prädicat (στάδιοι) assimiliert hat.

ἐς ὀγδώκοντα. Gegen 2 deutsche Meilen, das Stadion zu 589 preuss. Fuss gerechnet.

1. μετεξέτερα ist appositiv an τὰ δέ angeschlossen; μετεξέτεροι bei Herod. = ἔνιοι, τινές.

2. γνώμη μοι ἀποδεδέχθω. ἀποδείκνυσθαι (ἀποδέξασθαι) γνώμην ist eine bei Her. öfter wiederkehrende Verbindung. Vgl. c. 108. IX 58.

4. ὡς γένοιτο quale fuerit naufragium. Die Tatsache selbst hatten die Griechen schon durch die ἡμεροσκόποι erfahren. Vgl. VII 192 τοῖσι Ἕλλησι οἱ ἡμεροσκόποι ἀπὸ τῶν ἄκρων τῶν Εὐβοϊκῶν καταδραμόντες ἐσήμαινον πάντα τὰ γενόμενα περὶ τὴν ναυηγίην.

9. 5. λόγον σφίσι αὐτοῖσι ἐδίδοσαν. λόγον ἑωυτῷ διδόναι secum reputare auch V 75. VI 68. 86. 138.

6. ἐνίκα. Subject ist πορεύεσθαι καὶ ἀπαντᾶν. Vgl. VI 101 ἔπειτε ἐνίκα τὸ μὴ ἐκλιπεῖν τὴν πόλιν und VI 109 ἐνίκα ἡ χείρων τῶν γνωμέων.

7. αὐλισθέντας. αὐλίζεσθαι (=pernoctare) hier von der Flotte; von Vögeln III 110.

8. παρέντας. Vgl. VIII 183 ἐπέπλωον πάσῃσι τῇσι νηυσὶ ἕνδεκα ἡμέρας παρέντες.

9. ὡς οὐδείς σφι ἐπέπλωε. Als die Griechen im Lauf des Tages von dem Gros der Flotte, welches bei Aphetae stationierte, nicht angegriffen wurden, wie sie vorausgesetzt hatten, kehrte ihnen der Mut zurück und sie beschloszen ihrerseits, damit ihren früheren Beschlusz aufgebend, den Angriff auf die Perser.

δείλη ὀψίη, Spätnachmittag; Gegens. δείλη πρωίη (c. 6).

10. φυλάξαντες = ἐπιτηρήσαντες. Vgl. c. 14 ἐπιτηρήσαντες τὴν αυτὴν ὥρην.

11. αὐτῶν hängt nur von τῆς μάχης ab (nicht auch von τοῦ διεκπλόου).

12. μάχης. μάχη Kampfesart. Vgl. IX 46 ὑμεῖς ἐπίστασθε τοὺς Μήδους καὶ τὴν μάχην αὐτῶν ἐν Μαραθῶνι μαχεσάμενοι. V 49. VII 9. — διεκπλόου. Der διέκπλοος, das Hauptmanöver des alten Seekriegs, bestand darin, dasz ein Schiff zwischen zwei feindlichen mit aller Kraft hindurchfuhr und beim Hin-

πάγχυ σφι μανίην ἐπενείκαντες ἀνῆγον καὶ αὐτοὶ τὰς νέας, ἐλπίσαντές σφεας εὐπετέως αἱρήσειν, οἰκότα κάρτα ἐλπίσαντες. τὰς μέν γε τῶν Ἑλλήνων ὁρέοντες ὀλίγας νέας, τὰς δὲ ἑωυτῶν πλήθεΐ τε πολλαπλησίας καὶ ἄμεινον πλωούσας, καταφρονήσαντες ταῦτα ἐκυκλεῦντο αὐτοὺς ἐς μέσον. ὅσοι μέν νυν τῶν Ἰώνων ἦσαν εὔνοοι τοῖσι Ἕλλησι, ἀέκοντές τε ἐστρατεύοντο, συμφορήν τε ἐποιεῦντο μεγάλην, ὁρέοντες περιεχομένους αὐτοὺς καὶ ἐπιστάμενοι ὡς οὐδεὶς αὐτῶν ἀπονοστήσει· οὕτω ἀσθενέα σφι ἐφαίνετο εἶναι τὰ τῶν Ἑλλήνων πρήγματα. ὅσοισι δὲ καὶ ἡδομένοισι ἦν τὸ γινόμενον, ἅμιλλαν ἐποιεῦντο, ὅκως αὐτὸς ἕκαστος πρῶτος νέα Ἀττικὴν ἑλὼν δῶρα παρὰ βασιλέος λάμψεται. Ἀθηναίων γὰρ αὐτοῖσι λόγος ἦν πλεῖστος

durchfahren die Seiten derselben zu beschädigen, die Ruder abzubrechen und die Schiffe dadurch kampfunfähig zu machen suchte. Gegen den *διέκπλοος* schützte die Kreisstellung (*κύκλος*) der Schiffe (c. 11). Genaueres s. z. VI 12.

10. 1. *πάγχυ* att. *πάνυ*.

μανίην ἐπενείκαντες. Vgl. VI 112 *οἱ δὲ Πέρσαι ὁρέοντες δρόμῳ ἐπιόντας παρεσκευάζοντο ὡς δεξάμενοι μανίην τοῖσι Ἀθηναίοισι ἐπέφερον καὶ πάγχυ ὀλεθρίην, ὁρέοντες αὐτοὺς ὀλίγους καὶ τούτους δρόμῳ ἐπειγομένους*.

ἀνῆγον. In *ἀνάγειν* beachte *ἀνά* (= in altum). Wie hier c. 15. 57. 70. 76. 83. Vgl. *ἀνάγεσθαι* c. 84.

2. *οἰκότα κάρτα ἐλπίσαντες*. S. z. c. 3 (*ὀρθὰ νοεῦντες*).

3. *ὀλίγας* ohne *ἐούσας*. Vgl. die oben (1) ausgeschriebene Stelle (VI 112): *ὁρέοντες αὐτοὺς ὀλίγους*.

4. *καταφρονήσαντες ταῦτα*. *κατά* verstärkt das einfache *φρονέειν* wie in *καταδοκέειν* (c. 4). In derselben (unattischen) Bedeutung steht *καταφρονέειν* cum accus. auch I 59. 66. In der gewöhnlichen Bedeutung verachten findet sich dieses Verbum nur IV 134.

5. *ἐκυκλεῦντο* (*κυκλόω*). Ueber die Contraction s. Dial. Bd. I S. 38.

7. *συμφορὴν ποιέεσθαί τι* „etwas für ein Unglück halten". So häufig bei Herod. Vgl. unt. c. 69. 100 (*συμφορὴν ποιέεσθαι ἔκ τινός*).

9. *τὰ τῶν Ἑλλήνων πρήγματα* = *ἡ τῶν Ἑλλήνων δύναμις*. Vgl. I 146 *τὰ τῶν Περσέων πρήγματα αὐξανόμενα*. III 137 *τὰ Περσικὰ πρήγματα*.

10. *ἡδομένοισι*. Vgl. IX 46 *ἡδομένοισι ἡμῖν οἱ λόγοι γεγόνασι καὶ ἑτοῖμοί εἶμεν ποιέειν*. Ebenso unt. c. 14 *ὥς σφι ἀσμένοισι ἡμέρη ἐπέλαμψε*. Auch c. 101 *ἀλλὰ βουλομένοισί σφι γένοιτ' ἂν ἀπόδεξις*.

11. *ὅκως — λάμψεται*. Das finale *ὅκως*, welches ursprünglich modal (= quomodo) zu fassen ist, wird sehr oft mit dem Indic. Fut. verbunden (mit nur sehr geringem Unterschied vom Conj. Aor.). Vgl. I 9 *ποίεε ὅκως ἐκείνην θηήσεαι*.

αὐτὸς ἕκαστος findet sich häufig verbunden. Vgl. III 82 *αὐτὸς γὰρ ἕκαστος βουλόμενος κορυφαῖος εἶναι ἐς ἔχθεα μεγάλα ἀλλήλοισι ἀπικνέονται*.

12. *λάμψεται* att. *λήψεται*. Vgl. Dial. Bd. I S. 40. Andere, unatt. Formen dieses Verbs c. 11 u. IX 38. 51.

Ἀθηναίων — στρατόπεδα. Gedanke: Die Athener standen bei dem ganzen Schiffsheer der Perser in der gröszten Achtung. — *αὐτοῖσι*, *Πέρσῃσι*. — Zur Bedeutung von *λόγος* vgl. die Wendungen *λόγου οὐδενὸς γίνεσθαι πρός τινος* (I 120), *λόγον ποιέεσθαί τινα* (I 33).

11 ἀνὰ τὰ στρατόπεδα. Τοῖσι δὲ Ἕλλησι ὡς ἐσήμηνε, πρῶτα μὲν ἀντίπρῳροι τοῖσι βαρβάροισι γενόμενοι ἐς τὸ μέσον τὰς πρύμνας συνήγαγον, δεύτερα δὲ σημήναντος ἔργου εἴχοντο, ἐν ὀλίγῳ περ ἀπολαμφθέντες καὶ κατὰ στόμα. ἐνθαῦτα τριήκοντα νέας αἱρέουσι τῶν βαρβάρων καὶ τὸν Γόργου τοῦ Σαλαμινίων βασιλέος ἀδελφεὸν Φιλάονα τὸν Χέρσιος, λόγιμον ἐόντα ἐν τῷ στρατοπέδῳ ἄνδρα. πρῶτος δὲ Ἑλλήνων νέα τῶν πολεμίων εἷλε ἀνὴρ Ἀθηναῖος Λυκομήδης Αἰσχραίου, καὶ τὸ ἀριστήϊον ἔλαβε οὗτος. τοὺς δ' ἐν τῇ ναυμαχίῃ ταύτῃ ἑτεραλκέως ἀγωνιζομένους νὺξ ἐπελθοῦσα διέλυσε. οἱ μὲν δὴ Ἕλληνες ἐπὶ τὸ Ἀρτεμίσιον ἀπέπλωον, οἱ δὲ βάρβαροι ἐς τὰς Ἀφετάς, πολ-

1. *ἀνὰ τὰ στρατόπεδα.* Zur Bedeutung von ἀνά vgl. II 135 Ἀρχιδίκη ἀοίδιμος ἀνὰ τὴν Ἑλλάδα ἐγένετο. Wie ἀνά so drückt auch κατά die räumliche Verbreitung aus. — στρατόπεδον ist wie hier auch c. 41 von der Flotte gebraucht; der Plural ist hier gesetzt, weil die ganze Flotte aus vielen nach den Völkerschaften getrennten Abteilungen bestand (VII 97).

11. *ἐσήμηνε* erg. ὁ σαλπιγκτής. Vgl. im folg. δευτερὰ δὲ σημήναντος (näml. τοῦ σαλπιγκτοῦ). Vgl. Xen. Anab. III 4, 4 ἐσήμηνε τοῖς Ἕλλησι τῇ σάλπιγγι καὶ εὐθὺς ἔθεον ὁμόσε. Auch bei den Ausdrücken ἐσάλπιγξε, ἐκήρυξε kann das Subject ganz fehlen, da es durch die Bedeutung des Verbs klar genug bezeichnet ist. So häufig bei Xenophon.

3. *συνήγαγον.* Die Schiffe stieszen in der Mitte mit ihren Kielen zusammen und bildeten auf diese Weise einen Kreis, aus dessen Centrum sie wie Radien herausstanden. Diese Art der Aufstellung scheint besonders darauf berechnet gewesen zu sein, den διέκπλοος (s. c. 9) der Feinde zu verhüten. Dieselbe Schlachtordnung hatten die Spartaner gewählt, als sie 429 v. Chr. mit der athenischen Flotte unter Phormion zusammenstieszen. Vgl. Thuk. II 83 καὶ οἱ μὲν Πελοποννήσιοι ἐτάξαντο κύκλον τῶν νεῶν ὡς μέγιστον οἷοί τ' ἦσαν μὴ διδόντες διέκπλουν τὰς πρῴρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας.

σημήναντος. S. o. z. ἐσήμηνε.

ἔργου εἴχοντο. ἔχεσθαι c. gen. heiszt eigentl.: sich an etwas halten. — Dieselbe Wendung c. 108.

ἐν ὀλίγῳ περ ἀπολαμφθέντες „wiewol auf einen kleinen Raum beschränkt". Zur Bedeutung von περ, das übrigens in der attischen Prosa nicht so gebraucht wird, vgl. III 131 Δημοκήδης τῷ πρώτῳ ἔτεϊ ὑπερεβάλετο τοὺς ἄλλους ἰητρούς, ἀσκευής περ ἐὼν καὶ ἔχων οὐδὲν τῶν ὅσα περὶ τὴν τέχνην ἐστὶ ἐργαλήια. Aehnlich unt. c. 13. — ἀπολαμφθέντες (=intercepti) steht in ähnlichem Sinne unt. c. 76. 97. 108. Ueber die (unattische) Form vgl. Dial. Bd. I S. 40 (unter λαμβάνω).

4. *καὶ κατὰ στόμα* näml. ἔργου εἴχοντο. στόμα heiszt die vordere Seite, Fronte des Heeres. Die Griechen griffen also trotz ihrer ungünstigen Stellung direct die Fronte des feindlichen Heeres an.

5. *Γόργου.* Ueber ihn sowie andere Könige von Salamis vgl. V 104. VII 98.

9. *ἑτεραλκέως.* Vgl. IX 103 ἑτεραλκὴς ἡ μάχη, d. i. eine Schlacht, in welcher die Stärke oder Ueberlegenheit (ἀλκή) bald auf der einen, bald auf der anderen Seite ist, also eine unentschiedene Schlacht. Bei Homer dagegen heiszt ἑτεραλκὴς νίκη ein Sieg, der sich entschieden auf eine Seite neigt, ein entschiedener Sieg. (Il. VII 26 Δαναοῖσι μάχης δοῦναι ἑτεραλκέα νίκην.)

λὸν παρὰ δόξαν ἀγωνισάμενοι. ἐν ταύτῃ τῇ ναυμαχίῃ Ἀντί-
δωρος Λήμνιος μοῦνος τῶν σὺν βασιλέϊ Ἑλλήνων ἐόντων αὐτο-
μολέει ἐς τοὺς Ἕλληνας, καὶ οἱ Ἀθηναῖοι διὰ τοῦτο τὸ ἔργον
ἔδοσαν αὐτῷ χῶρον ἐν Σαλαμῖνι. Ὡς δὲ εὐφρόνη ἐγεγόνεε, 12
ἦν μὲν τῆς ὥρης μέσον θέρος, ἐγίνετο δὲ ὕδωρ τε ἄπλετον
διὰ πάσης τῆς νυκτὸς καὶ σκληραὶ βρονταὶ ἀπὸ τοῦ Πηλίου·
οἱ δὲ νεκροὶ καὶ τὰ ναυήγια ἐξεφορέοντο ἐς τὰς Ἀφετάς, καὶ
περί τε τὰς πρῴρας τῶν νεῶν εἰλέοντο καὶ ἐτάρασσον τοὺς
ταρσοὺς τῶν κωπέων. οἱ δὲ στρατιῶται οἱ ταύτῃ ἀκούοντες
ταῦτα ἐς φόβον κατιστέατο, ἐλπίζοντες πάγχυ ἀπολέεσθαι ἐς
οἷα κακὰ ἧκον· πρὶν γὰρ ἢ καὶ ἀναπνεῦσαί σφεας ἔκ τε τῆς
ναυηγίης καὶ τοῦ χειμῶνος τοῦ γενομένου κατὰ Πήλιον ὑπέλαβε
ναυμαχίη καρτερή, ἐκ δὲ τῆς ναυμαχίης ὄμβρος τε λάβρος καὶ
ῥεύματα ἰσχυρὰ ἐς θάλασσαν ὡρμημένα βρονταί τε σκληραί.
Καὶ τούτοισι μὲν τοιαύτη νὺξ ἐγίνετο, τοῖσι δὲ ταχθεῖσι αὐτῶν 13
περιπλώειν Εὔβοιαν ἡ αὐτή περ ἐοῦσα νὺξ πολλὸν ἦν ἔτι
ἀγριωτέρη, τοσούτῳ ὅσῳ ἐν πελάγεϊ φερομένοισι ἐπέπιπτε, καὶ
τὸ τέλος σφι ἐγένετο ἄχαρι. ὡς γὰρ δὴ πλώουσι αὐτοῖσι χει-
μών τε καὶ τὸ ὕδωρ ἐπεγίνετο ἐοῦσι κατὰ τὰ Κοῖλα τῆς Εὐ-

1. *παρὰ δόξαν* wie c. 4. Die Perser hatten einen so hartnäckigen Widerstand nicht erwartet.

12. 5. *ἦν μὲν — μέσον θέρος.* Diese Worte treten, wiewol sie eine Nebenbestimmung enthalten (= obgleich es mitten im Sommer war) in selbständiger Satzform auf, wodurch der Gegensatz zum folgenden Gedanken (*ἐγίνετο δὲ ὕδωρ*) schärfer hervortritt. Diese letzteren Worte bilden also den logischen Nachsatz zu beiden vorangegangenen Sätzen. Dasz gerade in der Mitte des Sommers, einer Zeit, in welcher in Griechenland Regen äuszerst selten ist, eine solche Regenmenge fiel, erschien Herodot als göttliche Fügung (c. 13).

7. *ἐς τὰς Ἀφετάς.* S. z. c. 4.

8. *ἐτάρασσον* läszt keine genügende Erklärung zu; wahrscheinlich ist mit Emperius *ἀπάρασσον* zu lesen, wozu im folg. (9) *ἀκούοντες ταῦτα* sehr gut stimmt. *ἀπαράσσειν* noch V 112. VIII 90.

10. *ἐς φόβον κατιστέατο.* Vgl. c. 36 *ἐν δείματι μεγάλῳ κατεστεῶτες.* *πάγχυ* s. c. 10.

ἐς οἷα κακὰ ἧκον. In *ἐλπίζοντες* liegt zugleich der Begriff des Erwägens. Vgl. I 31 *αἱ δὲ Ἀργεῖαι ἐμακάριζον τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύρησε.*

11. *πρὶν ἤ.* S. z. c. 3.

12. *κατὰ Πήλιον.* Der Schiffbruch der persischen Flotte am Vorgebirge Sepias ist VII 188 erzählt.

ὑπέλαβε. Beachte die Bedeutung von *ὑπό.* Vgl. VI 27 *μετὰ δὲ ταῦτα ἡ ναυμαχίη ὑπολαβοῦσα ἐς γόνυ τὴν πόλιν ἔβαλε.*

13. 16. *ἡ αὐτή περ.* *περ* hier in etwas anderer Bedeutung als oben (c. 11); hier dient es nur zur Verstärkung des Begriffs von *αὐτή* (*ἡ αὐτή περ* = gerade eben dieselbe).

17. *τοσούτῳ ὅσῳ.* *ὅσῳ* kann man in diesem Falle, wenn es einem gesetzten (oder auch zu denkenden) *τοσούτῳ* correspondiert, mit weil übersetzen. Vgl. V 49. VI 137.

19. *τὰ Κοῖλα τῆς Εὐβοίης* hiesz der westliche, tief eingebogene Küstenstrich Euboias, welcher sich vom Cap Geraistos (c. 7)

βοίης, φερόμενοι τῷ πνεύματι καὶ οὐκ εἰδότες τῇ ἐφέροντο, ἐξέπιπτον πρὸς τὰς πέτρας. ἐποιέετό τε πᾶν ὑπὸ τοῦ θεοῦ, ὅκως ἂν ἐξισωθείη τῷ Ἑλληνικῷ τὸ Περσικὸν μηδὲ πολλῷ
14 πλέον εἴη. Οὗτοι μέν νυν περὶ τὰ Κοῖλα τῆς Εὐβοίης διεφθείροντο, οἱ δὲ ἐν Ἀφετῇσι βάρβαροι, ὥς σφι ἀσμένοισι ἡμέρη ἐπέλαμψε, ἀτρέμας τε εἶχον τὰς νέας, καί σφι ἀπεχρᾶτο κακῶς πρήσσουσι ἡσυχίην ἄγειν ἐν τῷ παρεόντι. τοῖσι δὲ Ἕλλησι ἐπεβώθεον νέες τρεῖς καὶ πεντήκοντα Ἀττικαί. αὗταί τε δή σφεας ἐπέρρωσαν ἀπικόμεναι, καὶ ἅμα ἀγγελίη ἐλθοῦσα ὡς τῶν βαρβάρων οἱ περιπλώοντες τὴν Εὔβοιαν πάντες εἴησαν διεφθαρμένοι ὑπὸ τοῦ γενομένου χειμῶνος. φυλάξαντες δὴ τὴν αὐτὴν ὥρην πλώοντες ἐπέπεσον νηυσὶ Κιλίσσῃσι, ταύτας δὲ διαφθείραντες, ὡς εὐφρόνη ἐγένετο, ἀπέπλωον ὀπίσω ἐπὶ
15 τὸ Ἀρτεμίσιον. Τρίτῃ δὲ ἡμέρῃ δεινόν τι ποιησάμενοι οἱ στρατηγοὶ τῶν βαρβάρων νέας οὕτω σφι ὀλίγας λυμαίνεσθαι καὶ τὸ ἀπὸ Ξέρξεω δειμαίνοντες οὐκ ἀνέμειναν ἔτι τοὺς Ἕλληνας

bis nach Eretria erstreckte; wegen der steil abfallenden Ufer, verborgenen Klippen und Untiefen war dieser Teil der euboischen Küste den Schiffen sehr gefährlich.

2. *ὑπὸ θεοῦ.* Zum Gedanken vgl. VII 10 *φιλέει ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν. οὕτω δὴ καὶ στρατὸς πολλὸς ὑπὸ ὀλίγου διαφθείρεται κατὰ τοιόνδε. ἐπέαν σφι ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ ἢ βροντὴν, δι᾽ ὧν ἐφθάρησαν ἀναξίως ἑωυτῶν· οὐ γὰρ ἐᾷ φρονέειν μέγα ὁ θεὸς ἄλλον ἢ ἑωυτόν.* S. Einleit. Bd. I S. 16.

3. *ὅκως ἄν.* Ueber *ἄν* s. z. c. 7.

14. 5. *ἀσμένοισι.* S. z. c. 10 (*ἡδομένοισι*).

6. *ἀτρέμας τε εἶχον τὰς νέας.* *ἀτρέμας ἔχειν* mit Object auch IX 53 *εἶχον τὸ στρατόπεδον* und IX 54. Absolut unt. c. 16.

σφι ἀπεχρᾶτο. Das Activ *ἀποχρᾶν* (= *ἀρκέειν*) ist in dieser Bedeutung weit häufiger. Vgl. I 66 *καὶ δή σφι οὐκέτι ἀπέχρα ἡσυχίην ἄγειν.* Ebenso unt. c. 130. IX 79. Das Medium auch I 102 *Φραόρτης οὐκ ἀπεχρᾶτο μούνων ἄρχειν τῶν Μήδων.*

8. *ἐπεβώθεον* (= *ἐπεβοήθεον*). Zur Contraction s. z. c. 92.

11. *φυλάξαντες.* Zur Bedeutung s. z. c. 9.

12. *τὴν αὐτὴν ὥρην,* näml. *τὴν δείλην ὀψίην* (c. 9).

Κιλίσσῃσι. Vgl. VII 91.

13. *ἀπέπλωον ὀπίσω.* Eine nicht seltene Abundanz. Vgl. c. 18 *ἔσω ἐς* und c. 58 *ἐρρίπτεον ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω.*

15. 14. *δεινόν τι ποιέεσθαί τι* aegerrime ferre aliquid ist eine bei Herod. sehr häufige Verbindung. *τὶς* hat in Verbindung mit Substantiven und Adjectiven öfter verstärkende Kraft. Wie hier c. 93. IX 2. *δεινὸν* (ohne *τι*) *ποιέεσθαί τι* heiszt aegre ferre aliquid. Vgl. IX 5 und I 13 *οἱ Λυδοὶ δεινὸν ἐποιεῦντο τὸ Κανδαύλεω πάθος.* Oefter. Unten c. 16 ist *χρῆμα* hinzugefügt. Vgl. c. 90 *ἔργον τι*, eine bedeutende Tat. Ueber eine andere Bedeutung von *τὶς* s. z. c. 86.

16. *τὸ ἀπὸ Ξέρξεω* erg. *γινόμενον.* Sie fürchteten Strafe durch Xerxes. Eine etwas andere Bedeutung hat *τὸ ἀπὸ σεῦ* I 159. VII 101.

ἀνέμειναν. ἀναμένειν mit Acc. c. Inf. auch c. 56 *οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα.*

μάχης ἄρξαι, ἀλλὰ παρακελευσάμενοι κατὰ μέσον ἡμέρης ἀνῆγον τὰς νέας. συνέπιπτε δὲ ὥστε τῇσι αὐτῇσι ἡμέρῃσι τὰς ναυμαχίας γίνεσθαι ταύτας καὶ τὰς πεζομαχίας τὰς ἐν Θερμοπύλῃσι. ἦν δὲ πᾶς ὁ ἀγὼν τοῖσι κατὰ θάλασσαν περὶ τοῦ Εὐρίπου, ὥσπερ τοῖσι ἀμφὶ Λεωνίδην τὴν ἐσβολὴν φυλάσσειν. οἱ μὲν δὴ παρεκελεύοντο ὅκως μὴ παρήσουσι ἐς τὴν Ἑλλάδα τοὺς βαρβάρους, οἱ δ' ὅκως τὸ Ἑλληνικὸν στράτευμα διαφθείραντες τοῦ πόρου κρατήσουσι. Ὡς δὲ ταξάμενοι οἱ Ξέρξεω 16
ἐπέπλωον, οἱ Ἕλληνες ἀτρέμας εἶχον πρὸς τῷ Ἀρτεμισίῳ. οἱ δὲ βάρβαροι μηνοειδὲς ποιήσαντες τῶν νεῶν ἐκυκλεῦντο, ὡς περιλάβοιεν αὐτούς. ἐνθεῦτεν οἱ Ἕλληνες ἐπανέπλωόν τε καὶ συνέμισγον. ἐν ταύτῃ τῇ ναυμαχίῃ παραπλήσιοι ἀλλήλοισι ἐγένοντο. ὁ γὰρ Ξέρξεω στρατὸς ὑπὸ μεγάθεός τε καὶ πλήθεος αὐτὸς ὑπ' ἑωυτοῦ ἔπιπτε, ταρασσομένων τε τῶν νεῶν καὶ περιπιπτουσέων περὶ ἀλλήλας· ὅμως μέντοι ἀντεῖχε καὶ οὐκ εἶκε· δεινὸν γὰρ χρῆμα ἐποιεῦντο ὑπὸ νεῶν ὀλίγων ἐς φυγὴν τράπεσθαι. πολλαὶ μὲν δὴ τῶν Ἑλλήνων νέες διεφθείροντο, πολλοὶ δὲ ἄνδρες, πολλῷ δ' ἔτι πλεῦνες νέες τε τῶν βαρβάρων καὶ ἄνδρες. Οὕτω δὲ ἀγωνιζόμενοι διέστησαν χωρὶς ἑκάτεροι.

1. *ἀνῆγον*. S. z. c. 10.

2. *συνέπιπτε*. *συμπίπτειν* vom zeitlichen Zusammentreffen zweier Begebenheiten; mit *ὥστε* (wie bei *συμβαίνειν* c. 88) c. 132. 141, mit einfachem Infinitiv V 35, mit Particip. V 36.

5. *φυλάσσειν* hängt von *ἀγών* (= Aufgabe) ab.

6. *παρήσουσι*. Zur Bedeutung von *παριέναι* (praetermittere) vgl. VII 175 *ταύτην ὦν ἐβουλεύσαντο φυλάσσοντες τὴν ἐσβολὴν μὴ παριέναι ἐς τὴν Ἑλλάδα τὸν βάρβαρον*. Ebenso IX 1.

16. 8. *οἱ Ξέρξεω* wie VII 104. 193. Vgl. IX 68 *τοὺς Ξέρξεω διώκοντες*.

9. *ἀτρέμας εἶχον*. Vgl. c. 14.

10. *μηνοειδές* erg. *σχῆμα* (Polyb. III 115, 7).

ἐκυκλεῦντο. Vgl. c. 10.

12. *παραπλήσιοι ἀλλήλοισι ἐγένοντο*. Der Kampf war also unentschieden.

13. *ὑπὸ μεγάθεός τε καὶ πλήθεος*. Zur Bedeutung von *ὑπό* vgl. VII 187 *οὐδ' ἂν τῶν ὑποζυγίων τε καὶ τῶν ἄλλων κτηνέων τῶν ἀχθοφόρων ὑπὸ πλήθεος οὐδεὶς ἂν εἴποι ἀριθμόν*. S. z. c. 1. In ähnlicher Weise wie hier *μέγαθος* und *πλῆθος*, ist IV 109 *μέγας* und *πολλός* verbunden (*λίμνη μεγάλη καὶ πολλή*).

14. *ὑπ' ἑωυτοῦ*. *ὑπό* wegen des in *πίπτειν* enthaltenen passiven Begriffs. Vgl. IX 67. 75.

15. *περὶ ἀλλήλας*. Wahrscheinlich ist *περὶ ἀλλήλαις* zu lesen. Vgl. c. 89 Ende.

16. *δεινὸν χρῆμα ἐποιεῦντο*. Sonst fehlt meist *χρῆμα* in dieser Verbindung. Vgl. c. 15.

17. *τράπεσθαι*. Herodot gebraucht statt der attischen Formen *τρέπω, τέμνω, μέγεθος* die ionischen *τράπω, τάμνω, μέγαθος* (s. oben 13).

19. *ἀγωνιζόμενοι* partic. imperf. *διέστησαν χωρίς*. Abundanz. S. z. c. 14. Ohne *χωρίς* I 76 *τέλος οὐδέτεροι νικήσαντες διέστησαν*. Ebenso unt. c. 18.

17 Ἐν ταύτῃ τῇ ναυμαχίῃ Αἰγύπτιοι μὲν τῶν Ξέρξεω στρατιωτέων ἠρίστευσαν, οἳ ἄλλα τε ἔργα μεγάλα ἀπεδέξαντο καὶ νέας αὐτοῖσι ἀνδράσι εἷλον Ἑλληνίδας πέντε. τῶν δὲ Ἑλλήνων κατὰ ταύτην τὴν ἡμέρην ἠρίστευσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων Κλεινίης ὁ Ἀλκιβιάδεω, ὃς δαπάνην οἰκηΐην παρεχόμενος ἐστρατεύετο ἀνδράσι τε διηκοσίοισι καὶ οἰκηΐῃ νηΐ.

18 Ὡς δὲ διέστησαν ἄσμενοι ἑκάτεροι, ἐς ὅρμον ἠπείγοντο. οἱ δὲ Ἕλληνες ὡς διακριθέντες ἐκ τῆς ναυμαχίης ἀπηλλάχθησαν, τῶν μὲν νεκρῶν καὶ τῶν ναυηγίων ἐπεκράτεον, τρηχέως δὲ περιεφθέντες καὶ οὐκ ἥκιστα Ἀθηναῖοι, τῶν αἱ ἡμίσεαι τῶν νεῶν τετρωμέναι ἦσαν, δρησμὸν δὴ ἐβουλεύοντο ἔσω ἐς τὴν
19 Ἑλλάδα. Νόῳ δὲ λαβὼν ὁ Θεμιστοκλέης, ὡς εἰ ἀπορραγείη
ἀπὸ τοῦ βαρβάρου τό τε Ἰωνικὸν φῦλον καὶ τὸ Καρικόν, οἷοί

17. 2. ἀπεδέξαντο, ἀπεδείξαντο. Vgl. I 59 ἔργα ἀποδεξάμενοι μέγαλα. Häufig so bei Her., selten ἀποδείξασθαι in dieser Verbindung bei Attikern. Vgl. c. 68 ἐλάχιστα ἀποδεξαμένη. Ebenso c. 89. 90. 91.

3. αὐτοῖσι ἀνδράσι una cum ipsis viris. Vgl. VI 32 καὶ τὰς πόλις ἐνεπίμπρασαν αὐτοῖσι ἱροῖσι.

4. ἠρίστευσαν Ἀθηναῖοι. Vgl. Plut. Them. 8 Πίνδαρος οὐ κακῶς ἔοικε — ἐπὶ τῆς ἐν Ἀρτεμισίῳ μάχης εἰπεῖν·

Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν
Κρηπῖδ' ἐλευθερίας (Bergk poet. lyr. p. 244).

Ein ebenfalls von Plutarch erhaltenes Epigramm lautet:

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
Παῖδες Ἀθαναίων τῷδε ποτ' ἐν πελάγει
Ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
Σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

5. Κλεινίης. Vater des berühmten Alcibiades; er fiel bei Koronea (447). Vgl. Plut. Alkib. c. 1 ὁ δὲ πατὴρ αὐτοῦ (Ἀλκιβιάδου) Κλεινίας ἰδιοστόλῳ τριήρει περὶ Ἀρτεμίσιον ἐνδόξως ἐναυμάχησεν, ὕστερον δὲ Βοιωτοῖς μαχόμενος περὶ Κορώνειαν ἀπέθανε. Dasz er eine Triere auf eigene Kosten (ἐστρατεύετο οἰκηίῃ νηΐ) ausrüsten liesz, ist ein Beweis für den groszen Reichtum der Familie.

6. διηκοσίοισι. Dies war die gewöhnliche Bemannung der Trieren. Vgl. VII 184 ὡς ἀνὰ διηκοσίους ἄνδρας λογίζομαι ἐν ἑκάστῃ νηί.

18. 7. διέστησαν. S. z. c. 16.

8. διακριθέντες — ἀπηλλάχθησαν. Vgl. VII 219 μετὰ δὲ τοῦτο διακριθέντες οἱ μὲν ἀπαλλάσσοντο, οἱ δὲ αὐτῶν ἅμα Λεωνίδῃ ἔμενον.

9. τῶν μὲν νεκρῶν — ἐπεκράτεον. Dies galt als Zeichen des Siegs. Vgl. I 82.

τρηχέως περιεφθέντες. περιέπειν ist meist entweder wie hier mit τρηχέως (c. 27. VII 211) oder mit εὖ verbunden (II 169).

11. τετρωμέναι. Vgl. VI 16 ὅσοισι δὲ τῶν Χίων ἀδύνατοι ἦσαν αἱ νέες ὑπὸ τρωμάτων. Das Activ Thuk. IV 14 καὶ τὰς μὲν πλείους (νέας) — ἐς φυγὴν κατέστησαν καὶ ἐπιδιώκοντες ὡς διὰ βραχέως ἔτρωσαν πολλάς.

ἔσω ἐς. S. z. c. 14.

19. 12. νόῳ λαβών wie III 51. V 91. Dafür φρενὶ λαβόντες IX 10.

13. τοῦ βαρβάρου vom Nominativ τὸ βάρβαρον.

τε εἴησαν τῶν λοιπῶν κατύπερθε γενέσθαι, ἐλαυνόντων τῶν Εὐβοέων πρόβατα ἐπὶ τὴν θάλασσαν, ταύτῃ συλλέξας τοὺς στρατηγοὺς ἔλεγέ σφι, ὡς δοκέοι ἔχειν τινὰ παλάμην, τῇ ἐλπίζοι τῶν βασιλέος συμμάχων ἀποστήσειν τοὺς ἀρίστους. ταῦτα μέν νυν ἐς τοσοῦτο παρεγύμνου, ἐπὶ δὲ τοῖσι κατήκουσι πρήγμασι τάδε ποιητέα εἶναί σφι ἔλεγε, τῶν τε προβάτων τῶν Εὐβοϊκῶν ὅσα τις ἐθέλοι καταθύειν (κρέσσον γὰρ εἶναι τὴν στρατιὴν ἔχειν ἢ τοὺς πολεμίους), παραίνεέ τε προειπεῖν τοῖσι ἑωυτῶν ἑκάστους πῦρ ἀνακαίειν· κομιδῆς δὲ πέρι τὴν ὥρην αὐτῷ μελήσειν ὥστε ἀσινέας ἀπικέσθαι ἐς τὴν Ἑλλάδα. ταῦτα ἤρεσέ σφι ποιέειν καὶ αὐτίκα πῦρ ἀνακαυσάμενοι ἐτράποντο πρὸς τὰ πρόβατα. Οἱ γὰρ Εὐβοέες παραχρησάμενοι τὸν Βά- 20
κιδος χρησμὸν ὡς οὐδὲν λέγοντα, οὔτε τι ἐξεκομίσαντο οὐδὲν οὔτε προεσάξαντο ὡς παρεσομένου σφι πολέμου, περιπετέα τε

1. *κατύπερθε γίνεσθαι* od. *κατ. εἶναι* ist eine ungewöhnliche Verbindung; wie hier c. 60. 75. 136. Gebräuchlicher (als *κατύπερθε*) ist in diesem Sinne *κατυπέρτερος* (I 65. 67. 68).

ἐλαυνόντων — ἐπὶ τὴν θάλασσαν, ταύτῃ συλλέξας. Weshalb Themistokles die Feldherrn am Meeresgestade versammelt, wo gerade die euboischen Herden weiden, findet im Folg. seine Erklärung. Vgl. unt. (6) *τῶν τε προβάτων τῶν Εὐβοϊκῶν οσα τις ἐθέλοι καταθύειν* (*ποιητέα ἔλεγε*).

5. *παρεγύμνου.* Vgl. IX 45 *ἄλλο οὐδὲν παραγυμνοῖ ἔπος.*

ἐπὶ τοῖσι κατήκουσι πρήγμασι wie c. 40 *τὰ κατήκοντα πρήγματα,* die gegenwärtige Lage. Oefter fehlt auch *πρήγματα.* Vgl. V 49 *τὰ κατήκοντά ἐστι τοιαῦτα.*

7. *καταθύειν.* Der Infinitivsatz (*τῶν τε προβάτων — καταθύειν*) erläutert *τάδε.* Dem *τε* hinter *τῶν* correspondiert das *τε* hinter *παραίνεε,* welches letztere variierend den Begriff des *ποιητέα εἶναι ἔλεγε* wiederholt.

9. *κομιδῆς δὲ πέρι. περί τινος* (= was etwas anbetrifft) findet sich öfters zu Anfang des Satzes vorausgestellt. Vgl. VII 102 *ἀριθμοῦ δὲ πέρι μὴ πύθῃ, ὅσοι τινὲς ἐόντες ταῦτα ποιέειν οἷοί τέ εἰσι. τὴν ὥρην* näml. *τῆς κομιδῆς.*

10. *μελήσειν ὥστε. μέλει μοι* mit *ὅτι* IX 72.

20. 12. *παραχρησάμενοι. παραχρᾶσθαί τι,* etwas als Nebensache ansehen, auch I 108 *Ἅρπαγε, πρῆγμα τὸ ἄν τοι προσθέω, μηδαμὰ παραχρήσῃ.*

Βάκιδος. Bakis (aus Boiotien) gehört wie Orpheus, Musaios, Melampus, Laius unter die Zahl der berühmten gottbegeisterten Seher des vorhistorischen Altertums, welche als Verfasser alter Sammlungen von Weissagungen und Orakelsprüchen galten. Schon zu Aristoteles Zeiten bezweifelte man, dasz ein Musaios, Orpheus, Bakis wirklich existiert habe, und sah die ihnen zugeschriebenen *χρησμοί* od. *λόγια* (c. 62) als Machwerke des Onomakritos (über dessen Tätigkeit s. z. VII 6) und anderer an. Auch c. 77. 96. IX 43 führt Her. Orakelsprüche des Bakis an.

13. *οὔτε τι — οὐδὲν οὔτε* genau so IV 19 *Σκύθαι, οὔτε τι σπείροντες οὐδὲν οὔτε ἀροῦντες.*

14. *προεσάξαντο* ion. Aor. I Med. von *προεσάγειν.* S. ion. Wörterverzeichnis Bd. I S. 39. Vgl. I 190 *ἀλλ᾽ ὁρέοντες αὐτὸν παντὶ ἔθνεϊ ὁμοίως ἐπιχειρέοντα, προεσάξαντο σίτια ἐτέων κάρτα πολλῶν.* Ebenso V 34 *παρεσκευάσαντο δὲ ὡς πολιορ-*

ἐποιήσαντο σφίσι αὐτοῖσι τὰ πρήγματα. Βάκιδι γὰρ ὧδε ἔχει περὶ τούτων ὁ χρησμός·

> *Φράζεο, βαρβαρόφωνος ὅταν ζυγὸν εἰς ἅλα βάλλῃ*
> *Βύβλινον, Εὐβοίης ἀπέχειν πολυμηκάδας αἶγας.*

τούτοισι δὲ οὐδὲν τοῖσι ἔπεσι χρησαμένοισι ἐν τοῖσι τότε παρεοῦσί τε καὶ προσδοκίμοισι κακοῖσι παρῆν σφι συμφορῇ χρᾶ-
21 *σθαι πρὸς τὰ μέγιστα. Οἱ μὲν δὴ ταῦτα ἔπρησσον, παρῆν δὲ*
ὁ ἐκ Τρηχῖνος κατάσκοπος. ἦν μὲν γὰρ ἐπ' Ἀρτεμισίῳ κατάσκοπος Πολύας, γένος Ἀντικυρεύς, τῷ προσετέτακτο, καὶ εἶχε πλοῖον κατῆρες ἑτοῖμον, εἰ παλήσειε ὁ ναυτικὸς στρατὸς, ση-

---

κησόμενοι, καὶ σῖτα καὶ ποτὰ κατὰ τάχος ἐσάξαντο.

περιπετέα „umschlagend" näml. zum Unglück. Denn sie hatten nicht nur ihre 30 Talente vergeblich aufgewandt (c. 4), sondern sie verloren auch ihre Herden und sahen ihre Insel den Persern preisgegeben, welche ihre Städte verheerten (c. 23).

1. *Βάκιδι ὧδε ἔχει ὁ χρησμός.* Derselbe Gedanke ist IX 43 so ausgedrückt: *ἀλλὰ τὰ μὲν Βάκιδί ἐστι ἐς ταύτην τὴν μάχην πεποιημένα.*

4. *βύβλινον* heiszt die Schiffbrücke (= *ζυγόν*), weil die Taue (*ὅπλα*), welche bei der Ueberbrückung angewandt wurden, aus dem Bast der ägyptischen Papyrosstaude (= *βύβλος*) verfertigt waren. Vgl. VII 23 *παρεσκευάζετο δὲ καὶ ὅπλα ἐς τὰς γεφύρας βύβλινά τε καὶ λευκολίνου.* S. z. d. St.

5. *τούτοισι*, *Εὐβοιεῦσι.*

6. *παρῆν σφι. σφι* nimmt der Deutlichkeit halber das entfernte *τούτοις* wieder auf. *παρῆν* = *ἐξῆν* (od. *παρέσχε* c. 8). Häufig steht in dieser Bedeutung das absolute *παρεόν* (VII 24. 164. 229). Uebrigens läszt der ironisch gefärbte Ausdruck durchblicken, dasz der Verf. das Schicksal der Euboier als selbstverschuldet ansieht, da sie nach seiner Meinung sich nach dem Orakelspruch hätten richten müssen. Herodot schenkt nämlich alten Weissagungen berühmter Seher, wie des Melampus, Musaios u. a., in den meisten Fällen Vertrauen. Vgl. unt. c. 77 *χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν ὡς οὐκ εἰσὶ ἀληθέες, οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσβλέψας. — ἐς τοιαῦτα μὲν καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι ἀντιλογίης χρησμῶν πέρι οὔτε αὐτὸς λέγειν τολμέω οὔτε παρ' ἄλλων ἐνδέκομαι.* Vgl. darüber Einleit. Bd. I S. 19.

συμφορῇ χρᾶσθαι = sich dem Schmerz über ein Unglück überlassen. Vgl. III 117 *οὐκ ἔχοντες ὕδατι χρᾶσθαι συμφορῇ μεγάλῃ διαχρέονται.*

7. *πρὸς τὰ μέγιστα* steht nur hier in dem Sinne von *ἐς τὰ μέγιστα* (c. 144).

21. *ἔπρησσον. πρήσσειν* ist hier in dem Sinne zu fassen wie in der Verbindung *εὖ, κακῶς πρήσσειν.* Aehnlich VI 79. Vgl. unt. c. 130.

8. *ὁ κατάσκοπος.* Der Artikel weist oft anticipierend auf eine erst im Folgenden zu gebende Erläuterung hin. Vgl. c. 24 (*τὰ περὶ τοὺς νεκρούς*) und c. 103.

Τρηχῖνος. Hier die Landschaft Trachis wie VII 176. 203. Anders VII 199.

9. *Ἀντικυρεύς*, aus der phthiotischen Stadt Antikyra; auch in Phokis (am Fusz des Parnassos) lag eine Stadt dieses Namens. Genaueres s. z. VII 198.

10. *παλήσειε* von der sonst nicht nachweisbaren Nebenform *παλέω* (= *παλαίω*). *παλέειν* (eig. ringen) ist hier zu fassen wie in der Verbindung *παλαίειν ἄτῃσι* Hes. Op. 411 od. *παλαίειν πόνοισι*;

μαίνειν τοῖσι ἐν Θερμοπύλῃσι ἐοῦσι· ὣς δ' αὔτως ἦν Ἁβρώνιχος ὁ Λυσικλέος Ἀθηναῖος καὶ παρὰ Λεωνίδῃ ἑτοῖμος τοῖσι ἐπ' Ἀρτεμισίῳ ἐοῦσι ἀγγέλλειν τριηκοντέρῳ, ἤν τι καταλαμβάνῃ νεώτερον τὸν πεζόν. οὗτος ὦν ὁ Ἁβρώνιχος ἀπικόμενός σφι ἐσήμαινε τὰ γεγονότα περὶ Λεωνίδην καὶ τὸν στρατὸν αὐτοῦ. οἱ δὲ ὡς ἐπύθοντο ταῦτα, οὐκέτι ἐς ἀναβολὰς ἐποιεῦντο τὴν ἀποχώρησιν, ἐκομίζοντο δὲ ὡς ἕκαστοι ἐτάχθησαν, Κορίνθιοι πρῶτοι, ὕστατοι δὲ Ἀθηναῖοι. Ἀθηναίων δὲ νέας τὰς 22
ἄριστα πλωούσας ἐπιλεξάμενος Θεμιστοκλέης ἐπορεύετο περὶ τὰ πότιμα ὕδατα, ἐντάμνων ἐν τοῖσι λίθοισι γράμματα, τὰ Ἴωνες ἐπελθόντες τῇ ὑστεραίῃ ἡμέρῃ ἐπὶ τὸ Ἀρτεμίσιον ἐπελέξαντο. τὰ δὲ γράμματα τάδε ἔλεγε· Ἄνδρες Ἴωνες, οὐ ποιέετε δίκαια ἐπὶ τοὺς πατέρας στρατευόμενοι καὶ τὴν Ἑλλάδα καταδουλούμενοι. ἀλλὰ μάλιστα μὲν πρὸς ἡμέων γίνεσθε· εἰ δὲ ὑμῖν ἐστὶ τοῦτο μὴ δυνατὸν ποιῆσαι, ὑμεῖς δὲ ἔτι καὶ νῦν

vgl. ἀεθλέειν (= Mühsal erdulden) und πονέειν, was Thuk. V 73 von einem durch die Feinde bedrängten Heere gebraucht. Hesychius erklärt παλήσεις nicht genau genug mit διαφθαρείῃ.

1. Ἁβρώνιχος auch von Thuk. I 91 erwähnt; er war unter der Gesandtschaft, welche Themistokles 2 Jahre später (478), als die Spartaner sich der Befestigung Athens widersetzten, nach Sparta führte (vgl. Nep. Themist. c. 6).

3. καταλαμβάνῃ. Ueber καταλαμβάνειν s. z. c. 6.

4. νεώτερον wird meist von unglücklichen Ereignissen gebraucht. Vgl. c. 141 und III 62 οὐ μή τί τοι ἔκ γε ἐκείνου νεώτερον ἀναβλαστήσει.

6. ἐς ἀναβολὰς ποιέεσθαι. Vgl. Thuk. VII 15 ὅτι δὲ μέλλετε, ἅμα τῷ ἦρι εὐθὺς καὶ μὴ ἐς ἀναβολὰς πράσσετε und II 42 ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο.

7. ἐκομίζοντο. Das absolute κομίζεσθαι wird von der Fortbewegung zu Lande und zu Wasser gebraucht. Vgl. c. 62 κομιεύμεθα ἐς Σίριν.

Themistokles versucht die Ioner zum Abfall zu verleiten. Die Perser auf Euboia (c. 22. 23).

22. 9. ἐπιλεξάμενος. ἐπιλέγεσθαι sich auswählen, auch VI 73. VII 205; dagegen lesen unt. (12) und c. 128. 136.

12. οὐ ποιέετε δίκαια. Vgl. den Rat, welchen Artabanos dem Xerxes gibt VII 51 συμβουλεύω τοι μηδεμιῇ μηχανῇ ἄγειν τοὺς Ἴωνας ἐπὶ τοὺς πατέρας (= προγόνους) — ἢ γάρ σφεας, ἢν ἕπωνται, δεῖ ἀδικωτάτους γίνεσθαι καταδουλουμένους τὴν μητρόπολιν ἢ δικαιοτάτους συνελευθεροῦντας.

14. πρὸς ἡμέων γίνεσθε. γίνεσθαι πρός τινος auf Seiten jemandes treten wie I 124 πρῶτοι γὰρ οὗτοι ἀποστάντες ἀπ' ἐκείνου καὶ γενόμενοι πρὸς σέο Ἀστυάγεα καταιρέειν πειρήσονται. Unten c. 60 hat πρός c. genet. die verwandte Bedeutung zum Vorteil jemandes.

15. ὑμεῖς δέ. Das δέ in apodosi, welches nicht nur in längeren sondern auch in kürzeren Sätzen auftritt, hebt den Nachsatz nachdrücklich hervor, welcher durch die Einschiebung von δέ sich anakoluthisch zu einem beigeordneten Satze des Vordersatzes gestaltet. Ganz wie hier IX 60. Vgl. auch III 37 ὃς δὲ τούτους μὴ ὄπωπε, ἐγὼ

ἐκ τοῦ μέσου ἡμῖν ἵζεσθε καὶ αὐτοί, καὶ τῶν Καρῶν δέεσθε τὰ αὐτὰ ὑμῖν ποιέειν· εἰ δὲ μηδέτερον τούτων οἷόν τε γίνεσθαι, ἀλλ' ὑπ' ἀναγκαίης μέζονος κατέζευχθε ἢ ὥστε ἀπίστασθαι, ὑμεῖς γε ἐν τῷ ἔργῳ, ἐπεὰν συμμίσγωμεν, ἐθελοκακέετε, μεμνημένοι ὅτι ἀπ' ἡμέων γεγόνατε καὶ ὅτι ἀρχῆθεν ἡ ἔχθρη πρὸς τὸν βάρβαρον ἀπ' ὑμέων ἡμῖν γέγονε. Θεμιστοκλέης δὲ ταῦτα ἔγραψε, δοκέειν ἐμοί, ἐπ' ἀμφότερα νοέων, ἵνα ἢ λαθόντα τὰ γράμματα βασιλέα Ἴωνας ποιήσῃ μεταβαλεῖν καὶ γενέσθαι πρὸς ἑωυτῶν, ἢ ἐπείτε ἀνενειχθῇ καὶ διαβληθῇ πρὸς Ξέρξην, ἀπίστους ποιήσῃ τοὺς Ἴωνας καὶ τῶν ναυμαχιέων αὐτοὺς ἀπόσχῃ.

23 Θεμιστοκλέης μὲν ταῦτα ἐνέγραψε, τοῖσι δὲ βαρβάροισι αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθε ἀνὴρ Ἱστιαιεὺς ἀγγέλλων τὸν δρησμὸν τὸν ἀπ' Ἀρτεμισίου τῶν Ἑλλήνων. οἱ δ' ὑπ' ἀπιστίης τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ, νέας δὲ ταχέας ἀπέστειλαν προκατοψομένας. ἀπαγγειλάντων δὲ τούτων τὰ ἦν, οὕτω δὴ ἅμα ἡλίῳ σκιδναμένῳ πᾶσα ἡ στρατιὴ ἔπλωε ἁλὴς ἐπὶ τὸ Ἀρ-

δέ οἱ σημανέω. Ebenso VII 159. In gleicher Weise ist IX 42. 48 ἀλλά gebraucht.

1. *ἐκ τοῦ μέσου ἵζεσθε.* ἐκ τοῦ μέσου ἵζεσθαι od. κατῆσθαι heiszt eigentl. sich vom Felde des Kampfes (welches μέσον zwischen den zwei Streitenden ist) entfernt halten d. h. sich neutral halten. Vgl. c. 73.

τὰ αὐτὰ ἡμῖν. ὁ αὐτός wird wie die Adjectiva und Adverbia, welche den Begriff des Gleichen u. Aehnlichen enthalten (ὁμοῖος, ἴσος, παραπλήσιος) mit Dativ verbunden. Vgl. c. 30 παρέχειν τέ σφι (τοῖσι φονεῦσι) Θεσσαλοῖσι ὁμοίως μηδίζειν. Ebenso c. 119.

3. *κατέζευχθε.* Vgl. Soph. Aias 566 ἄτῃ συγκατέζευκται κακῇ. So häufig bei Dichtern.

4. *ἔργον* vom Kampf wie VI 29 τό τε δὴ ἔργον τῆς ἵππου ἐγένετο.

7. *δοκέειν ἐμοί,* häufiger ist ὡς δοκέειν ἐμοί s. z. c. 30, ohne ὡς c. 63.

ἐπ' ἀμφότερα νοέων. Vgl. IX 97 ἐπ' ἀμφότερα παρεσκευάδατο.

8. *μεταβαλεῖν.* S. z. c. 109.

γενέσθαι πρὸς ἑωυτῶν S. o. (S. 17, 14).

9. *ἐπείτε ἀνενειχθῇ.* Wir erwarteten ἐπεάν; doch finden sich auch andere temporale Coniunctionen wie ὡς, πρίν, ἐς ὅ (= bis) bei Her. öfter mit dem bloszen Coniunctiv (ohne ἄν) verbunden. Vgl. c. 108 ἐς ὃ ἔλθῃ.

23. 12. *Ἱστιαιεύς* aus Histiaia (später Oreos), einer Stadt in der Landschaft Ἱστιαιῆτις auf dem nördlichen Euboia. Vgl. VII 175.

13. *ὑπ' ἀπιστίης* wie III 153. V 41.

15. *τούτων,* die Schiffsmannschaft (aus νέας [14] zu entnehmen).

οὕτω δή hebt (wie ἐνταῦθα δή od. μετὰ ταῦτα c. 25) den Nachsatz oder den Begriff des Hauptverbums (c. 40) nachdrücklich hervor; in Verbindung mit einem Particip dient es dazu, die temporale (so hier) oder conditionale (c. 61) Bedeutung desselben zu verdeutlichen. Vgl. c. 94.

16. *σκιδναμένῳ.* σκίδνασθαι von den sich ausbreitenden Sonnenstralen gesagt wie Hom. Il. VII 451 σὸν ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς.

τεμίσιον. ἐπισχόντες δὲ ἐν τούτῳ τῷ χώρῳ μέχρι μέσου ἡμέ-
ρης, τὸ ἀπὸ τούτου ἔπλωον ἐς Ἱστίαιαν. ἀπικόμενοι δὲ τὴν
πόλιν ἔσχον τῶν Ἑστιαιέων, καὶ τῆς Ἑλλοπίης μοίρης, γῆς δὲ
τῆς Ἱστιαιήτιδος τὰς παραθαλασσίας κώμας πάσας ἐπέδραμον.
Ἐνθαῦτα δὲ τούτων ἐόντων Ξέρξης ἑτοιμασάμενος τὰ περὶ τοὺς 24
νεκροὺς ἔπεμπε ἐς τὸν ναυτικὸν στρατὸν κήρυκα· προετοιμά-
σατο δὲ τάδε· ὅσοι τοῦ στρατοῦ τοῦ ἑωυτοῦ ἦσαν νεκροὶ ἐν
Θερμοπύλῃσι (ἦσαν δὲ καὶ δύο μυριάδες), ὑπολιπόμενος τούτων
ὡς χιλίους, τοὺς λοιποὺς τάφρους ὀρυξάμενος ἔθαψε, φυλλάδα
τε ἐπιβαλὼν καὶ γῆν ἐπαμησάμενος, ἵνα μὴ ὀφθείησαν ὑπὸ
τοῦ ναυτικοῦ στρατοῦ. ὡς δὲ διέβη ἐς τὴν Ἱστίαιαν ὁ κῆρυξ,
σύλλογον ποιησάμενος παντὸς τοῦ στρατοπέδου ἔλεγε τάδε·
Ἄνδρες σύμμαχοι, βασιλεὺς Ξέρξης τῷ βουλομένῳ ὑμέων πα-
ραδιδοῖ ἐκλιπόντα τὴν τάξιν καὶ ἐλθόντα θηήσασθαι, ὅκως
μάχεται πρὸς τοὺς ἀνοήτους τῶν ἀνθρώπων, οἳ ἤλπισαν τὴν
βασιλέος δύναμιν ὑπερβαλέεσθαι. Ταῦτα ἐπαγγειλαμένου, 25
μετὰ ταῦτα οὐδὲν ἐγίνετο πλοίων σπανιώτερον. οὕτω πολλοὶ
ἤθελον θηήσασθαι. διαπεραιωθέντες δὲ ἐθηεῦντο διεξιόντες
τοὺς νεκρούς· πάντες δὲ ἠπιστέατο τοὺς κειμένους εἶναι πάν-

1. *μέχρι μέσου ἡμέρης.* Vgl. c. 15 *κατὰ μέσον ἡμέρης.*

2. *τὸ ἀπὸ τούτου* (= ab hoc inde tempore) hat temporale Bedeutung (= *ἤδη*). In derselben Bedeutung gebraucht Her. öfter *τὸ ἐνθεῦτεν* (c. 8). Ueber den Artikel in beiden Ausdrücken s. z. c. 8.

3. *τῆς Ἑλλοπίης.* *Ἑλλοπία* war der alte Name der nördlichen Hälfte von Euboia; später hiesz dieser Strich *Ἱστιαιῆτις*. Die Bewohner dieser Landschaft waren vermutlich aus Epirus und (später) aus Thessalien eingewandert, denn *Ἑλλοπία* war ein Teil von Epirus und *Ἱστιαιῆ(ῶ)τις* hiesz auch das nordwestliche Thessalien.

γῆς δέ. *δέ* wird öfter bei epanaleptischen Appositionen gebraucht. Vgl. II 134 *Ῥοδῶπις δούλη ἦν Ἰάδμονος, ἀνδρὸς Σαμίου, δούλη δὲ Αἰσώπου τοῦ λογοποιοῦ.*

4. *ἐπέδραμον* in gleicher Bedeutung c. 32.

Vorgänge nach der Schlacht bei Thermopylae. Die Hellenen feiern die Olympien. Feindseligkeiten der Thessaler und Phoker. Zug des Xerxes durch Doris, Phokis, Boiotien. Vernichtung einer persischen Heeresabteilung bei Delphi (c. 24—39).

24. 5. *τὰ περὶ τοὺς νεκρούς.* Vgl. zu *ὁ κατάσκοπος* c. 21.

8. *καὶ δύο.* *καί* hat öfter hervorhebende Kraft, so namentlich vor Zahlbegriffen. Vgl. II 175 *πλόος καὶ εἴκοσι ἡμερέων.*

10. *ἐπιβαλών, τοῖς νεκροῖς.*

13. *παραδιδόναι* mit Infin. auch IX 78 *καί τοι θεὸς παρέδωκε ῥυσάμενον τὴν Ἑλλάδα κλέος καταθέσθαι μέγιστον Ἑλλήνων τῶν ἡμεῖς ἴδμεν.*

16. *ὑπερβάλλεσθαι* ist in gleicher Bedeutung wie hier mit Accus. verbunden c. 140, 1.

25. 17. *μετὰ ταῦτα.* S. z. c. 23 (*οὕτω δή*).

19. *ἠπιστέατο.* S. z. c. 5.

τας Λακεδαιμονίους καὶ Θεσπιέας, ὁρέοντες καὶ τοὺς εἵλωτας. οὐ μὲν οὐδ' ἐλάνθανε τοὺς διαβεβηκότας Ξέρξης ταῦτα πρήξας περὶ τοὺς νεκροὺς τοὺς ἑωυτοῦ· καὶ γὰρ δὴ καὶ γελοῖον ἦν· τῶν μὲν χίλιοι ἐφαίνοντο νεκροὶ κείμενοι, οἱ δὲ πάντες ἐκέατο ἁλέες συγκεκομισμένοι ἐς τὠυτὸ χωρίον, τέσσερες χιλιάδες. ταύτην μὲν τὴν ἡμέρην πρὸς θέην ἐτράποντο, τῇ δ' ὑστεραίῃ οἱ μὲν ἀπέπλωον ἐς Ἱστίαιαν ἐπὶ τὰς νέας, οἱ δὲ ἀμφὶ Ξέρξην ἐς ὁδὸν ὡρμέατο.

26 *Ἧκον δέ σφι αὐτόμολοι ἄνδρες ἀπ' Ἀρκαδίης ὀλίγοι τινὲς, βίου τε δεόμενοι καὶ ἐνεργοὶ βουλόμενοι εἶναι. ἄγοντες δὲ τούτους ἐς ὄψιν τὴν βασιλέος ἐπυνθάνοντο οἱ Πέρσαι περὶ τῶν Ἑλλήνων τὰ ποιέοιεν· εἷς δέ τις πρὸ πάντων ἦν ὁ εἰρωτέων αὐτοὺς ταῦτα. οἱ δέ σφι ἔλεγον, ὡς Ὀλύμπια ἄγοιεν καὶ θεωρέοιεν ἀγῶνα γυμνικὸν καὶ ἱππικόν. ὁ δὲ ἐπείρετο, ὅ τι τὸ ἄεθλον εἴη σφι κείμενον, περὶ ὅτευ ἀγωνίζονται· οἱ δ' εἶπον τῆς ἐλαίης τὸν διδόμενον στέφανον. ἐνθαῦτα εἴπας γνώμην γενναιοτάτην Τριτανταίχμης ὁ Ἀρταβάνου δειλίην ὦφλε πρὸς βασιλέος. πυνθανόμενος γὰρ τὸ*

2. *οὐ μέν* (= *μήν*) *οὐδέ*. Dieselbe Verbindung c. 130. IX 7. Häufig auch *οὐ μέντοι οὐδέ*.

4. *τῶν μέν* geht auf die Perser, dagegen *οἱ δέ π.* auf die Hellenen. Das Asyndeton ist in solchen erläuternden Sätzen nicht selten.

5. *τέσσερες χιλιάδες*. Die Zahl 4000 gibt Her. als Gesammtsumme der in dem dreitägigen Kampfe bei den Thermopylen Gefallenen an; am letzten Tage der Schlacht waren nur die allein zurückgebliebenen 300 Spartiaten und 700 Thespier gefallen, da Leonidas alle übrigen Hellenen vorher entlassen hatte. Vgl. VII 177. 205.

26. 9. *βίου* = *βιότου*. Vgl. c. 51. 106. *ἐνεργοὶ βουλόμενοι*. Sie wollten also *ὑπ' ἀσθενίης βίου* (c. 51) in persische Kriegsdienste treten.

11. *περὶ τῶν Ἑλλήνων τὰ ποιέοιεν*. Das Subject des abhängigen Satzes in Verbindung mit einer Praeposition in den Hauptsatz gezogen (Anticipation). *τά* Relativ statt des indirecten Fragepronomens wie c. 40.

13. *Ὀλύμπια ἄγοιεν*. Die olympische Festfeier fiel in die Vollmondszeit zunächst nach der Sommersonnenwende; die hier bezeichnete Feier der Olympien war Olymp. LXXV. Vgl. VII 206.

14. *τὸ ἄεθλον*. *τό* der übliche, feststehende. Vgl. c. 27 *ἡ δὲ δεκάτη ἐγένετο τῶν χρημάτων ἐκ ταύτης τῆς μάχης οἱ μεγάλοι ἀνδριάντες* (*ἐν Δελφοῖσι*).

κείμενον. *κεῖμαι* vertritt häufig die Stelle des Perf. Pass. von *τίθημι*. Vgl. c. 93 *ἄεθλον ἔκειτο μύριαι δραχμαί*.

15. *τὸν διδόμενον στέφανον* sc. *κεῖσθαι τὸ ἄεθλον*. Ebenso *ὑπεκκεῖσθαι* (= *ὑπεκτεθεῖσθαι*) c. 41. 60. Der Kampfpreis bestand in einem Olivenkranz; Auszeichnungen und Belohnungen anderer Art, wie Proedrie, lebenslängliche Speisung im Prytaneum, Geldpreise u. a. wurden den Siegern in ihrer Heimat zu teil. Ursprünglich hatten auch in Olympia die Kampfpreise in Wertsachen bestanden, wie in einem Tripus, einem kostbaren Gewande u. s. w. (so auch im homerischen Zeitalter).

17. *δειλίην ὦφλε* ignaviae crimen meruit. Vgl. Thuk. V 101 *αἰσχύνην ὄφλειν*.

πρὸς βασιλέος. *πρός* weil die

ἄεθλον ἐὸν στέφανον, ἀλλ' οὐ χρήματα, οὔτε ἠνέσχετο σιγέων εἶπέ τε ἐς πάντας τάδε· Παπαί, Μαρδόνιε, κοίους ἐπ' ἄνδρας ἤγαγες μαχεσομένους ἡμέας, οἳ οὐ περὶ χρημάτων τὸν ἀγῶνα ποιεῦνται, ἀλλὰ περὶ ἀρετῆς. Τούτῳ μὲν δὴ ταῦτα εἴρητο, ἐν 27
δὲ τῷ διὰ μέσου χρόνῳ, ἐπείτε τὸ ἐν Θερμοπύλῃσι τρῶμα ἐγεγόνεε, αὐτίκα Θεσσαλοὶ πέμπουσι κήρυκα ἐς Φωκέας, ἅτε σφι ἐνέχοντες αἰεὶ χόλον, ἀπὸ δὲ τοῦ ὑστάτου τρώματος καὶ τὸ κάρτα. ἐσβαλόντες γὰρ πανστρατιῇ αὐτοί τε οἱ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι αὐτῶν ἐς τοὺς Φωκέας οὐ πολλοῖσι ἔτεσι πρότερον ταύτης τῆς βασιλέος στρατηλασίης ἑσσώθησαν ὑπὸ τῶν Φωκέων καὶ περιέφθησαν τρηχέως. ἐπείτε γὰρ κατειλήθησαν ἐς τὸν Παρνησὸν οἱ Φωκέες ἔχοντες μάντιν Τελλίην τὸν Ἠλεῖον, ἐνθαῦτα ὁ Τελλίης οὗτος σοφίζεται αὐτοῖσι τοιόνδε· γυψώσας ἄνδρας ἑξακοσίους τῶν Φωκέων τοὺς ἀρίστους, αὐτούς τε τούτους καὶ τὰ ὅπλα αὐτῶν, νυκτὸς ἐπεθήκατο τοῖσι Θεσσαλοῖσι, προείπας αὐτοῖσι, τὸν ἂν μὴ λευκανθίζοντα ἴδωνται, τοῦτον κτείνειν. τούτους ὦν αἵ τε φυλακαὶ τῶν Θεσσαλῶν πρῶται ἰδοῦσαι ἐφοβήθησαν, δόξασαι ἄλλο τι εἶναι τέρας, καὶ μετὰ τὰς φυλακὰς αὐτὴ ἡ στρατιὴ οὕτω ὥστε τετρακισχιλίων κρατῆσαι νεκρῶν καὶ ἀσπίδων Φωκέας, τῶν τὰς μὲν ἡμισέας ἐς Ἄβας ἀνέθεσαν, τὰς δὲ ἐς Δελφούς· ἡ δὲ δεκάτη ἐγένετο τῶν

Verbindung δειλίην ὄφλειν eine passive Bedeutung hat. Vgl. IX, 17 ἔπαινον ἕξεις πρῶτα μὲν ὑπὸ πάντων Σπαρτιητέων, αὖτις δὲ καὶ πρὸς τῶν ἄλλων Ἑλλήνων.

1. ἠνέσχετο σιγέων. ἀνέχεσθαι mit Partic. auch VII 139 ταῦτα ἀκούσας οὐκ ἠνέσχετο. Oefter. — Ueber οὔτε — τε = nec (non solum non) — et (sed etiam) vgl. c. 30.

27. 4. ἐν δὲ τῷ διὰ μέσου χρόνῳ. ὁ διὰ μέσου χρόνος die Zwischenzeit auch IX 112.

5. τρῶμα clades. Vgl. VI 109 μετὰ δὲ τὸ ἐν Μαραθῶνι τρῶμα γενόμενον.

6. ἅτε σφι ἐνέχοντες αἰεὶ χόλον. Zur Sache vgl. VII 176. Der Ausdruck auch I 118 κρύπτων τόν οἱ ἐνεῖχε χόλον. In ἐνέχειν ist die Bedeutung von ἐν zu beachten.

7. καὶ τὸ κάρτα ganz besonders. Vgl. I 71 ἀπὸ δὲ ταύτης γνώμης καὶ τὸ κάρτα οὔνομα σοφοῦ ἔχων. καί hat in dieser Verbindung auctive Kraft. Oft auch καὶ κάρτα.

10. ἑσσώθησαν att. ἡττήθησαν.

11. περιέφθησαν τρηχέως. S. z. c. 18.

12. Παρνησσόν. S. z. c. 32.

Τελλίην τὸν Ἠλεῖον. Die Telliaden gehörten mit den Iamiden (IX 33) und Klytiaden zu den berühmtesten Sehergeschlechtern von Elis. Vgl. IX 37.

15. ἐπεθήκατο. In gleicher Bedeutung steht ἐπιτίθεσθαι c. 7.

18. ἄλλο τι — τέρας. ἄλλος bezeichnet hier wie öfter etwas ungleichartiges, dessen Beschaffenheit im Folg. durch τέρας erklärt ist.

19. αὐτὴ ἡ στρατιή erg. ἐφοβήθη.

21. Ἄβας. In dem phokischen Abae war ein sehr altes und berühmtes Heiligtum und Orakel des Apollo. Vgl. c. 134.

ἡ δὲ δεκάτη. Zur Bedeutung

χρημάτων ἐκ ταύτης τῆς μάχης οἱ μεγάλοι ἀνδριάντες οἱ περὶ τὸν τρίποδα συνεστεῶτες ἔμπροσθε τοῦ νηοῦ τοῦ ἐν Δελφοῖσι,
28 *καὶ ἕτεροι τοιοῦτοι ἐν Ἄβῃσι ἀνακέαται. Ταῦτα μέν νυν τὸν πεζὸν ἐργάσαντο τῶν Θεσσαλῶν οἱ Φωκέες, πολιορκέοντας ἑωυτούς, ἐσβαλοῦσαν δὲ ἐς τὴν χώρην τὴν ἵππον αὐτῶν ἐλυμήναντο ἀνηκέστως. ἐν γὰρ τῇ ἐσβολῇ, ἥ ἐστι κατὰ Ὑάμπολιν, ἐν ταύτῃ τάφρον μεγάλην ὀρύξαντες ἀμφορέας κεινοὺς ἐς αὐτὴν κατέθηκαν, χοῦν δὲ ἐπιφορήσαντες καὶ ὁμοιώσαντες τῷ ἄλλῳ χώρῳ ἐδέκοντο τοὺς Θεσσαλοὺς ἐσβάλλοντας. οἱ δέ, ὡς ἀναρπασόμενοι τοὺς Φωκέας, φερόμενοι ἐσέπεσον ἐς τοὺς ἀμφορέας. ἐνθαῦτα οἱ ἵπποι τὰ σκέλεα διεφθάρησαν.*
29 *Τούτων δή σφι ἀμφοτέρων ἔχοντες ἔγκοτον οἱ Θεσσαλοὶ πέμψαντες κήρυκα ἠγόρευον τάδε· Ὦ Φωκέες, ἤδη τι μᾶλλον γνωσιμαχέετε μὴ εἶναι ὁμοῖοι ἡμῖν. πρόσθε τε γὰρ ἐν τοῖσι Ἕλλησι,*

des Artikels s. z. c. 26 (*τὸ ἄεθλον*).

1. *οἱ μεγάλοι ἀνδριάντες — συνεστεῶτες.* Der hier erwähnte Dreifusz stand auf dem Vorplatz des Tempels (Paus. X 13, 8); um den Dreifusz herum standen (= *συνεστεῶτες*) mehrere grosze Götterstatuen, wie Pausan. X 13, 7 näher erläutert: *Ἡρακλῆς δὲ καὶ Ἀπόλλων ἔχονται τοῦ τρίποδος καὶ ἐς μάχην περὶ αὐτοῦ καθίστανται· Λητὼ μὲν δὴ καὶ Ἄρτεμις Ἀπόλλωνα, Ἀθηνᾶ δὲ Ἡρακλέα ἐπέχουσι τοῦ θυμοῦ. Φωκέων καὶ τοῦτό ἐστιν ἀνάθημα, ὅτε σφίσιν ἐπὶ τοὺς Θεσσαλοὺς Τελλίας ἡγήσατο Ἠλεῖος.* Danach stellte diese Statuengruppe, wie zuerst Schöll erwiesen, den auch von den Dichtern öfter besungenen Kampf des Apollon und Herakles um den pythischen Dreifusz dar, an welchen sich der Besitz des delphischen Heiligtums knüpfte. Auf einer groszen Anzahl antiker Bildwerke ist derselbe Kampf ausgeführt. (Welcker A. D. II 298. III 268).

28. 3. *τὸν πεζόν* (sc. *στρατόν*) ist collectiv zu fassen, woraus sich im Folg. *πολιορκέοντας* erklärt; von *πολιορκέοντας* hängt *ἑωυτούς* als Objectsaccusativ ab.

4. *πολιορκέοντας.* Zum Gebrauch von *πολιορκέειν* vgl. c. 49 *ἐν Σαλαμῖνι ἐόντες πολιορκήσονται* (pass.) *ἐν νήσῳ.*

5. *ἵππος* collectiv wie ob. *ὁ πεζός.* Vgl. V 63 *χιλίην τε ἵππον ἀπέπεμψαν.*

6. *κατὰ Ὑάμπολιν. Ὑάμπολις* (= *Ὑάντων πόλις*) war von den Hyanthen, den vorhellenischen Einwohnern Boiotiens erbaut, die von Kadmos nach Phokis gedrängt waren. Diese uralte Stadt der Phoker (vgl. Hom. Il. II 521) lag hoch oben im Gebirge im oberen Kephissostale zwischen Abae und Elatea (hart an der Grenze zwischen Phokis und dem opuntischen Lokris). Vgl. Xen. Hellen. VI 4, 27.

9. *ὡς ἀναρπασόμενοι* steht in gleichem Sinne IX 59. Ueber die Bedeutung von *ὡς* c. partic. s. z. c. 69.

10. *φερόμενοι ἐσέπεσον.* Dieselbe Verbindung auch c. 91. IX 102. Vgl. auch c. 87 *διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς φέρουσα* (= cum impetu) *ἐνέβαλε νηὶ φιλίῃ ἀνδρῶν Καλυνδέων.*

29. 12. *ἔγκοτος* (= *χόλος*) substantivisch auch IX 110 *τῇ γυναικὶ οὐκ εἶχε ἔγκοτον.* Vgl. c. 27 *ἅτε σφι αἰεὶ ἐνέχοντες χόλον.*

13. *γνωσιμαχέειν* eig. seine frühere Meinung (*γνῶσις* = *γνώμη*) bekämpfen d. h. sich eines anderen besinnen. Ein alter Gram-

ὅσον χρόνον ἐκεῖνα ἡμῖν ἥνδανε, πλέον αἰεί κοτε ὑμέων ἐφερόμεθα, νῦν τε παρὰ τῷ βαρβάρῳ τοσοῦτο δυνάμεθα, ὥστε ἐπ' ἡμῖν ἐστι τῆς γῆς τε ἐστερῆσθαι καὶ πρὸς ἠνδραποδίσθαι ὑμέας· ἡμεῖς μέντοι τὸ πᾶν ἔχοντες οὐ μνησικακέομεν, ἀλλ' ἡμῖν γενέσθω ἀντ' αὐτῶν πεντήκοντα τάλαντα ἀργυρίου, καὶ ὑμῖν ὑποδεκόμεθα τὰ ἐπιόντα ἐπὶ τὴν χώρην ἀποτρέψειν. Ταῦτά σφι ἐπηγγέλλοντο οἱ Θεσσαλοί. οἱ γὰρ Φωκέες μοῦνοι 30
τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, κατ' ἄλλο μὲν οὐδὲν, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων αὖξον, ὡς ἐμοὶ δοκέειν, ἐμήδιζον ἂν οἱ Φωκέες. ταῦτα ἐπαγγελλομένων Θεσσαλῶν οὔτε δώσειν ἔφασαν χρήματα παρέχειν τέ σφι Θεσσαλοῖσι ὁμοίως μηδίζειν, εἰ ἄλλως βουλοίατο· ἀλλ' οὐκ ἔσεσθαι ἑκόντες εἶναι προδόται

matiker erklärt γνωσιμαχέειν = τὸ μεταγινώσκειν καὶ συνιέναι τοῦ ἁμαρτήματος, οἷον τῇ προτέρῃ γνώμῃ ἣν ἔσχε μάχεσθαι. — μή ist im Folg. gesetzt, weil in γνωσιμαχέετε auch ein νομίζετε δέ enthalten ist. Vgl. VII 12 μετὰ δὴ βουλεύεαι, ὦ Πέρσα, στράτευμα μὴ ἄγειν ἐπὶ τὴν Ἑλλάδα; wo μεταβουλεύεαι als Folge ebenfalls ein νομίζεις δέ in sich schlieszt.

1. ἐκεῖνα, τὰ Ἑλλήνων. Vgl. c. 30 οἱ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων αὖξαν.

πλέον — ἐφερόμεθα. πλέον φέρεσθαί τινος eig. mehr als jemand davon tragen, daher so viel wie: mehr als jemand ausrichten od. gelten. Wie hier VII 168. 211. Vgl. die Wendung πλέον od. ἔλασσον ἔχειν IX 70. 102.

2. ἐπ' ἡμῖν = penes nos.

3. καὶ πρός und dazu, adverbial auch. Vgl. πρὸς δέ c. 40, ἐπὶ δὲ (c. 67), ἐν δέ (c. 113).

4. τὸ πᾶν alle mögliche Gewalt näml. euch zu schaden. Wie hier VI 88. VII 197. Häufig fehlt auch der Artikel (VII 50. 176).

5. πεντήκοντα τάλαντα = 78587½ Thlr. (das Talent zu 1571⅔ Thlr. gerechnet).

6. ὑποδέκομεθα. ὑποδέκομαι mit Dat. auch VI 11 καὶ ὑμῖν ἐγὼ ὑποδέκομαι ἢ οὐ συμμίξειν τοὺς πολεμίους ἢ συμμίσγοντας πολλὸν ἐλασσωθήσεσθαι. Vgl. c. 102. IX 21.

τὰ ἐπιόντα erg. δεινά. Vollständig VII 145 δεινῶν ἐπιόντων τοῖσι Ἕλλησι. Aehnlich VII 164.

30. 8. τῶν ταύτῃ ἀνθρώπων. Die benachbarten Staaten Lokris, Doris, Boiotien so wie die Völkerschaften Thessaliens hatten sich sämmtlich den Medern unterworfen.

κατ' ἄλλο. κατά causal wie gleich im Folg. in κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν. Vgl. IX 15. 38. 109.

ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω eine öfter wiederkehrende Wendung. Vgl. VII 24. 184. 187. συμβάλλεσθαι conicere auch c. 94.

9. Θεσσαλῶν Genet. objectivus. Vgl. IX 109 κατ' ἔχθος αὐτῶν.

10. τὰ Ἑλλήνων αὖξον ebenso IX 31.

ὡς ἐμοὶ δοκέειν. Derartige absolute Infinitive finden sich häufig bei Herodot. Vgl. VII 10 ὡς ἐμὲ εὑρίσκειν, unt. c. 114 ὡς εἰπεῖν, II 125 ὡς ἐμὲ μεμνῆσθαι, IX 32 ὡς ἀπεικάσαι. Auch ohne ὡς c. 22. 103.

11. οὔτε — τὲ wie c. 26.

12. παρέχειν τέ σφι. παρέχει μοι auch c. 8.

Θεσσαλοῖσι hängt von ὁμοίως ab. S. z. c. 22.

13. ἄλλως überhaupt. Wie hier ist εἰ ἄλλως verbunden VII 16.

ἑκόντες εἶναι. Ueber den Infinitiv s. z. c. 116.

31 τῆς Ἑλλάδος. Ἐπειδὴ δὲ ἀνηνείχθησαν οὗτοι οἱ λόγοι, οὕτω
δὴ οἱ Θεσσαλοὶ κεχολωμένοι τοῖσι Φωκεῦσι ἐγένοντο ἡγεμόνες
τῷ βαρβάρῳ τῆς ὁδοῦ. ἐκ μὲν δὴ τῆς Τρηχινίης ἐς τὴν Δωρίδα
ἐσέβαλον. τῆς γὰρ Δωρίδος χώρης ποδεὼν στεινὸς ταύτῃ κα-
τατείνει, ὡς τριήκοντα σταδίων μάλιστά κῃ εὖρος, κείμενος
μεταξὺ τῆς τε Μηλίδος καὶ τῆς Φωκίδος χώρης, ἥπερ ἦν τὸ
παλαιὸν Δρυοπίς· ἡ δὲ χώρη αὕτη ἐστὶ μητρόπολις Δωριέων
τῶν ἐν Πελοποννήσῳ. ταύτην ὦν τὴν Δωρίδα γῆν οὐκ ἐσί-
ναντο ἐσβαλόντες οἱ βάρβαροι· ἐμήδιζόν τε γὰρ καὶ οὐκ ἐδό-
32 κεε Θεσσαλοῖσι. Ὡς δὲ ἐκ τῆς Δωρίδος ἐς τὴν Φωκίδα ἐσέ-
βαλον, αὐτοὺς μὲν τοὺς Φωκέας οὐκ αἱρέουσι. οἱ μὲν γὰρ
τῶν Φωκέων ἐς τὰ ἄκρα τοῦ Παρνησοῦ ἀνέβησαν (ἔστι δὲ καὶ
ἐπιτηδέη δέξασθαι ὅμιλον τοῦ Παρνησοῦ ἡ κορυφή, κατὰ
Νέωνα πόλιν κειμένη ἐπ' ἑωυτῆς, Τιθορέα οὔνομα αὐτῇ, ἐς

31. 1. *ἀνηνείχθησαν.* *ἀναφέρειν* findet sich in der Bedeutung von *ἀπαγγέλλειν* sehr häufig bei Herodot. Vgl. c. 69.

οὕτω δή. S. z. c. 23.

3. *ἐκ — τῆς Τρηχινίης.* Ueber die Landschaft Trachis vgl. VII 175. 176. 198 ff.

4. *ποδεών* Zipfel (vgl. II 121). Nach unserer Stelle muss also die kleine Landschaft Doris, welche sich von den Abhängen des Kallidromos und Oeta in einem Bogen von Westen nach Osten bis zu den nördlichen Ausläufern des Parnass erstreckte, von hier ab mit einem schmalen Streifen (*ποδεὼν στεινός*) bis zum malischen Meerbusen gereicht haben. Nach ihren früheren Bewohnern, den Dryopern, hiesz die Landschaft auch Dryopis (s. n.). Ihre 4 Hauptstädte Pindos, Erineos (c. 43), Kytinion und Boion bildeten die sogen. Tetrapolis Dorica.

5. *ὡς* wie *μάλιστά κῃ* limitiert den Zahlbegriff (s. z. c. 8).

σταδίων hängt von *ποδεὼν* ab und *εὖρος* ist Accus. des Bezugs.

6. *τῆς Μηλίδος.* Näher beschreibt Her. die malische Landschaft VII 196. 198.

7. *μητρόπολις Δωριέων.* Vgl. c. 43. 73.

9. *ἐμήδιζον.* Das Subject ist aus *τὴν Δωρίδα*, dem Namen des Landes, zu entnehmen; wie hier c. 121. Zur Sache vgl. c. 50.

καὶ οὐκ ἐδόκεε Θεσσαλοῖσι erg. *αὐτοὺς* (*τοὺς βαρβάρους*) *σίνασθαι τὴν Δωρίδα.*

32. 13. *ἐπιτήδεος* mit Infin. auch IX 2 *χῶρος ἐπιτηδεώτερος ἐνστρατοπεδεύεσθαι.*

κατὰ Νέωνα πόλιν. Neon, eine alte Stadt der Phoker, lag nicht weit von dem östlichen Fusz der Bergspitze Tithorea (s. z. c. 36), die sich über dem Gebirgskamm des Parnass erhebt. Die Perser unter Xerxes zerstörten sie gänzlich, doch ward sie später, freilich nicht ganz an der alten Stelle, unmittelbar am Fusz der Bergspitze Tithorea wiederaufgebaut, nach der sie ebenfalls Tithorea benannt wurde (Pausan. X 32, 6. 8); im heiligen Kriege wurde sie abermals zerstört, doch war sie noch zu Plutarchs Zeiten (Sull. c.15) ein *φρούριον*· „*Τιθόρα, φρούριον ἀπορρῶγι κρημνῷ περικοπτόμενον εἰς ὃ καὶ πάλαι ποτὲ Φωκέων οἱ Ξέρξην ἐπιόντα φεύγοντες ἀνεσκευάσαντο καὶ διεσώθησαν.*" Heutigen Tags liegt an dieser Stelle unter Trümmern von Türmen und Mauern das Dorf Beluzza (Belitza).

14. *κειμένη ἐπ' ἑωυτῆς.* Vgl. I

*τὴν δὴ ἀνηνείκαντο καὶ αὐτοὶ ἀνέβησαν), οἱ δὲ πλεῦνες αὐτῶν
ἐς τοὺς Ὀζόλας Λοκροὺς ἐξεκομίσαντο, ἐς Ἄμφισσαν πόλιν τὴν
ὑπὲρ τοῦ Κρισαίου πεδίου οἰκεομένην. οἱ δὲ βάρβαροι τὴν χώ-
ρην πᾶσαν ἐπέδραμον τὴν Φωκίδα· Θεσσαλοὶ γὰρ οὕτω ἦγον
τὸν στρατόν· ὁκόσα δὲ ἐπέσχον, πάντα ἐπέφλεγον καὶ ἔκειρον,
καὶ ἐς τὰς πόλις ἐνιέντες πῦρ καὶ ἐς τὰ ἱρά. Πορευόμενοι* 33
*γὰρ ταύτῃ παρὰ τὸν Κηφισὸν ποταμὸν ἐδηΐευν πάντα, καὶ
κατὰ μὲν ἔκαυσαν Δρυμὸν πόλιν, κατὰ δὲ Χαράδρην καὶ Ἔρω-
χον καὶ Τεθρώνιον καὶ Ἀμφίκαιαν καὶ Νέωνα καὶ Πεδιέας καὶ
Τριτέας καὶ Ἐλάτειαν καὶ Ὑάμπολιν καὶ Παραποταμίους καὶ
Ἄβας, ἔνθα ἦν ἱρὸν Ἀπόλλωνος πλούσιον, θησαυροῖσί τε καὶ
ἀναθήμασι πολλοῖσι κατεσκευασμένον· ἦν δὲ καὶ τότε καὶ νῦν
ἐστὶ χρηστήριον αὐτόθι· καὶ τοῦτο τὸ ἱρὸν συλήσαντες ἐνέ-
πρησαν. καί τινας διώκοντες εἷλον τῶν Φωκέων πρὸς τοῖσι
οὔρεσι, καὶ γυναῖκάς τινας διέφθειραν μισγόμενοι ὑπὸ πλή-
θεος. Παραποταμίους δὲ παραμειβόμενοι οἱ βάρβαροι ἀπίκοντο* 34

202 *ἡ δὲ Κασπίη θάλασσά ἐστι ἐπ' ἑωντῆς.*

1. *ἀνηνείκαντο, τὰ εἶχον* ihre Habe; ebenso fehlt gleich im Folg. bei *ἐξεκόμισαντο* (2) das Object. Hinzugefügt ist es IX 6. Wie hier c. 36.

2. *Ὀζόλας Λοκρούς.* Die Hauptstadt der ozolischen Lokrer war das alte Amphissa; es lag unweit von dem heutigen Salona nordwestlich von Delphi und dem fruchtbaren krissaeischen Gefilde (*Κρισσαῖον πεδίον εὔδαιμον*), welches dem delphischen Gotte geheiligt war.

4. *ἐπέδραμον.* Vgl. c. 23.

5. *ἐπέσχον. ἐπέχειν τι* sich über oder längs etwas hin verbreiten; wie hier VII 127 *ἐπέσχε δὲ ὁ στρατὸς Ξέρξεω στρατοπεδευόμενος τὴν παρὰ θάλασσαν χώρην τοσήνδε.* Ebenso c. 35 und IX 31.

33. 7. *παρὰ τὸν Κηφισὸν ποταμόν.* Das Tal des Kephissos (j. Mavroneri) und das Feld von Krissa sind die beiden bedeutendsten Ebenen von Phokis.

8. *κατὰ μέν — κατὰ δέ.* Tmesis. Näheres über das Vorkommen derselben bei Herodot s. z. V 81 (*οἱ Αἰγινῆται — ἐπιπλώσαντες μακρῇσι νηυσὶ ἐς τὴν Ἀττικὴν κατὰ μὲν ἔσυραν Φάληρον, κατὰ δὲ τῆς ἄλλης παραλίης πολλοὺς δήμους*). Ganz wie hier IX 5. Vgl. auch unt. c. 77. 89. In der Composition enthält *κατά* oft den Begriff der Vollständigkeit (gleichsam von oben bis unten).

9. *Νέωνα.* S. c. 32. — Elateia war die Hauptstadt von Phokis. Ueber Hyampolis vgl. c. 28, über Parapotamioi c. 34, über Abae c. 27.

11. *θησαυροῖσι. θησαυρός* Schatzkammer od. Schatzbehälter. Jeder griechiche Staat pflegte in Abae wie in Delphi seinen besonderen *θησαυρός* zu haben. Vgl. I 14.

34. 16. *Παραποταμίους.* Die Stadt Parapotamioi liegt in einer Verengerung des Kephissostales, da wo der Höhenzug Hedyleion und die Ausläufer des Parnass ziemlich nahe an die Fluszufer herantreten; längs derselben zog sich die Stadt hin. Daher der Name des Orts. Ruinen desselben finden sich bei dem heutigen Belesch. — Südlich von Parapotamioi lag Pa-

ἐς Πανοπέας. ἐνθεῦτεν δὲ ἤδη διακρινομένη ἡ στρατιὴ αὐ-
τῶν ἐσχίζετο. τὸ μὲν πλεῖστον καὶ δυνατώτατον τοῦ στρατοῦ
ἅμα αὐτῷ Ξέρξῃ πορευόμενον ἐπ' Ἀθήνας ἐσέβαλε ἐς Βοιω-
τούς, ἐς γῆν τὴν Ὀρχομενίων. Βοιωτῶν δὲ πᾶν τὸ πλῆθος
ἐμήδιζε, τὰς δὲ πόλις αὐτῶν ἄνδρες Μακεδόνες διατεταγμένοι
ἔσωζον, ὑπ' Ἀλεξάνδρου ἀποπεμφθέντες. ἔσωζον δὲ τῇδε,
βουλόμενοι δῆλον ποιέειν Ξέρξῃ, ὅτι τὰ Μήδων Βοιωτοὶ φρο-
35 νέοιεν. Οὗτοι μὲν δὴ τῶν βαρβάρων ταύτῃ ἐτράποντο, ἄλλοι
δὲ αὐτῶν ἡγεμόνας ἔχοντες ὡρμέατο ἐπὶ τὸ ἱρὸν τὸ ἐν Δελ-
φοῖσι, ἐν δεξιῇ τὸν Παρνησὸν ἀπέργοντες. ὅσα δὲ καὶ οὗτοι
ἐπέσχον τῆς Φωκίδος, πάντα ἐσιναμώρεον· καὶ γὰρ τῶν Πανο-
πέων τὴν πόλιν ἐνέπρησαν καὶ Δαυλίων καὶ Αἰολιδέων. ἐπο-
ρεύοντο δὲ ταύτῃ ἀποσχισθέντες τῆς ἄλλης στρατιῆς τῶνδε
εἵνεκεν, ὅκως συλήσαντες τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι βασιλέϊ
Ξέρξῃ ἀποδέξαιεν τὰ χρήματα. πάντα δ' ἠπίστατο τὰ ἐν τῷ
ἱρῷ ὅσα λόγου ἦν ἄξια Ξέρξης, ὡς ἐγὼ πυνθάνομαι, ἄμεινον
ἢ τὰ ἐν τοῖσι οἰκίοισι ἔλιπε, πολλῶν αἰεὶ λεγόντων, καὶ μά-
36 λιστα τὰ Κροίσου τοῦ Ἀλυάττεω ἀναθήματα. Οἱ δὲ Δελφοὶ

nopeus hart auf der Grenze von Phokis und Boiotien, etwa eine Stunde von dem boiotischen Chaeronea entfernt. Ruinen bei dem heutigen Agios Blasios.

1. *διακρινομένη — ἐσχίζετο* (exercitus) divisus in duas vias abiit.

4. *Βοιωτῶν — ἐμήδιζε.* Vgl. VII 132.

5. *διατεταγμένοι* per singulas urbes (*διά*) dispositi.

6. *ὑπ' Ἀλεξάνδρου*, desselben, der später als Abgesandter des Mardonios die Athener zu einem Bündnis mit den Persern zu bewegen suchte. Vgl. c. 121. 136. 140. V 19. 22.

τῇδε wird durch den folgenden Participialsatz erklärt. Statt *βουλόμενοι δῆλον ποιέειν Ξέρξῃ* erwarteten wir eigentlich: *δῆλον ποιεῦντες Ξέρξῃ*, denn eben dadurch dass die boiotischen Städte makedonische Besatzungen aufgenommen hatten, bewiesen sie dass sie medisch gesinnt waren.

7. *βουλόμενοι* wiederholt die in *ἔσωζων* enthaltene Bedeutung des Imperfecti de conatu.

τὰ Μήδων. Vgl. c. 30 *τὰ Ἑλλήνων αὔξον.* Ganz wie hier II 162 *οἳ ἔτι τὰ ἐκείνου ἐφρόνεον.*

35. 10. *ἀπέργοντες. ἀπέργειν* begrenzen, welches sonst meist von Gebirgen, Flüssen, Meeren gebraucht wird (II 99), ist hier vom Heereszuge gesagt, der gewissermaszen als Grenzlinie nach rechts oder links gedacht wird. Ganz wie hier VII 43. — Die Strasze, welche diese Abteilung einschlug, lief in südwestlicher Richtung von Orchomenos ab über Panopeus nach Daulis und dem (sonst nicht weiter bekannten) Orte Aiolidae; von Daulis ab führte ein ziemlich steiler, etwa 3 Meilen langer Hohlweg, der auf der rechten Seite vom Parnass, auf der linken von dem Berge Kirphis begrenzt wird, nach Delphi (j. Kastri) hinauf.

11. *ἐπέσχον.* S. z. c. 32.

15. *ἀποδέξαιεν. ἀποδέξαι* (= *ἀποδεῖξαι*) steht hier wie I 160 in der Bedeutung *παραδοῦναι.*

18. *τὰ Κροίσου ἀναθήματα.* Ueber sie vgl. I 50. 92.

πυνθανόμενοι ταῦτα ἐς πᾶσαν ἀρρωδίην ἀπίκατο, ἐν δείματι
δὲ μεγάλῳ κατεστεῶτες ἐμαντεύοντο περὶ τῶν ἱρῶν χρημά-
των, εἴτε σφέα κατὰ γῆς κατορύξωσι εἴτε ἐκκομίσωσι ἐς ἄλλην
χώρην. ὁ δὲ θεός σφεας οὐκ ἔα κινέειν, φὰς αὐτὸς ἱκανὸς
εἶναι τῶν ἑωυτοῦ προκατῆσθαι. Δελφοὶ δὲ ταῦτα ἀκούσαντες
σφέων αὐτῶν πέρι ἐφρόντιζον. τέκνα μέν νυν καὶ γυναῖκας
πέρην ἐς τὴν Ἀχαιίην διέπεμψαν, αὐτῶν δὲ οἱ μὲν πλεῖστοι
ἀνέβησαν ἐς τοῦ Παρνησοῦ τὰς κορυφὰς καὶ ἐς τὸ Κωρύκιον
ἄντρον ἀνηνείκαντο, οἱ δὲ ἐς Ἄμφισσαν τὴν Λοκρίδα ὑπεξῆλ-
θον. πάντες δὲ ὦν οἱ Δελφοὶ ἐξέλιπον τὴν πόλιν πλὴν ἑξή-
κοντα ἀνδρῶν καὶ τοῦ προφήτεω. Ἐπεὶ δὲ ἀγχοῦ τε ἦσαν οἱ 37
βάρβαροι ἐπιόντες καὶ ἀπώρεον τὸ ἱρόν, ἐν τούτῳ ὁ προφήτης,
τῷ οὔνομα ἦν Ἀκήρατος, ὁρᾷ πρὸ τοῦ νηοῦ ὅπλα προκείμενα
ἔσωθεν ἐκ τοῦ μεγάρου ἐξενηνειγμένα ἱρά, τῶν οὐκ ὅσιον ἦν
ἅπτεσθαι ἀνθρώπων οὐδενί. ὁ μὲν δὴ ἤιε Δελφῶν τοῖσι πα-
ρεοῦσι σημανέων τὸ τέρας, οἱ δὲ βάρβαροι ἐπειδὴ ἐγίνοντο

36. 1. *ἐς πᾶσαν ἀρρωδίην ἀπίκατο.* Dieselbe Wendung IX 7. Zur Erklärung des *πᾶσαν* dient die gleich folgende Wendung *ἐν δείματι μεγάλῳ κατεστεῶτες*, welche sich ebenfalls VII 138 findet. Zur Bedeutung von *πᾶς* s. z. c. 105.

4. *οὐκ ἔα* vetuit. Vgl. *οὐκ ἔφασαν* negaverunt (c. 2).

κινέειν. Es galt für einen ganz besonders groszen Frevel, Götterbilder von ihrem geweihten Ort zu entfernen (I 183).

5. *προκατῆσθαι* steht in gleicher Bedeutung IX 106 *ἀδύνατον γὰρ ἐφαίνετό σφι εἶναι ἑωυτοὺς Ἰώνων προκατῆσθαι.*

8. *ἐς τοῦ Παρνησοῦ τὰς κορυφάς.* Die beiden höchsten Spitzen des Parnass hieszen *Τιθορέα* (c. 32) und *Λυκώρεια* od. *Ὑαμπείη* (c. 39). Vgl. Ovid. Metam. I 316 Parnassus biceps; öfter. Unterhalb dieser Hauptgipfel dehnt sich südlich und nördlich von Delphi eine ziemlich bedeutende Hochebene aus, an deren von Bergen rings umschlossenem Westende (1 Stunde von Delphi) noch heute der Eingang zur korykischen Höhle ist. Sie besteht aus einer Hauptgrotte, deren mit Tropfsteingebilden bedecktes Gewölbe gegen 100′ hoch, eben so breit und 200′ lang ist; an diesen Hauptteil der Höhle schlieszen sich mehrere Nebengrotten an, aus welchen unterirdische Gänge in den Berg hineinführen, die dem flüchtenden Delphern einen sicheren Zufluchtsort bieten konnten. Benannt sollte die Grotte nach der von Apollo geliebten Nymphe Korykia sein. Vgl. Pausan. X 6, 3. 32, 2. 5. Heute heiszt sie bei den Umwohnern *Σαρανταύλι* i. e. *τεσσεράκοντα αὐλαί.*

9. *ἀνηνείκαντο.* Ueber das zu ergänzende Object s. z. c. 32.

Ἄμφισσαν. S. z. c. 32.

11. *τοῦ προφήτεω.* Der *προφήτης* deutete (= *προφητεύειν*) die Orakelsprüche des delphischen Gottes, welche derselbe durch den Mund der *πρόμαντις* verkündete (= *χρᾶν*). Dagegen ist c. 135 *ὁ προφήτης* in dem Sinne von *πρόμαντις* gebraucht.

37. 12. *ἀπώρεον.* *ἀπορᾶν* aus der Ferne ansichtig werden steht in gleicher Bedeutung IX 69.

ἐν τούτῳ temporal. Hier nach *ἐπεί* wie unt. (S. 28, 7); nach *ὡς* II 19.

14. *μεγάρου.* *μέγαρον* ist der innerste, heiligste Raum des

ἐπειγόμενοι κατὰ τὸ ἱρὸν τῆς Προνηΐης Ἀθηναίης, ἐπιγίνεταί
σφι τέρεα ἔτι μέζονα τοῦ πρὶν γενομένου τέρεος. θῶμα μὲν
γὰρ καὶ τοῦτο κάρτα ἐστὶ, ὅπλα ἀρήϊα αὐτόματα φανῆναι ἔξω
προκείμενα τοῦ νηοῦ· τὰ δὲ δὴ ἐπὶ τούτῳ δεύτερα ἐπιγενό-
μενα καὶ διὰ πάντων φασμάτων ἄξια θωμάσαι μάλιστα. ἐπεὶ
γὰρ δὴ ἦσαν ἐπιόντες οἱ βάρβαροι κατὰ τὸ ἱρὸν τῆς Προνηΐης
Ἀθηναίης, ἐν τούτῳ ἐκ μὲν τοῦ οὐρανοῦ κεραυνοὶ αὐτοῖσι
ἐνέπιπτον, ἀπὸ δὲ τοῦ Παρνησοῦ ἀπορραγεῖσαι δύο κορυφαὶ
ἐφέροντο πολλῷ πατάγῳ ἐς αὐτοὺς καὶ κατέλαβον συχνούς
σφεων, ἐκ δὲ τοῦ ἱροῦ τῆς Προνηΐης βοή τε καὶ ἀλαλαγμὸς
38 ἐγίνετο. Συμμιγέντων δὲ τούτων πάντων φόβος τοῖσι βαρβά-
ροισι ἐνεπεπτώκεε. μαθόντες δὲ οἱ Δελφοὶ φεύγοντάς σφεας,
ἐπικαταβάντες ἀπέκτειναν πλῆθός τι αὐτῶν. οἱ δὲ περιεόντες
ἰθὺ Βοιωτῶν ἔφευγον. ἔλεγον δὲ οἱ ἀπονοστήσαντες οὗτοι τῶν
βαρβάρων, ὡς ἐγὼ πυνθάνομαι, ὡς πρὸς τούτοισι καὶ ἄλλα
ὥρεον θεῖα· δύο γὰρ ὁπλίτας μέζονας ἢ κατὰ ἀνθρώπων φύ-
39 σιν [ἔχοντας] ἕπεσθαί σφι κτείνοντας καὶ διώκοντας. Τούτους
δὲ τοὺς δύο Δελφοὶ λέγουσι εἶναι ἐπιχωρίους ἥρωας, Φύλακόν
τε καὶ Αὐτόνοον, τῶν τὰ τεμένεά ἐστι περὶ τὸ ἱρὸν, Φυλάκου
μὲν παρ' αὐτὴν τὴν ὁδὸν κατύπερθε τοῦ ἱροῦ τῆς Προνηΐης,

νηός (= Gotteshaus). Vgl. unt. c. 53 und I 47. 65. 181.

1. *ἐπειγόμενοι* = φερόμενοι (c. 28). Wie hier VII 112 δρόμῳ ἐπειγόμενοι.

τῆς Προνηίης Ἀθηναίης. Ἀθηναίη Προνηίη hiesz die Göttin vermutlich deshalb, weil ihr kleiner Tempel vor dem Peribolos des Apollotempels stand und somit gleichsam dessen Vorhaus (= πρόναος) bildete. S. z. c. 39.

5. *καὶ διὰ πάντων.* καί verstärkt πάντων. διά = prae. Vgl. I 25 κρητὴρ θέης ἄξιος διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων. Aehnlich unt. c. 69. 142.

6. *κατὰ τὸ ἱρόν* verb. mit ἦσαν. Vgl. ob. (1) ἐπειδὴ *ἐγίνοντο* ἐπειγόμενοι *κατὰ τὸ ἱρόν.*

9. *κατέλαβον συχνούς σφεων.* καταλαμβάνειν τινά hier in eigentlicher Bedeutung; in übertragener c. 6. — Die Sache selbst erzählen auch Diodor XI 14, Justin. II 12, Pausan. X 23, 4.

38. 11. *συμμιγέντων — ἐνεπεπτώκεε.* Vgl. VI 77 ταῦτα δὴ πάντα συνελθόντα (= *συμμιγέντα*) τοῖσι Ἀργείοισι φόβον παρεῖχε.

14. *ἰθὺ Βοιωτῶν.* ἰθύ cum genet. = **recta ad.** Unterscheide von ἰθύς (= εὐθύς) statim.

16. *ἢ κατὰ ἀνθρώπων φύσιν.* ἢ κατά = **quam pro.** Vgl. Thuk. II 50 χαλεπώτερα ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ.

39. 19. *περὶ τὸ ἱρόν* des Apollon. — Wenn man auf der heiligen Strasze, die von Daulis nach Delphi führte, nach Delphi kam, so lagen unmittelbar vor der Stadt 4 Tempel, deren letzter und bedeutendster der **Athene Pronaia** geweiht war; derselbe lag dem Hauptheiligtum von Delphi, dem delphischen Apollotempel, zunächst und bildete gleichsam dessen Vorhaus. Vgl. Paus. X 8, 6. S. z. c. 37.

Αὐτονόου δὲ πέλας τῆς Κασταλίης ὑπὸ τῇ Ὑαμπείῃ κορυφῇ. οἱ δὲ πεσόντες ἀπὸ τοῦ Παρνησοῦ λίθοι ἔτι καὶ ἐς ἡμέας ἦσαν σῶοι, ἐν τῷ τεμένεϊ τῆς Προνηΐης Ἀθηναίης κείμενοι, ἐς τὸ ἐνέσκηψαν διὰ τῶν βαρβάρων φερόμενοι. Τούτων μέν νυν τῶν ἀνδρῶν αὕτη ἀπὸ τοῦ ἱροῦ ἀπαλλαγὴ γίνεται.

Ὁ ΔΕ Ἑλλήνων ναυτικὸς στρατὸς ἀπὸ τοῦ Ἀρτεμισίου 40
Ἀθηναίων δεηθέντων ἐς Σαλαμῖνα κατίσχει τὰς νέας. τῶνδε δὲ εἵνεκεν προσεδεήθησαν αὐτῶν σχεῖν πρὸς Σαλαμῖνα Ἀθηναῖοι, ἵνα αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς, πρὸς δὲ καὶ βουλεύσωνται τὸ ποιητέον αὐτοῖσι ἔσται. ἐπὶ γὰρ τοῖσι κατήκουσι πρήγμασι βουλὴν ἔμελλον ποιήσεσθαι ὡς ἐψευσμένοι γνώμης. δοκέοντες γὰρ εὑρήσειν Πελοποννησίους πανδημεὶ ἐν τῇ Βοιωτίῃ ὑποκατημένους τὸν βάρβαρον τῶν μὲν εὗρον οὐδὲν ἐόν, οἱ δὲ ἐπυνθάνοντο τὸν Ἰσθμὸν αὐτοὺς τειχέοντας, τὴν Πελοπόννησον περὶ πλείστου τε ποιευμέ-

1. *Κασταλίης.* Der heilige kastalische Quell entspringt am Fusz der phaedriadischen Felsen (*πέτραι Φαιδριάδες*), an deren steile Rückwand Delphi sich anlehnte, und stürzt von da in einer schmalen Schlucht 200 Fusz tief in mehreren Fällen in das Pleistostal hinab. Im Altertum hieszen die beiden Felswände der Phaedriaden *Ὑάμπεια* und *Ναύπλια* (jetzt: Phlempukos und Rhodini).

2. *ἐς ἡμέας.* *ἐς* hier im temporalen Sinne; häufig so *καὶ ἔτι ἐς ἐμέ* c. 121. Eine andere Bedeutung hat *ἐπ' ἐμεῦ* I 5.

4. *ἐνέσκηψαν.* *ἐνσκήπτειν* hier intransitiv wie *ἀποσκήπτειν* I 120 und *κατασκήπτειν* unt. c. 65. Anders IV 79 *ἐς ταύτην τὴν οἰκίην ὁ θεὸς ἐνέσκηψε βέλος.*

φερόμενοι wie c. 28.

5. *αὕτη — ἀπαλλαγὴ γίνεται.* Die Pronomina *ὅδε, οὗτος, ὅς* richten sich, wenn sie als Subject gebraucht sind, im Genus und Numerus öfter nach dem Prädikat.

Die Flotte der Griechen bei Salamis (c. 40—49).

40. 6. *ἀπὸ τοῦ Ἀρτεμισίου.* Vgl. c. 21.

7. *κατίσχει τὰς νέας.* In gleicher Bedeutung steht das transitive *κατασχεῖν* mit *ἐς* unt. c. 42. Ohne *νέας* unt. c. 41.

10. *πρὸς δέ* adverbial wie ob. c. 29. 90.

τὸ — ἔσται. Relativum statt des indirecten Fragepronomens wie c. 26.

11. *ἐπὶ τοῖσι κατήκουσι πρήγμασι.* S. z. c. 19.

13. *ὑποκατημένους τὸν βάρβαρον.* *ὑποκατῆσθαι*, eig. sich aufhalten, ist hier mit Accus. verbunden, weil es den Begriff des Erwartens enthält, welches eben der Zweck des *ὑποκατῆσθαι* war. Aehnlich VII 27 *ἐν ταύτῃ τῇ πόλι ὑποκατήμενος Πύθιος ἀνὴρ Λυδὸς ἐξείνισε τὴν βασιλέος στρατιὴν πᾶσαν.*

14. *οἱ δέ.* Wir erwarteten: *τὸν δὲ Ἰσθμὸν αὐτοὺς τειχέοντας ἐπυνθάνοντο.* Doch vgl. VII 6 *τῶν μὲν (κακῶν) ἔλεγε οὐδὲν, ὁ δὲ τὰ εὐτυχέστατα ἐκλεγόμενος ἔλεγε.* Treten zwei Handlungen, Erfahrungen, Gedanken desselben Subjects in Gegensatz, so tritt nach griechischer Auffassung das Subject mit sich selbst in Gegensatz; es wird daher *ὁ δέ* gesetzt, obwol dasselbe Subject bleibt. Vgl. IX 6. 52.

15. *περὶ πλείστου ποιέεσθαι* ist eine bei Her. häufige Verbindung; oft auch *περὶ πολλοῦ ποιέ-*

νους περιεῖναι καὶ ταύτην ἔχοντας ἐν φυλακῇ, τὰ δὲ ἄλλα ἀπιέναι. ταῦτα πονθανόμενοι οὕτω δὴ προσεδεήθησάν σφεων
41 σχεῖν πρὸς τὴν Σαλαμῖνα. Οἱ μὲν δὴ ἄλλοι κατέσχον ἐς τὴν Σαλαμῖνα, Ἀθηναῖοι δὲ ἐς τὴν ἑωυτῶν. μετὰ δὲ τὴν ἄπιξιν κήρυγμα ἐποιήσαντο, Ἀθηναίων τῇ τις δύναται σώζειν τὰ τέκνα τε καὶ τοὺς οἰκέτας. ἐνθαῦτα οἱ μὲν πλεῖστοι ἐς Τροιζῆνα ἀπέστειλαν, οἱ δὲ ἐς Αἴγιναν, οἱ δὲ ἐς Σαλαμῖνα. ἔσπευσαν δὲ ταῦτα ὑπεκθέσθαι, τῷ χρηστηρίῳ τε βουλόμενοι ὑπηρετέειν καὶ δὴ καὶ τοῦδε εἵνεκεν οὐκ ἥκιστα· λέγουσι Ἀθηναῖοι ὄφιν μέγαν φύλακον τῆς ἀκροπόλιος ἐνδιαιτᾶσθαι ἐν τῷ ἱρῷ. λέγουσί τε ταῦτα καὶ δὴ καὶ ὡς ἐόντι ἐπιμήνια ἐπιτελέουσι προτιθέντες· τὰ δ' ἐπιμήνια μελιτόεσσά ἐστι. αὕτη δ' ἡ μελιτόεσσα ἐν τῷ πρόσθε αἰεὶ χρόνῳ ἀναισιμουμένη τότε ἦν ἄψαυστος. σημηνάσης δὲ ταῦτα τῆς ἱρείης μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν. ὡς δέ σφι πάντα ὑπεξεκέετο, ἔπλωον
42 ἐς τὸ στρατόπεδον. Ἐπεὶ δὲ οἱ ἀπ' Ἀρτεμισίου ἐς Σαλαμῖνα

εσθαι (IX 33). Das Gegenteil ist ἐν ἐλαφρῷ ποιέεσθαι (III 154).

2. ἀπιέναι (= ἀφιέναι) steht in gleicher Bedeutung c. 49 ἡ γὰρ Ἀττικὴ ἀπεῖτο ἤδη. Zum Wechsel der Structur — wir erwarteten das Partic. statt des Infinitivs — vgl. V 15 οἱ δὲ Πέρσαι ἐπύθοντο συναλίσθαι τοὺς Παίονας καὶ τὴν πρὸς θαλάσσης ἐσβολὴν φυλάσσοντας.

οὕτω δή. S. z. c. 23.

41, 3. κατέσχον ἐς. S. z. c. 40.

5. Ἀθηναίων hängt von τὶς ab.

6. τοὺς οἰκέτας. S. z. c. 4.

7. ἀπέστειλαν erg. τὰ τέκνα τε καὶ τοὺς οἰκέτας.

8. ὑπεκθέσθαι steht c. 4 in derselben Verbindung; das zugehörige Object ταῦτα bezieht sich auf τὰ τέκνα τε καὶ τοὺς οἰκέτας.

τῷ χρηστηρίῳ. Vgl. VII 140

ὦ μέλεοι, τί κάτησθε; λιπὼν φεῦγ' ἔσχατα γαίης
δώματα καὶ πόλιος τροχοειδέος ἄκρα κάρηνα

und VII 141

μηδὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα
πολλὸν ἀπ' ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ὑποχωρεῖν
νῶτον ἐπιστρέψας· ἔτι τοί ποτε κἀντίος ἔσσῃ·
ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν.

10. φύλακον τῆς ἀκροπόλιος. Im Heiligtum der Ἀθήνη Πολιάς, dem sogenannten Erechtheion (c. 53), sollte sich die sogen. Tempelschlange (= οἰκουρὸς ὄφις) aufhalten, durch welche Erechtheus (od. Erichthonios), der erste Pflegling der Landesgöttin, welchen diese zum Schutzherrn des Landes eingesetzt hatte, als beständig fortlebend vergegenwärtigt wurde. Vgl. unt. c. 55, Paus. I 24 und Philostr. Imag. II 17 ὁ δράκων ὁ τῆς Ἀθηνᾶς ὁ ἔτι καὶ νῦν ἐν ἀκροπόλει οἰκῶν. Von den Mythographen wurde Erechtheus als δρακοντόπους od. auch ganz als δράκων u. ὄφις beschrieben. — Herodot gebraucht φύλακος statt des attischen φύλαξ.

11. ἐπιμήνια. Die sogenannten ἱερὰ ἐπιμήνια pflegte man den Göttern an jedem ersten Tage des Monats darzubringen. Vgl. VI 57.

16. ὑπεξεκέετο. Plusquampf. Pass. zu ὑπεκτίθεσθαι. Wie hier c. 60. S. z. c. 26.

17. στρατόπεδον. S. z. c. 10.

κατέσχον τὰς νέας, συνέρρεε καὶ ὁ λοιπὸς πυνθανόμενος ὁ τῶν
Ἑλλήνων ναυτικὸς στρατὸς ἐκ Τροιζῆνος· ἐς γὰρ Πώγωνα τὸν
Τροιζηνίων λιμένα προείρητο συλλέγεσθαι. συνελέχθησάν τε
δὴ πολλῷ πλεῦνες νέες ἢ ἐπ' Ἀρτεμισίῳ ἐναυμάχεον, καὶ ἀπὸ
πολίων πλεύνων. ναύαρχος μέν νυν ἐπῆν ὡυτὸς ὅσπερ ἐπ'
Ἀρτεμισίῳ, Εὐρυβιάδης Εὐρυκλείδεω ἀνὴρ Σπαρτιήτης, οὐ
μέντοι γένεός γε τοῦ βασιληΐου ἐών. νέας δὲ πολλῷ πλείστας
τε καὶ ἄριστα πλωούσας παρείχοντο Ἀθηναῖοι. Ἐστρατεύοντο 43
δὲ οἵδε· ἐκ μὲν Πελοποννήσου Λακεδαιμόνιοι ἑκκαίδεκα νέας
παρεχόμενοι, Κορίνθιοι δὲ τὸ αὐτὸ πλήρωμα παρεχόμενοι τὸ
καὶ ἐπ' Ἀρτεμισίῳ, Σικυώνιοι δὲ πεντεκαίδεκα παρείχοντο
νέας, Ἐπιδαύριοι δὲ δέκα, Τροιζήνιοι δὲ πέντε, Ἑρμιονέες δὲ
τρεῖς, ἐόντες οὗτοι πλὴν Ἑρμιονέων Δωρικόν τε καὶ Μακεδνὸν
ἔθνος, ἐξ Ἐρινεοῦ τε καὶ Πίνδου καὶ τῆς Δρυοπίδος ὕστατα
ὁρμηθέντες. οἱ δὲ Ἑρμιονέες εἰσὶ Δρύοπες, ὑπὸ Ἡρακλέος τε

42. 1. *κατέσχον τὰς νέας.* S. z. c. 40.

2. *Πώγωνα.* Der zu Troizen gehörige Hafen Pogon war ungefähr 15 Stadien von der Stadt entfernt; heute Rhede von Poros. Wegen seiner geschützten Lage und seiner Ausdehnung war dieser Hafen zum Sammelplatz der Flotte ganz besonders geeignet.

5. *ἐπῆν.* Vgl. c. 71 *καί σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος.*

6. *οὐ μέντοι γένεός γε τοῦ βασιληΐου ἐών.* Herodot setzt dies hinzu, weil bei den Spartanern in der Regel die Könige die Oberfeldherrn waren. Vgl. VI 56. Ungenau daher Nep. Themist. c. 4: Eurybiades, rex Lacedaemoniorum, qui tum summae imperii praeerat.

43. 9. *ἑκκαίδεκα*, 10 mehr als bei Artemision (c 1).

10. *πλήρωμα* Gesammtsumme, wie hier c. 45. Vgl. III 22. Zur Sache vgl. ob. c. 1.

12. *Ἑρμιονέες.* Sie hatten bei Artemision keine Schiffe gestellt. Hermione war eine alte Stadt am argolischen Meerbusen. Heute Castri. Vgl. unt. c. 73.

13. *ἐόντες οὗτοι.* Wie hier ist c. 45 das Pronomen *οὗτος* in den Appositionssatz gezogen: *Λευκάδιοι ἔθνος ἐόντες οὗτοι Δωρικόν.*

Δωρικόν τε καὶ Μακεδνὸν ἔθνος. Es gelten unserem Historiker Dorer und Makedoner (*Μακεδνοί* = *Μακεδόνες*) wol nur deshalb als Stammgenossen, weil die Dorer in ihren ursprünglichen Sitzen am Ossa und Olymp Nachbarn der Makedoner gewesen waren. Vgl. I 56 *ἐπὶ Δευκαλίωνος βασιλέος τὸ Ἑλληνικὸν οἴκεε γῆν τὴν Φθιῆτιν, ἐπὶ δὲ Δώρου τοῦ Ἕλληνος τὴν ὑπὸ τὴν Ὄσσαν τε καὶ τὸν Οὔλυμπον χώρην, καλεομένην δὲ Ἱστιαιῆτιν. ἐκ δὲ Ἱστιαιήτιδος ὡς ἐξανέστη ὑπὸ Καδμείων, οἴκεε ἐν Πίνδῳ, Μακεδνὸν καλεόμενον. ἐνθεῦτεν δὲ αὖτις ἐς τὴν Δρυοπίδα μετέβη, καὶ ἐκ τῆς Δρυοπίδος οὕτω ἐς Πελοπόννησον ἐλθὸν Δωρικὸν ἐκλήθη.*

14. *ἐξ Ἐρινεοῦ τε καὶ Πίνδου.* Beide Städte bildeten mit Kytinion und Boion die sogen. Tetrapolis Dorica. S. z. c. 31 (wo auch über die Landschaft Dryopis zu vergleichen).

ὕστατα ὁρμηθέντες näml. in die Peloponnes; von ihren früheren Wanderungen (s. die unter 13 ausgeschriebene Stelle I 56) wird hier abgesehen.

καὶ Μηλιέων ἐκ τῆς νῦν Δωρίδος καλεομένης χώρης ἐξανα-
44 *στάντες. οὗτοι μέν νυν Πελοποννησίων ἐστρατεύοντο, οἳ δὲ*
ἐκ τῆς ἔξω ἠπείρου, Ἀθηναῖοι μὲν πρὸς πάντας τοὺς ἄλλους
παρεχόμενοι νέας ὀγδώκοντα καὶ ἑκατὸν, μοῦνοι· ἐν Σαλαμῖνι
γὰρ οὐ συνεναυμάχησαν Πλαταιέες Ἀθηναίοισι διὰ τοιόνδε τι
πρῆγμα. ἀπαλλασσομένων τῶν Ἑλλήνων ἀπὸ τοῦ Ἀρτεμισίου,
ὡς ἐγίνοντο κατὰ Χαλκίδα, οἱ Πλαταιέες ἀποβάντες ἐς τὴν
περαίην τῆς Βοιωτίης χώρης πρὸς ἐκκομιδὴν ἐτράποντο τῶν
οἰκετέων. Οὗτοι μέν νυν τούτους σώζοντες ἐλείφθησαν. Ἀθη-
ναῖοι δὲ ἐπὶ μὲν Πελασγῶν ἐχόντων τὴν νῦν Ἑλλάδα καλεο-
μένην ἦσαν Πελασγοὶ, οὐνομαζόμενοι Κραναοὶ, ἐπὶ δὲ Κέκρο-

1. *Μηλιέων.* Die Malier sind vielfach in den Mythus des oetaeischen Herakles verflochten (s. z. VII 176. 198); so helfen sie ihm nach der Sage auch im Kampfe gegen die Dryoper, welche die waldigen Höhen zwischen Parnass und Oeta bewohnten, und erhielten zum Lohn für den Beistand das Land der Dryoper; diese wurden entweder den Maliern dienstbar oder wanderten aus. So war die Kyklade Kythnos von Dryopern bevölkert (c. 46), auch auf Euboia saszen Dryoper in Styra und Karystos (Thuk. VII 57) so wie im südlichen Argolis (Hermione). — Die Sage von Herakles und den Dryopern erzählt des genaueren Apollod. II 7, 7.

ἐξαναστάντες. Dieser Aor. II in passiver Bedeutung ist sehr häufig bei Herodot. Vgl. VII 75 *οἱ Μυσοὶ ἐξανέστησαν ἐξ ἠθέων ὑπὸ Τευκρῶν* und unt. c. 127.

44. 2. *οἳ δὲ ἐκ τῆς ἔξω ἠπείρου.* Gemeint sind die Griechen jenseits der Peloponnes d. h. nördlich vom Isthmus. Das Hauptsubject ist voraufgeschickt und als Ganzes appositiv an die in ihm enthaltenen Teile (*Ἀθηναῖοι μέν* — *Μεγαρέες δέ* c. 45 u. s. w.) angeschlossen. Ganz wie hier c. 124.

3. *πρὸς πάντας. πρός* (= prae) steht in gleicher Bedeutung III 94 *Ἰνδοὶ πλεῖστον φόρον ἀπαγίνεον πρὸς πάντας τοὺς ἄλλους.* Dafür *διά* c. 37.

4. *μοῦνοι* ohne die Plataeer, die bei Artemision 20 Schiffe bemannt hatten (c. 1). Die Zahl der attischen Schiffe bei Salamis war dieselbe wie bei Artemision (c. 1); die Athener hatten also nicht allein ihre Verluste an Mannschaft und Schiffen — die Hälfte derselben war in dem zweiten Seetreffen bei Artemision stark beschädigt (c. 18) — rasch ersetzt, sondern auch die 20 Schiffe mit eigener (athenischer) Mannschaft ausgerüstet, deren Bemannung bei Artemision die Plataeer gestellt hatten.

7. *ἐς τὴν περαίην* (erg. *γῆν*) in oram Boiotiae oppositam.

8. *ἐκκομιδή.* In gleicher Bedeutung steht *ἐκκομίζεσθαι* c. 20. 32.

10. *ἐπὶ Πελασγῶν ἐχόντων. ἐπί* cum genet. in temporaler Bedeutung, wie gleich im Folg. in: *ἐπὶ Κέκροπος βασιλέος.* — Dasz die Athener Pelasger waren, berichtet Her. auch I 56. Vgl. auch V 65. VI 137. VII 161.

11. *Κραναοί* „Höhenbewohner“ (von *κραναός* steinig, felsig). Da auch *ἡ Κραναά* als Bezeichnung für *ἀκρόπολις* in Gebrauch war (Arist. Lysistr. 481), so scheint *Κραναοί* der älteste Name der Einwohner Athens gewesen zu sein, die sich auf den Höhen niederlieszen, während die eigentlichen Städter sich erst später um die Burg ansiedelten.

ἐπὶ δὲ Κέκροπος. Kekrops galt als Gründer von Athen und Erbauer der Akropolis, welche nach

πος βασιλέος ἐπεκλήθησαν Κεκροπίδαι, ἐκδεξαμένου δὲ Ἐρε-
χθέος τὴν ἀρχὴν Ἀθηναῖοι μετουνομάσθησαν, Ἴωνος δὲ τοῦ
Ξούθου στρατάρχεω γενομένου Ἀθηναίοισι ἐκλήθησαν ἀπὸ τού-
του Ἴωνες. Μεγαρέες τὠυτὸ πλήρωμα παρείχοντο καὶ ἐπ' Ἀρ- 45
τεμισίῳ, Ἀμπρακιῶται δὲ ἑπτὰ νέας ἔχοντες ἐπεβώθησαν,
Λευκάδιοι δὲ τρεῖς, ἔθνος ἐόντες οὗτοι Δωρικὸν ἀπὸ Κορίνθου.
Νησιωτέων δὲ Αἰγινῆται τριήκοντα παρείχοντο. ἦσαν μέν σφι 46

ihm Kekropia genannt wurde. — Ueber die Bedeutung von *ἐπί* s. o. z. S. 32, 10.

1. *ἐπεκλήθησαν*. Beachte *ἐπί*. Vgl. *ἐπιλέγοντες* c. 49.

Ἐρεχθέος, des Pfleglings der Athene (s. z. c. 41), welchem diese das Land anvertraut hatte; nach ihr wurden deshalb die *Κεκροπίδαι* in *Ἀθηναῖοι* umbenannt.

2. *μετουνομάσθησαν*. Beachte *μετά*. Wie hier I 94.

Ἴωνος — Ξούθου. Nach der Sage sollte der Thessaler Xuthus, der Sohn des Hellen, von seinen Brüdern Aiolos u. Doros vertrieben, nach Attika gekommen sein und dort des Königs Erechtheus Tochter Kreusa geheiratet haben, mit welcher er den Ion (u. Achaeos) zeugte. Aber nach dem Tode des Erechtheus wurde Xuthus von dessen Söhnen aus Attika vertrieben, worauf er nach der Sage nach Aigialos d. h. dem an der Nordküste der Peloponnes gelegenen Uferlande (s. z. VII 94) flüchtete. Sein Sohn Ion, welcher sich die Herrschaft dieses Landes (dessen Einwohner von nun an *Ἴωνες* hieszen) erworben hatte, wurde später von den Athenern in dem Kriege gegen die Eleusinier (unter Eumolpos) zu Hülfe gerufen, verschaffte ihnen, zum Feldherrn gewählt, den Sieg — auf diesen geleisteten Beistand bezieht sich der Ausdruck *στρατάρχεω γενομένου Ἀθηναίοισι* — und erhielt zum Lohne dafür die Herrschaft über Athen. Seine 4 Söhne wurden die Gründer der 4 altattischen Stammphylen, die nach ihnen benannt wurden (s. z. V 66). So weit die Sage. Die historische Forschung hat ergeben, dasz die hellenischen Einwanderer unter Xuthus mit den pelasgischen Urbewohnern Attika's, d. i. den Ionern — denn diese sind eben nur ein Zweig des groszen pelasgischen Völkerstamms — verschmolzen sind, worauf der Name „Ioner“, der eigentlich nur diesen zukam, in Folge der Verschmelzung auch auf jene übergieng. Eine Folge der Einwanderung des Xuthus in Attika und der daraus entstandenen Uebervölkerung war die Auswanderung von Ionern und mit ihnen verschmolzenen hellenischen Einwanderern nach Aigialea, welche, da sie durch die hellenische Einwanderung unter Xuthus veranlasst war, die weitere Folge hatte, dass man den Eponymos der Ioner auch mit diesem in Verbindung setzte und ihn zu seinem Sohne machte. Genaueres über diese Verhältnisse s. z. VII 94. 95 und ganz besonders bei Schömann gr. Altertümer I 325 ff.

45. 4. *πλήρωμα*. S. z. c. 43. — Die Megarer hatten bei Artemision 20 Schiffe gestellt.

καί heiszt nach *ὁ αὐτός*, *ἴσος*, *ὁμοῖος* wie. Vgl. c. 60.

5. *Ἀμπρακιῶται* aus Ambrakia, Küstenstadt in Akarnanien, j. Arta. — *Λευκάδιοι* aus *Λευκάς* od. *Λευκαδία* j. Santa Maura, Akarnanien gegenüber. Beide Orte wie auch das auf einem Vorgebirge des ambrakischen Busens gelegene Anaktorion (IX 28) waren um 650 v. Chr. von Korinth aus colonisiert.

ἐπεβώθησαν. Ueber die Form vgl. c. 91 und Dial. Bd. I. S. 30.

6. *οὗτοι*. S. z. c. 43.

καὶ ἄλλαι πεπληρωμέναι νέες, ἀλλὰ τῇσι μὲν τὴν ἑωυτῶν ἐφύλασσον, τριήκοντα δὲ τῇσι ἄριστα πλωούσῃσι ἐν Σαλαμῖνι ἐναυμάχησαν. Αἰγινῆται δέ εἰσι Δωριέες ἀπὸ Ἐπιδαύρου· τῇ δὲ νήσῳ πρότερον οὔνομα ἦν Οἰνώνη. μετὰ δὲ Αἰγινήτας Χαλκιδέες τὰς ἐπ' Ἀρτεμισίῳ εἴκοσι παρεχόμενοι καὶ Ἐρετριέες τὰς ἑπτά· οὗτοι δὲ Ἴωνές εἰσι. μετὰ δὲ Κεῖοι τὰς αὐτὰς παρεχόμενοι, ἔθνος ἐὸν Ἰωνικὸν ἀπὸ Ἀθηνέων. Νάξιοι δὲ παρείχοντο τέσσερας, ἀποπεμφθέντες μὲν ἐς τοὺς Μήδους ὑπὸ τῶν πολιητέων, κατάπερ ὦλλοι νησιῶται, ἀλογήσαντες δὲ τῶν ἐντολέων ἀπίκατο ἐς τοὺς Ἕλληνας Δημοκρίτου σπεύσαντος, ἀνδρὸς τῶν ἀστῶν δοκίμου καὶ τότε τριηραρχέοντος· Νάξιοι δέ εἰσι Ἴωνες ἀπ' Ἀθηνέων γεγονότες. Στυρέες δὲ τὰς αὐτὰς παρείχοντο νέας τὰς καὶ ἐπ' Ἀρτεμισίῳ, Κύθνιοι δὲ μίαν καὶ πεντηκόντερον, ἐόντες συναμφότεροι οὗτοι Δρύοπες. καὶ Σερίφιοί τε καὶ Σίφνιοι καὶ Μήλιοι ἐστρατεύοντο· οὗτοι γὰρ οὐκ
47 *ἔδοσαν μοῦνοι νησιωτέων τῷ βαρβάρῳ γῆν τε καὶ ὕδωρ. Οὗτοι μὲν ἅπαντες ἐντὸς οἰκημένοι Θεσπρωτῶν καὶ Ἀχέροντος ποταμοῦ ἐστρατεύοντο· Θεσπρωτοὶ γάρ εἰσι οἱ ὁμουρέοντες Ἀμπρακιήτῃσι καὶ Λευκαδίοισι, οἳ ἐξ ἐσχατέων χωρέων ἐστρατεύοντο. τῶν δὲ ἐκτὸς τούτων οἰκημένων Κροτωνιῆται μοῦνοι ἦσαν, οἳ*

46. 3. *ἀπὸ Ἐπιδαύρου.* Das Nähere V 82. 83.

4. *Οἰνώνη.* S. z. V 80.

6. *Κεῖοι τὰς αὐτὰς παρεχόμενοι.* S. z. c. 1.

10. *Δημοκρίτου.* Auf ihn bezieht sich das Epigramm des Simonides bei Bergk Poet. lyr. Gr. p. 913:

Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε παρ Σαλαμῖνα
Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει·
πέντε δὲ νῆας ἕλεν δηίων, ἕκτην δ' ὑπὸ χεῖρα
ῥύσατο βαρβαρικὴν Δωρίδ' ἁλισκομένην.

11. *Νάξιοι.* Näheres über Naxos s. z. V 28.

12. *Στυρέες.* S. z. c. 1.

13. *Κύθνιοι*, die Einwohner der Kyklade Kythnos.

14. *οὗτοι.* S. zu c. 43. — Ueber die *Δρύοπες* s. z. c. 31.

Σερίφιοι. Seriphos (j. Serfo), Siphnos (j. Sifano), Melos (j. Milo) sind drei kleine Kykladen.

16. *γῆν τε καὶ ὕδωρ.* Vgl. Arist. Rhet. II 23 *τὸ διδόναι γῆν καὶ ὕδωρ δουλεύειν ἐστίν.* Wie hier V 17. 48. 73 u. öft.

47. 17. *ἐντός* von den westlichen Grenzen Griechenlands aus, also hat *ἐντός* die Bedeutung von diesseits. *ἐντός* wie hier gedacht VI 44 *τὰ γὰρ ἐντὸς Μακεδόνων ἔθνεα πάντα ἤδη ἦν Πέρσῃσι ὑποχείρια γεγονότα.* Ebenso I 6.

οἰκημένοι. οἰκῆσθαι und *κατοικῆσθαι* gebraucht Her. in der Bedeutung von *οἰκέειν* und *κατοικέειν.* Vgl. c. 140.

Θεσπρωτῶν. Die Thesproter waren einer der 4 Hauptstämme von Epirus; sie wohnten an der Küste von der Meerenge von Kerkyra ab bis zum ambrakischen Meerbusen. — *Ἀχέροντος.* Der Acheron heiszt jetzt Gurla.

20. *ἐκτός* jenseits (des ion. Meeres); oppos. *ἐντός* (ob. 17).

ἐβώϑησαν τῇ Ἑλλάδι κινδυνευούσῃ νηῒ μιῇ, τῆς ἦρχε ἀνὴρ τρὶς πυϑιονίκης Φάϋλλος· Κροτωνιῆται δὲ γένος εἰσὶ Ἀχαιοί. 48 *Οἳ μέν νυν ἄλλοι τριήρεας παρεχόμενοι ἐστρατεύοντο, Μήλιοι δὲ καὶ Σίφνιοι καὶ Σερίφιοι πεντηκοντέρους. Μήλιοι μὲν γένος ἐόντες ἀπὸ Λακεδαίμονος δύο παρείχοντο, Σίφνιοι δὲ καὶ Σερίφιοι Ἴωνες ἐόντες ἀπ' Ἀϑηνέων μίαν ἑκάτεροι. ἀριϑμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν, πάρεξ τῶν πεντηκοντέρων, ὀκτὼ καὶ ἑβδομήκοντα καὶ τριηκόσιαι.*

49 *Ὡς δὲ ἐς τὴν Σαλαμῖνα συνῆλϑον οἱ στρατηγοὶ ἀπὸ τῶν εἰρημένων πολίων, ἐβουλεύοντο προϑέντος Εὐρυβιάδεω γνώμην ἀποφαίνεσϑαι τὸν βουλόμενον, ὅκου δοκέοι ἐπιτηδεώτατον εἶναι ναυμαχίην ποιέεσϑαι τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί· ἡ γὰρ Ἀττικὴ ἀπεῖτο ἤδη, τῶν δὲ λοιπέων πέρι προτίϑεε. αἱ γνῶμαι δὲ τῶν λεγόντων αἱ πλεῖσται συνεξέπιπτον πρὸς τὸν Ἰσϑμὸν πλώσαντας ναυμαχέειν πρὸ τῆς Πελοποννήσου, ἐπιλέ-*

2. *Φάϋλλος.* Die Sache bestätigt Pausan. X 9, 1. 2. Derselbe berichtet, dasz Phayllus auf eigene Kosten ein Schiff ausgerüstet und den Hellenen zugeführt habe; danach scheint es dasz die Stadt der Krotoniaten als solche jenes eine Schiff nicht ausgesandt hat; vermutlich würde auch das reiche und mächtige Kroton von Staats wegen mehr als ein Schiff zur Hülfe geschickt haben. — Von dem hier erwähnten Phayllus ist der gleichnamige berühmte Läufer zu unterscheiden, der mehrfach bei den Olympien siegte (Arist. Acharn. 215. Vesp. 1206).
Ἀχαιοί. Vgl. III 136. V 44.

48. 7. *ὀκτὼ — τριηκόσιαι.* Die Summierung der Contingente der einzelnen Staaten (vgl. c. 43 ff.) ergibt nur 366. Wahrscheinlich stellten die Aigineten nicht 30 (c. 46), sondern 42 Schiffe, da Pausan. II 29, 5 ausdrücklich bezeugt, dasz die Aigineten nächst den Athenern das gröszte Schiffscontingent gestellt hätten; da nun nach Herodots eigener Angabe die Korinther mit 40 Schiffen kamen (c. 43), da ferner die hier angegebene Gesammtzahl der Schiffe die Summe der einzelnen Angaben um 12 übersteigt, so ist anzunehmen, dasz die Aigineten nicht 30, sondern 42 Schiffe geliefert haben. Am wahrscheinlichsten ist, dasz die Zahl der *ἄλλαι πεπληρωμέναι νέες, τῇσι οἱ Αἰγινῆται τὴν ἑωυτῶν ἐφύλασσον* (c. 46), welche dieselben auszer den 30 zur Bundesflotte stoszenden Trieren ausrüsteten, 12 betragen hat, was Herodot ausdrücklich anzugeben vergasz.

Kriegsrat der hellenischen Feldherren bei Salamis. Xerxes verbrennt Athen (c. 49—55).

49. 10. *προϑέντος.* *προτιϑέναι* vorlegen zur Besprechung. Gewöhnlich ist *λόγον, γνώμην* od. *λέγειν* hinzugefügt. Vgl. c. 59. IX 27.

12. *τῶν* (= *ὧν*) hängt von *ὅκου* ab. Löse auf *ὅκου τούτων χωρέων ὧν αὐτοὶ ἐγκρατέες εἰσί.*

14. *συνεξέπιπτον.* *συνεκπίπτειν* wird eigentl. von den Stimmsteinen (*ψῆφοι*) gesagt, die aus der Urne herausfallen und durch welche die *γνῶμαι* zu erkennen gegeben werden (vgl. c. 123); hier in übertragener Bedeutung von den *γνῶμαι* selbst. Vgl. I 206 *τούτων δὲ κατὰ τὠυτὸ αἱ γνῶμαι συνεξέπιπτον κελευόντων ἐσδέκεσϑαι Τόμυρίν τε καὶ τὸν στρατὸν αὐτῆς ἐς τὴν χώρην.*

15. *ἐπιλέγοντες* nach *τῶν λε-*

γοντες τὸν λόγον τόνδε, ὡς ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν Σα-
μῖνι μὲν ἐόντες πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι τιμωρίη οὐ-
δεμία ἐπιφανήσεται, πρὸς δὲ τῷ Ἰσθμῷ ἐς τοὺς ἑωυτῶν ἐξοί-
50 σονται. Ταῦτα τῶν ἀπὸ Πελοποννήσου στρατηγῶν ἐπιλεγομέ-
νων ἐληλύθεε ἀνὴρ Ἀθηναῖος ἀγγέλλων ἥκειν τὸν βάρβαρον
ἐς τὴν Ἀττικὴν καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. ὁ γὰρ διὰ
Βοιωτῶν τραπόμενος στρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων
τὴν πόλιν αὐτῶν ἐκλελοιπότων ἐς Πελοπόννησον καὶ τὴν Πλα-
ταιέων ὡσαύτως, ἧκέ τε ἐς τὰς Ἀθήνας καὶ πάντα ἐκεῖνα
ἐδῄου. ἐνέπρησε δὲ Θέσπειάν τε καὶ Πλάταιαν πυθόμενος
51 Θηβαίων, ὅτι οὐκ ἐμήδιζον. Ἀπὸ δὲ τῆς διαβάσιος τοῦ Ἑλλησ-
πόντου, ἔνθεν πορεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἕνα αὐτοῦ
διατρίψαντες μῆνα, ἐν τῷ διέβαινον ἐς τὴν Εὐρώπην, ἐν τρισὶ
ἑτέροισι μησὶ ἐγένοντο ἐν τῇ Ἀττικῇ, Καλλιάδεω ἄρχοντος
Ἀθηναίοισι. καὶ αἱρέουσι ἔρημον τὸ ἄστυ, καί τινας ὀλίγους
εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ

γόντων. Der Nominativ ist gesetzt, weil ἔγνωσαν vorschwebt, das dem Begriffe nach in αἱ γνῶμαι — συνεξέπιπτον enthalten ist. Aehnliche Anakoluthien sind häufig bei Herodot. Vgl. III 16 Πέρσῃσι οὐδαμῶς ἐν νόμῳ ἐστὶ τὸ κατακαίειν τοὺς νεκρούς, θεῷ οὐ δίκαιον εἶναι λέγοντες νέμειν νεκρὸν ἀνθρώπου, wo λέγοντες gesetzt ist, weil νομίζουσι (= ἐν νόμῳ ἐστὶ) vorschwebt. Aehnlich VI 13. VII 144. — Ueber die Bedeutung von ἐπί in ἐπιλέγοντες s. z. c. 44 (ἐπεκλήθησαν). Wie hier V 44.

2. πολιορκήσονται. Fut. med. in passiver Bedeutung. Wie hier c. 70. Vgl. V 34 παρεσκευάσαντο ὡς πολιορκησόμενοι καὶ σῖτα καὶ ποτὰ ἐσάξαντο (ἐς τὴν πόλιν). Vgl. im Folg. (3) ἐξοίσονται.

3. ἐς τοὺς ἑωυτῶν in ihr eigenes Land.

ἐξοίσονται hängt noch von ὡς ab; ebenso gehört der Nebensatz ἢν νικηθέωσι τῇ μάχῃ auch zu diesem zweiten Satzglied (πρὸς δὲ — ἐξοίσονται). ἐξοίσονται hat passive Bedeutung (s. ob. 2) wie c. 76. ἐκφέρεσθαι = deferri (ex alto mari ad oram).

50. 4. ἐπιλεγομένων. ἐπιλέγεσθαι reputare, disceptare. Wie hier VII 47. 49. 50. 149. IX 97.

6. ὁ γὰρ διὰ Βοιωτῶν τραπόμενος στρατός. Vgl. c. 34.

8. ἐκλελοιπότων ἐς. Das brachylogische ἐς bei ἐκλείπειν auch VI 100 οἱ μὲν γὰρ αὐτῶν ἐβουλεύοντο ἐκλιπεῖν τὴν πόλιν ἐς τὰ ἄκρα τῆς Εὐβοίης.

11. οὐκ ἐμήδιζον. Die Thespier hielten bei Thermopylae mit Leonidas bis zuletzt aus (VII 226). Vgl. ob. c. 25; die Plataeer kämpften bei Marathon (VI 108) und bei Artemision (c. 1).

51. ἀπὸ δὲ τῆς διαβάσιος. ἀπό in temporaler Bedeutung wie c. 54. 55. Zur Sache vgl. VII 37.

12. αὐτοῦ, am Hellespont.

14. Καλλιάδεω ἄρχ. Ἀθηναίοισι. Vgl. Thuk. II 2 Πυθοδώρου ἄρχοντος Ἀθηναίοισι. Oefter. — Die Athener benannten nach dem ersten Archon (ἐπώνυμος) das Jahr; des Kalliades Archontat fiel in das erste Jahr von Ol. 75 (= 480 v. Chr.).

16. ἐν τῷ ἱρῷ im Heiligtum der Ἀθήνη Πολιάς auf der Burg. Vgl. c. 53.

ταμίας τε τοῦ ἱροῦ. Die Schatzmeister des Heiligtums der Athene bildeten ein Collegium von

ἱροῦ καὶ πένητας ἀνθρώπους, οἳ φραξάμενοι τὴν ἀκρόπολιν
θύρῃσί τε καὶ ξύλοισι ἠμύνοντο τοὺς ἐπιόντας, ἅμα μὲν ὑπ'
ἀσθενείης βίου οὐκ ἐκχωρήσαντες ἐς Σαλαμῖνα, πρὸς δὲ αὐτοὶ
δοκέοντες ἐξευρηκέναι τὸ μαντήϊον, τὸ ἡ Πυθίη σφι ἔχρησε,
τὸ ξύλινον τεῖχος ἀνάλωτον ἔσεσθαι, καὶ αὐτὸ δὴ τοῦτο εἶναι
τὸ κρησφύγετον κατὰ τὸ μαντήϊον, καὶ οὐ τὰς νέας. Οἱ δὲ 52
Πέρσαι ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν
Ἀθηναῖοι καλέουσι Ἀρήϊον πάγον, ἐπολιόρκεον τρόπον τοιόνδε·
ὅκως στυπεῖον περὶ τοὺς ὀϊστοὺς περιθέντες ἅψειαν, ἐτόξευον
ἐς τὸ φράγμα. ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι ὅμως
ἠμύνοντο, καίπερ ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι καὶ τοῦ φρά-
γματος προδεδωκότος. οὐδὲ λόγους τῶν Πεισιστρατιδέων προσ-
φερόντων περὶ ὁμολογίης ἐνεδέκοντο, ἀμυνόμενοι δὲ ἄλλα τε
ἀντεμηχανέοντο καὶ δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς
τὰς πύλας ὀλοιτρόχους ἀπίεσαν ὥστε Ξέρξην ἐπὶ χρόνον
συχνὸν ἀπορίῃσι ἐνέχεσθαι οὐ δυνάμενόν σφεας ἑλεῖν. Χρό- 53
νῳ δ' ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔσοδος τοῖσι βαρβάροισι·
ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν Ἀττικὴν τὴν ἐν τῇ

10 Personen, unter deren Aufsicht nicht allein die Tempelschätze standen, sondern deren Obhut auch der Staatsschatz anvertraut war, welcher im Parthenon aufbewart wurde und somit unmittelbar unter dem Schutz der Göttin stand.

2. ὑπ' ἀσθενείης βίου (= βιότου) auch II 47. Vgl. II 88 οἱ χρήμασι ἀσθενέστεροι.

3. ἐκχωρήσαντες ἐς Σαλαμῖνα. Vgl. c. 41.

πρὸς δέ adverbial wie c. 40.

4. μαντήιον. Vgl. VII 141.

5. αὐτὸ τοῦτο, τὸ φράγμα.

6. κρησφύγετον auch V 24.

52. 7. ἱζόμενοι ἐπί. ἵζεσθαι ἐπί ist wie ἵζεσθαι ἐς (c. 71 öft.) brachylogisch zu erklären. Wie hier IV 203 ἱζομένοισι ἐπὶ Διὸς Λυκαίου ὄχθον. — Der Areshügel lag der Nordwestseite der Burg gegenüber; auf ihm hielt der uralte Gerichtshof, der nach dem Hügel benannt war, seine Sitzungen.

9. ὅκως c. opt. in iterativer Bedeutung wie c. 90. 128.

11. τοῦ φράγματος προδεδωκότος. Zwei im Casus verschiedene Participien durch καί verbunden. Vgl. III 127 ὁ Δαρεῖος ἐκ τῆς ἰθέης στρατὸν ἐπ' Ὀροίτην οὐκ ἐδόκεε πέμπειν ἅτε οἰδεόντων ἔτι τῶν πρηγμάτων καὶ νεωστὶ ἔχων τὴν ἀρχήν. — προδιδόναι eig. im Stich lassen (deficere), seine Dienste versagen, steht von Sachen auch VII 187.

14. καὶ δὴ καί (auch καὶ δή) steht oft nach ἄλλος, wenn ein Umstand im Gegensatz zu einem anderen derselben Art oder Gattung hervorgehoben werden soll. Vgl. c. 79.

16. ἀπορίῃσι ἐνέχεσθαι passivisch wie IX 98 ἐν ἀπορίῃσι εἴχοντο. Vgl. auch IX 37 ἐν τούτῳ τῷ κακῷ ἐχόμενος. Ueber den Plural (ἀπορίῃσι) s. z. c. 58.

53. χρόνῳ mit der Zeit d. h. allmählich, auch c. 107.

18. ἔδεε. δεῖν wie χρῆναι gebraucht Her. von Bestimmungen des Schicksals und Orakels. Vgl. c. 62.

ἠπείρῳ γενέσθαι ὑπὸ Πέρσῃσι. ἔμπροσθε ὦν πρὸ τῆς ἀκροπόλιος, ὄπισθε δὲ τῶν πυλέων καὶ τῆς ἀνόδου, τῇ δὴ οὔτε τις ἐφύλασσε οὔτ᾽ ἂν ἤλπισε μή κοτέ τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίτοι περ ἀποκρήμνου ἐόντος τοῦ χώρου. ὡς δὲ εἶδον αὐτοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν, οἱ μὲν ἐρρίπτεον ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω καὶ διεφθείροντο, οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον. τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες πρῶτον μὲν ἐτράποντο πρὸς τὰς πύλας, ταύτας δὲ ἀνοίξαντες τοὺς ἱκέτας ἐφόνευον· ἐπεὶ δέ σφι πάντες κατέστρωντο, τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν πᾶ-
54 σαν τὴν ἀκρόπολιν. Σχὼν δὲ παντελέως τὰς Ἀθήνας Ξέρξης ἀπέπεμψε ἐς Σοῦσα ἄγγελον ἱππέα Ἀρταβάνῳ ἀγγελέοντα τὴν παρεοῦσάν σφι εὐπρηξίην. ἀπὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωυτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν, εἴτε δὴ ὦν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ

1. ὑπὸ Πέρσῃσι. In den Verbindungen ὑπό τινι γίνεσθαι, εἶναι, ποιήσασθαι bezeichnet ὑπό c. Dat. (in ursprünglicher räumlicher Auffassung) anschaulicher als der Genetiv die Unterwürfigkeit. Vgl. IX 4.

ἔμπροσθε πρὸ τῆς ἀκροπόλιος d. h. auf der Nordseite des Burgfelsens, an der sich das Aglaurion befand; der Ausdruck ἔμπροσθε ist in Beziehung auf die Stellung des persischen Heeres gesagt, welches Athen von der Nordseite erreicht hatte. Der Aufgang zur Burg d. h. die eigentliche Frontseite war auf der Ecke der Westseite.

3. κατὰ ταῦτα. κατά in localer Bedeutung. Vgl. III 64 ἐτρωματίσθη (ὁ Καμβύσης) δὲ κατὰ τοῦτο τῇ αὐτὸς πρότερον τὸν τῶν Αἰγυπτίων θεὸν Ἆπιν ἔπληξε. Aehnlich gleich im Folg. κατὰ (= in der Nähe) τὸ ἱρὸν τῆς Κεκρ. θυγατρὸς Ἀγλαύρου.

5. Ἀγλαύρου. Ἄγλαυρος od. Ἄγραυλος war ursprünglich ein Beiname der Athene, durch welchen die Beziehung derselben auf den Segen des Feldbau's bezeichnet ist. Näheres über den Mythus der Töchter des Kekrops (Aglauros, Pandrosos, Herse) bei Pausan. I 18, 2.

7. κατὰ τοῦ τείχεος κάτω. Ueber die Abundanz s. z. c. 14.

8. ἐς τὸ μέγαρον, wo das Bild der Göttin stand. V 72 ist dieser heiligste Raum (s. z. c. 37) τὸ ἄδυτον τῆς θεοῦ genannt.

11. κατέστρωντο. Das Verbum in gleicher Bedeutung IX 69. 76.

ἐνέπρησαν — ἀκρόπολιν. Zur Sache vgl. Nep. Themist. c. 4 At Xerxes Thermopylis expugnatis protinus accessit astu idque nullis defendentibus, interfectis sacerdotibus, quos in arce invenerat, incendio delevit.

54. 12. παντελέως, auch die Akropolis.

13. Ἀρταβάνῳ dem Reichsstatthalter. Vgl. VII 53.

14. ἀπό temporal wie c. 51.

17. ὄψις ἐνυπνίου auch VII 7. 47.

18. ἐνθύμιόν οἱ ἐγίνετο ist

ἱρόν. οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα.
Τοῦ δὲ εἵνεκεν τούτων ἐπεμνήσθην, φράσω. ἔστι ἐν τῇ ἀκρο- 55
πόλι ταύτῃ Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι νηὸς, ἐν
τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι, τὰ λόγος παρ' Ἀθηναίων Ποσει-
δέωνά τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης μαρτύρια
θέσθαι. ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε
ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς
ἐμπρήσιος Ἀθηναίων οἱ θύειν ὑπὸ βασιλέος κελευόμενοι ὡς
ἀνέβησαν ἐς τὸ ἱρὸν, ὥρεον βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε
πηχυαῖον ἀναδεδραμηκότα. Οὗτοι μέν νυν ταῦτα ἔφρασαν.
Οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὥς σφι ἐξηγγέλθη, ὡς ἔσχε 56

wie μεταμέλει μοὶ (IX 89) mit Participium verbunden. Eine verwandte Bedeutung hat die Wendung ἐνθυμητὸν ποιήσασθαί τι (II 175). — Ueber den Wechsel der Structur bei εἴτε — εἴτε s. z. IX 5.

55. 3. Ἐρεχθέος τοῦ γηγενέος. Erechtheus (od. Erichthonios s. c. 53) war nach altattischer Sage ein Sohn der Erde und des Hephaestos; Athene sollte ihn aufgezogen haben. Vgl. Hom. Il. II 547:

> δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη
> θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα,
> κὰδ δ' ἐν Ἀθήνῃς εἷσε ἑῷ ἐνὶ πίονι νηῷ·
> ἔνθα δέ μιν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται
> κοῦροι Ἀθηναίων περιτελλομένων ἐνιαυτῶν.

Ueber die Beziehungen des Erechtheus zum Athenecultus s. z. c. 41. Der Tempel des Erechtheus (δόμος Ἐρεχθῆος s. ob.) od. das sogenannte Erechtheion lag auf der Nordseite der Akropolis nördlich vom Parthenon; das Ἐρέχθειον umfaszte das Heiligtum der Ἀθήνη Πολιάς und das des Ποσειδῶν Ἐρεχθεύς (von ἐρέχθειν stoszen, vgl. σεισίχθων) — denn auf Poseidon war später der Name Ἐρεχθεύς in veränderter Bedeutung übergegangen. — In einer Zelle des Erechtheion, dem sogen. Πανδρόσειον, quoll der heilige Salzquell und blühte der ewig grünende Oelbaum, beides Andenken an den Streit des Poseidon und der Athene.

4. λόγος (erg. ἐστί). Damit ist παρ' Ἀθηναίων eng zu verbinden (= es gibt eine von den Athenern ausgehende Sage, dasz u. s. w.). Vgl. Dem. XVI 11 ἔστι τοιοῦτος τις λόγος παρὰ τῶν ἀντιλεγόντων. Aehnliche Verbindungen sind nicht selten.

5. ἐρίσαντας περὶ τῆς χώρης. Nach der Sage hatte Poseidon durch den Stosz seines Dreizacks eine salzige Quelle (θάλασσα Ἐρεχθηίς) auf der kahlen Höhe hervorsprudeln lassen; Athene aber hatte auf demselben nackten Felsen den ersten Oelbaum wachsen lassen, der für den Ursprung des gesammten Oelbau's in der Kephissosebene galt. Wegen dieser Gabe ward die Göttin von Kekrops und den Göttern als die echte und wahre Landesgottheit anerkannt. Vgl. Apollod. III 14, 1.

μαρτύρια = τεκμήρια als sichtbare Zeichen ihrer wolbegründeten Ansprüche auf den Vorrang.

6. κατέλαβε. S. z. c. 6.

7. ἀπὸ τῆς ἐμπρήσιος. Ueber die Bedeutung von ἀπό s. z. c. 51.

9. ὅσον τε fere. Vgl. IX 23. 51. 57.

10. ἀναδεδραμηκότα. ἀναδραμεῖν hier vom Emporschieszen eines jungen Sprosses; vom Emporblühen eines Staats VII 156, αἱ Συρήκουσαι παραυτίκα ἀνά τ' ἔδραμον καὶ ἀνέβλαστον.

τὰ περὶ τὴν Ἀθηνέων ἀκρόπολιν, ἐς τοσοῦτον θόρυβον ἀπίκοντο, ὥστε ἔνιοι τῶν στρατηγῶν οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα, ἀλλ' ἔς τε τὰς νέας ἐσέπιπτον καὶ ἱστία ἠείροντο ὡς ἀποθευσόμενοι. τοῖσί τε ὑπολειπομένοισι αὐτῶν ἐκυρώθη πρὸ τοῦ Ἰσθμοῦ ναυμαχέειν. νύξ τε ἐγίνετο, καὶ οἳ
57 διαλυθέντες ἐκ τοῦ συνεδρίου ἐσέβαινον ἐς τὰς νέας. Ἐνθαῦτα δὴ Θεμιστοκλέα ἀπικόμενον ἐπὶ τὴν νέα εἴρετο Μνησίφιλος ἀνὴρ Ἀθηναῖος, ὅ τι σφι εἴη βεβουλευμένον. πυθόμενος δὲ πρὸς αὐτοῦ, ὡς εἴη δεδογμένον ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμὸν καὶ πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε· Οὔ τοι ἄρα, ἢν ἀπαείρωσι τὰς νέας ἀπὸ Σαλαμῖνος, οὐδὲ περὶ μιῆς ἔτι πατρίδος ναυμαχήσεις. κατὰ γὰρ πόλις ἕκαστοι τρέψονται, καὶ οὔτε σφέας Εὐρυβιάδης κατέχειν δυνήσεται οὔτε τις ἀνθρώπων ἄλλος ὥστε μὴ οὐ διασκεδασθῆναι τὴν στρατιὴν, ἀπολέεταί τε ἡ Ἑλλὰς ἀβουλίῃσι. ἀλλ' εἴ τις ἔστι μηχανὴ, ἴθι καὶ πειρέο διαχέαι τὰ βεβουλευμένα, ἤν κως δύνῃ ἀναγνῶσαι Εὐ-
58 ρυβιάδην μεταβουλεύσασθαι ὥστε αὐτοῦ μένειν. Κάρτα δὴ τῷ Θεμιστοκλέϊ ἤρεσε ἡ ὑποθήκη, καὶ οὐδὲν πρὸς ταῦτα ἀμειψάμενος ἤϊε ἐπὶ τὴν νέα τὴν Εὐρυβιάδεω. ἀπικόμενος δὲ ἔφη ἐθέλειν

Die hellenische Flotte bei Salamis. Themistokles vereitelt den Beschlusz der Feldherren nach dem Isthmos zu fahren (Mnesiphilos, Adeimantos). Herbeirufung der Aiakiden (c. 56—65).

56. 2. *ἔμενον.* *μένειν* mit Accus. c. Infin. wie c. 15.

τὸ προκείμενον πρῆγμα. S. c. 49.

4. *τοῖσι ὑπολειπομένοισι αὐτῶν* Dativ beim Passiv.

5. *νύξ τε ἐγίνετο καὶ — ἐσέβαινον.* Parataxis. Vgl. c. 83 *ἠώς τε ἔφαινε καὶ — προηγόρευε.* S. auch z. c. 5.

6. *διαλυθέντες ἐκ τοῦ συνεδρίου.* Vgl. III 73 *νῦν ὦν τίθεμαι ψῆφον πείθεσθαι Δαρείῳ καὶ μὴ διαλύεσθαι ἐκ τοῦ συλλόγου τοῦδε ἄλλῃ ἰόντας ἢ ἐπὶ τὸν μάγον ἰθέως.*

57. 7. *Μνησίφιλον.* Vgl. Plut. Them. c. 2.

10. *οὔ τοι ἄρα.* Ueber *ἄρα* s. z. c. 8.

12. *κατὰ πόλις ἕκαστοι* jeder in die (einzelne) Stadt, der er angehört. Vgl. c. 68 *κατὰ πόλις δὲ ἕκαστοι φεύξονται.* — *κατά* hier wie oft in distributiver Bedeutung. Vgl. c. 108 IX 20.

14. *μὴ οὐ* (*οὐκ*) steht beim Infin. und Partic. nur nach negativen Sätzen. Vgl. c. 99. 100. 119. 126. IX 12.

15. *ἀβουλίῃσι.* Der (dichterische) Plural bei abstracten Begriffen findet sich namentlich bei solchen Substantiven, welche etwas (öfter wiederkehrendes) Zuständliches bezeichnen. Vgl. II 141 *ἐν ἀλογίῃσι ἔχειν* und ob. c. 53 *ἐν ἀπορίῃσι.* Häufig so bei Homer: *ἀτασθαλίῃσι, ἀτιμίῃσι, ἀναλκείῃσι* u. ä. Ebenso unt. c. 118 (*ὁδοιπορίῃσι διεχρᾶτο*).

16. *διαχέαι.* *διαχέειν* hier in der (seltenen) Bedeutung vereiteln. Aehnlich Dionys. Halic. III p. 141 *ἡ διαβολὴ τοῦ πολέμου — διέχεεν αὐτῶν τὰ βουλεύματα.*

οἱ κοινόν τι πρῆγμα συμμῖξαι. ὁ δ᾽ αὐτὸν ἐς τὴν νέα ἐκέλευε
ἐσβάντα λέγειν, εἴ τι ἐθέλοι. ἐνθαῦτα ὁ Θεμιστοκλέης παρι-
ζόμενός οἱ καταλέγει ἐκεῖνά τε πάντα, τὰ ἤκουσε Μνησιφίλου,
ἑωυτοῦ ποιεύμενος, καὶ ἄλλα πολλὰ προστιθεὶς, ἐς ὃ ἀνέγνωσε
χρηΐζων ἔκ τε τῆς νεὸς ἐκβῆναι συλλέξαι τε τοὺς στρατηγοὺς
ἐς τὸ συνέδριον. Ὡς δὲ ἄρα συνελέχθησαν, πρὶν ἢ τὸν Εὐρυ- 59
βιάδην προθεῖναι τὸν λόγον τῶν εἵνεκεν συνήγαγε τοὺς στρα-
τηγοὺς, πολλὸς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι οἷα κάρτα
δεόμενος. λέγοντος δὲ αὐτοῦ ὁ Κορίνθιος στρατηγὸς Ἀδεί-
μαντος ὁ Ὠκύτου εἶπε· Ὦ Θεμιστόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ
προεξανιστάμενοι ῥαπίζονται. ὁ δὲ ἀπολυόμενος ἔφη· Οἱ δέ
γε ἐγκαταλειπόμενοι οὐ στεφανεῦνται. Τότε μὲν ἠπίως πρὸς 60
τὸν Κορίνθιον ἀμείψατο, πρὸς δὲ τὸν Εὐρυβιάδην ἔλεγε ἐκεί-

58. 1. *συμμῖξαι* hier mit Objectsaccusativ wie bei Theogn. 64 *ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ᾽ ὁτιοῦν σπουδαῖον.* — *συμμῖξαι* in ähnlicher, doch absoluter Bedeutung c. 67. 79.

4. *ἑωυτοῦ ποιεύμενος* (= sich aneignend) erg. *τὰ Μνησιφίλου ἔπεα.*

ἀνέγνωσε = *ἀνέπεισε.* Vgl. c. 100. 110.

59. 7. *προθεῖναι τὸν λόγον.* S. z. c. 49.

τὸν λόγον τῶν. τῶν εἵνεκεν συνήγαγε ist erklärender Zusatz zu *τὸν λόγον.* Vgl. III 48 *πυθόμενοι οἱ Σάμιοι τὸν λόγον, ἐπ᾽ οἷσι ἀγοίατο ἐς Σάρδις.* Aehnlich wird unt. c. 68 *γνώμην* (*γνώμην με δίκαιόν ἐστι ἀποδείκνυσθαι*) näher ausgeführt durch: *τὰ τυγχάνω φρονέουσα ἄριστα ἐς πρήγματα τὰ σά.* Aehnlich c. 88.

8. *πολλὸς ἦν Θ. ἐν τοῖσι λόγοισι* (= *λέγων*). Auch IX 91 ist *πολλός* in adverbialer Bedeutung gebraucht: *πολλὸς δὲ ἦν λισσόμενος ὁ ξεῖνος ὁ Σάμιος.* Anders III 46 *ἔλεγον πολλὰ οἷα κάρτα δεόμενοι.*
οἷα cum Partic. S. z. c. 69.

11. *προεξανιστάμενοι,* ehe das Zeichen zur Eröffnung des Wettkampfes gegeben. — Adeimantos tadelt den Them., dasz er zu reden begonnen, ehe noch Eurybiades den Gegenstand der Beratung vorgelegt und den Kriegsrat um seine Meinung gefragt habe.

ῥαπίζονται. Den Hellanodiken standen zur Aufrechterhaltung der Ordnung die sogen. *ῥαβδοῦχοι* od. *ῥαβδοφόροι* zu Gebote, durch welche sie an denjenigen körperliche Züchtigungen vollziehen lassen konnten, die sich eine Verletzung der Kampfgesetze zu Schulden kommen lieszen.

ἀπολύεσθαι sich rechtfertigen.

οἱ δέ γε ἐγκαταλειπόμενοι d. h. die nicht sofort den Wettkampf beginnen, sobald das Zeichen zur Eröffnung desselben gegeben.

12. *στεφανεῦνται.* Ueber die Contraction vgl. Dial. Bd. I. S. 38. — Auch Plutarch (Them. 11) erzählt das Geschichtchen; doch läszt er die Rolle des Adeimant den Eurybiades spielen und setzt ausserdem hinzu, dasz Euryb. auf jene Antwort des Themistokles (*οἱ δὲ γ. ἐγκαταλ. οὐ στεφανεῦνται*) drohend seinen Stock gegen ihn erhoben habe, worauf Themist. die Antwort gegeben: *πάταξον μὲν, ἄκουσον δέ.* Da habe Eurybiades, die Mässigung des Themist. bewundernd, ihm Gehör geschenkt.

60. *τότε μέν.* Es entspricht erst c. 61 *τότε* (*δέ*) *δή.*

μων μὲν οὐκέτι οὐδὲν τῶν πρότερον λεχθέντων, ὡς ἐπεὰν
ἀπαείρωσι ἀπὸ Σαλαμῖνος, διαδρήσονται· παρεόντων γὰρ τῶν
συμμάχων οὐκ ἔφερέ οἱ κόσμον οὐδένα κατηγορέειν· ὁ δὲ ἄλ-
I λου λόγου εἴχετο, λέγων τάδε· Ἐν σοὶ νῦν ἐστὶ σῶσαι τὴν Ἑλλάδα,
ἢν ἐμοὶ πείθῃ ναυμαχίην αὐτοῦ μένων ποιέεσθαι, μηδὲ πειθό-
μενος τούτων τοῖσι λόγοισι ἀναζεύξῃς πρὸς τὸν Ἰσθμὸν τὰς
νέας. ἀντίθες γὰρ ἑκάτερον ἀκούσας. πρὸς μὲν τῷ Ἰσθμῷ
συμβάλλων ἐν πελάγεϊ ἀναπεπταμένῳ ναυμαχήσεις, [ἐς] τὸ
ἥκιστα ἡμῖν σύμφορόν ἐστι νέας ἔχουσι βαρυτέρας καὶ ἀριθμὸν
ἐλάσσονας, τοῦτο δὲ ἀπολέεις Σαλαμῖνά τε καὶ Μέγαρα καὶ
Αἴγιναν, ἤνπερ καὶ τὰ ἄλλα εὐτυχήσωμεν. ἅμα γὰρ τῷ ναυτι-
κῷ αὐτῶν ἕψεται καὶ ὁ πεζὸς στρατός. καὶ οὕτω σφέας αὐτὸς
ἄξεις ἐπὶ τὴν Πελοπόννησον, κινδυνεύσεις τε ἁπάσῃ τῇ Ἑλ-
II λάδι. Ἢν δὲ τὰ ἐγὼ λέγω ποιήσῃς, τοσάδε ἐν αὐτοῖσι χρηστὰ
εὑρήσεις· πρῶτα μὲν ἐν στεινῷ συμβάλλοντες νηυσὶ ὀλίγῃσι
πρὸς πολλάς, ἢν τὰ οἰκότα ἐκ τοῦ πολέμου ἐκβαίνῃ, πολλὸν
κρατήσομεν, — τὸ γὰρ ἐν στεινῷ ναυμαχέειν πρὸς ἡμέων ἐστὶ,
ἐν εὐρυχωρίῃ δὲ πρὸς ἐκείνων, — αὖτις δὲ Σαλαμὶς περιγί-
νεται, ἐς τὴν ἡμῖν ὑπεκκέεται τέκνα τε καὶ γυναῖκες. καὶ μὲν

3. οὐκ ἔφερέ οἱ κόσμον. Dieselbe Wendung ist in ähnlichem Sinne c. 142 gebraucht.

4. λόγου εἴχετο. Dieselbe Wendung VII 5. 6.

I. ἐν σοὶ. VI 109 sagt Miltiades vor der Schlacht bei Marathon zum Polemarchen Kallimachos: ἐν σοὶ νῦν, Καλλίμαχε, ἐστὶ ἢ καταδουλῶσαι Ἀθήνας ἢ ἐλευθέρας ποιῆσαι. In gleicher Bedeutung steht ἐν c. 118.

6. ἀναζεύξῃς τὰς νέας. Vgl. IX 41 ἀναζεῦξαι πάντα τὸν στρατόν. Ebenso IX 58. Sonst hat ἀναζευγνύναι (= aufbrechen) meist intransitive Bedeutung.

8. ἐν πελάγεϊ ἀναπεπταμένῳ. Auch Long. Pastor. III 177 nennt die offene See ἀναπεπταμένη ἡ θάλασσα.

ἐς τὸ — σύμφορόν ἐστι erklärt man, ναυμαχέειν bei ἐς τὸ ergänzend: ἐς ὃ ἰοῦσι sive ἀνάγουσι ἡμῖν ναυμαχέειν ἥκιστα σύμφορόν ἐστι. Richtiger scheint mir, ἐς zu streichen.

9. βαρυτέρας. Sinngemäszer ist βραχυτέρας. Vgl. Plut. Them. 14 (πνεῦμα λαμπρὸν) τὰς μὲν Ἑλληνικὰς οὐκ ἔβλαπτε ναῦς ἁλιτενεῖς οὔσας καὶ ταπεινοτέρας, τὰς δὲ βαρβαρικὰς ταῖς μὲν πρύμναις ἀνεστώσας καὶ τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομένας ἔσφαλλε.

10. τοῦτο δέ (= andrerseits) einem einfachen μέν entsprechend (statt τοῦτο μέν) auch V 45. Vollständig c. 76.

13. κινδυνεύσεις τε ἁπάσῃ τῇ Ἑλλάδι. Zum Dativ vgl. VII 209 ἐπεὰν μέλλωσι κινδυνεύειν τῇ ψυχῇ, τότε τὰς κεφαλὰς κοσμέονται.

14. ἐν αὐτοῖσι dabei. So gleich auch im Folgenden. Vgl. ἐξ αὐτῶν und ἐν αὐτῷ.

17. πρὸς ἡμέων. Ueber die Bedeutung von πρός s. z. c. 22.

19. ἐς τὴν — ὑπεκκέεται. ἐς erklärt sich aus der Bedeutung von ὑπεκκεῖσθαι. S. z. c. 26.

καὶ μὲν (= μήν).

*καὶ τόδε ἐν αὐτοῖσι ἔνεστι, τοῦ καὶ περιέχεσθε μάλιστα· ὁμοίως
αὐτοῦ τε μένων προναυμαχήσεις Πελοποννήσου καὶ πρὸς τῷ
Ἰσθμῷ, οὐδέ σφεας, εἴπερ εὖ φρονέεις, ἄξεις ἐπὶ τὴν Πελοπόν-
νησον. Ἢν δέ γε καὶ τὰ ἐγὼ ἐλπίζω γένηται καὶ νικήσωμεν* III
*τῇσι νηυσὶ, οὔτε ὑμῖν ἐς τὸν Ἰσθμὸν παρέσονται οἱ βάρβαροι
οὔτε προβήσονται ἑκαστέρω τῆς Ἀττικῆς, ἀπίασί τε οὐδενὶ
κόσμῳ, Μεγάροισί τε κερδανέομεν περιεοῦσι καὶ Αἰγίνῃ καὶ
Σαλαμῖνι, ἐν τῇ ἡμῖν καὶ λόγιόν ἐστι τῶν ἐχθρῶν κατύπερθε
γενέσθαι. οἰκότα μέν νυν βουλευομένοισι ἀνθρώποισι ὡς τὸ
ἐπίπαν ἐθέλει γίνεσθαι, μὴ δὲ οἰκότα βουλευομένοισι οὐκ ἐθέλει
οὐδὲ ὁ θεὸς προσχωρέειν πρὸς τὰς ἀνθρωπηΐας γνώμας. Ταῦτα* 61
*λέγοντος Θεμιστοκλέος αὖτις ὁ Κορίνθιος Ἀδείμαντος ἐπεφέ-
ρετο, σιγᾶν τε κελεύων τῷ μή ἐστι πατρὶς, καὶ Εὐρυβιάδην
οὐκ ἐῶν ἐπιψηφίζειν ἀπόλι ἀνδρί· πόλιν γὰρ τὸν Θεμιστοκλέα*

1. *περιέχεσθαί τινος* eig. etwas rings umfassen, daher: sich fest an etwas halten, fest an etwas hangen. Vgl. VII 160 *ἐστὶ ὑμεῖς περιέχεσθε τῆς ἡγεμονίης*. IX 57 ist das Object (*τινός*) durch einen Infinitivsatz ausgedrückt.

2. *καί* nach *ὁμοίως* = wie (s. z. c. 45). — *καὶ πρὸς τῷ Ἰσθμῷ* steht im Gegensatz zu *αὐτοῦ τε μένων*. Der Sinn ist: Du wirst hier nicht minder für die Peloponnes kämpfen als am Isthmus.

3. *οὐδέ σφεας* (sc. *τοὺς Πέρσας*) — *ἄξεις ἐπὶ τὴν Πελοπόννησον*. Themistokles spricht die Meinung aus, dasz Eurybiades gerade dadurch die Perser nach der Peloponnes ziehen würde, wenn er mit der Flotte nach dem Isthmus segele.

5. *ἐς τὸν Ἰσθμὸν παρέσονται*. Dieselbe Brachylogie VI 1 *παρῆν ἐς Σάρδις*. Oefter. Die Bewegung geht der Ruhe voraus. Vgl. unt. c. 140.

6. *ἀπίασι*. *ἄπειμι* hat (wie oft auch *εἶμι*) Futurbedeutung.

οὐδενὶ κόσμῳ. Der Dativ auch III 13 *ἔφευγον οὐδενὶ κόσμῳ*; häufig auch der Accusativ (c. 117. IX 65).

7. *κερδανέομεν*. *κερδαίνειν* mit Dativ erkläre nach *ζημιοῦσθαι τινί*. Vgl. VI 146 *ἐζημιώθη Μιλτιάδης πεντήκοντα ταλάντοισι* VII 39 *ζημιώσεαι* (passiv.) *τῇ ψυχῇ* (erg. *τοῦ υἱοῦ*).

8. *λόγιόν ἐστι — κατύπερθε γενέσθαι*. So konnte man wenigstens den freilich zweideutig gehaltenen Schluszvers des Orakels (VII 141) deuten (*ὦ θείη Σαλαμὶς, ἀπολεῖς δέ συ τέκνα γυναικῶν*). S. z. c. 41. — Ueber die Wendung *κατύπερθε γίνεσθαι* s. z. c. 19.

9. *ὡς τὸ ἐπίπαν*. *τὸ ἐπίπαν* in der Regel wird öfter mit *ὡς* verbunden; vgl. VII 50. 157. Häufig auch ohne *ὡς* (VI 46).

10. *ἐθέλει γίνεσθαι*. Wahrscheinlich ist *οἰκότα* (= quae rationi sunt consentanea) vor *ἐθέλει* ausgefallen. *ἐθέλειν* wird in der Bedeutung mögen, pflegen auch von leblosen Dingen gebraucht. Vgl. VII 50. 157.

61. 12. *ἐπεφέρετο* sc. *ἐς αὐτόν*. Das mediale *ἐπιφέρεσθαι* hat die Bedeutung des lat. invehi in aliquem. In erster Bedeutung steht das Verbum c. 90.

14. *ἐπιψηφίζειν ἀπόλι ἀνδρί* erklären einige: für einen stadt- und staatlosen Mann (d. h. über dessen Antrag) abstimmen lassen; andere fassen wol richtiger *ἐπιψηφίζειν τινί* in dem Sinne von *ψῆφον διδόναι τινί* und erklären demgemäsz: Adeim. misbilligte es, dasz Eurybiades einem heimatlosen

παρεχόμενον οὕτω ἐκέλευε γνώμας συμβάλλεσθαι. ταῦτα δέ οἱ προέφερε, ὅτι ἡλώκεσάν τε καὶ κατείχοντο αἱ Ἀθῆναι. τότε δὴ ὁ Θεμιστοκλέης ἐκεῖνόν τε καὶ τοὺς Κορινθίους πολλά τε καὶ κακὰ ἔλεγε, ἑωυτοῖσί τε ἐδήλου λόγῳ ὡς εἴη καὶ πόλις καὶ γῆ μέζων ἤπερ ἐκείνοισι, ἔστ' ἂν διηκόσιαι νέες σφι ἔωσι πεπληρωμέναι· οὐδαμοὺς γὰρ Ἑλλήνων αὐτοὺς ἐπιόντας ἀποκρού-
62 σεσθαι. Σημαίνων δὲ ταῦτα τῷ λόγῳ διέβαινε ἐς Εὐρυβιάδην, λέγων μᾶλλον ἐπεστραμμένα· Σὺ εἰ μενέεις αὐτοῦ καὶ μένων ἔσεαι ἀνὴρ ἀγαθός· εἰ δὲ μή, ἀνατρέψεις τὴν Ἑλλάδα. τὸ πᾶν γὰρ ἡμῖν τοῦ πολέμου φέρουσι αἱ νέες. ἀλλ' ἐμοὶ πείθεο. εἰ δὲ ταῦτα μὴ ποιήσεις, ἡμεῖς μέν, ὡς ἔχομεν, ἀναλαβόντες τοὺς οἰκέτας κομιεύμεθα ἐς Σῖριν τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέρη τέ

Mann, der keine griechische Stadt zu vertreten habe, überhaupt Stimmrecht einräume. — Uebrigens findet sich ἐπιψηφίζειν nur an dieser Stelle mit Dativ verbunden.

1. οὕτω. Ueber die Beziehung zu πόλιν παρεχόμενον s. z. c. 23.

γνώμας συμβάλλεσθαι auch V 92. συμβάλλεσθαι heiszt eig. beisteuern.

4. ἑωυτοῖσι, sich und seinen Mitbürgern.

λόγῳ. Vgl. V 84 ἀπέφαινον τῷ λόγῳ, V 94 ἀποδεικνύντες λόγῳ, unt. c. 62 σημαίνων τῷ λόγῳ. λόγος hat in diesen Verbindungen die Bedeutung: (mündliche) Erörterung.

62. 8. ἐπεστραμμένα. ἐπεστραμμένος eig. fest angezogen heiszt in übertragener Bedeutung nachdrücklich, entschieden. Vgl. VII 160 (λόγοι ἐπεστραμμένοι) und I 30.

σὺ εἰ μενέεις αὐτοῦ καὶ — ἀγαθός. Als Nachsatz zu diesem Anapodoton ergibt sich von selbst aus dem Zusammenhang: εὖ ἔχει od. mit Rücksicht auf das Folgende: σώσεις τὴν Ἑλλάδα. — Bei Gegensätzen mit εἰ μέν und εἰ δὲ μή (öfter fehlt wie an unserer Stelle μέν im ersten Gliede) entbehrt das erste Satzglied häufig des Nachsatzes, der leicht aus dem Zusammenhange ergänzt wird. Vgl. Hom. Il. I 135

ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί,
ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται·
εἰ δέ κε μὴ δώωσι, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι.

9. τὸ πᾶν — φέρουσι. Vgl. c. 100 ὁ γὰρ ξύλων ἀγὼν ὁ τὸ πᾶν φέρων ἐστὶ ἡμῖν.

10. ἀλλά steht häufig in lebhafter Rede mit dem Imperativ od. dem Adject. verbale (c. 108), indem der Redende den ruhigen Gang der Beweisführung abbrechend zu einer eindringlichen Aufforderung übergeht. Ganz wie hier c. 140 (ἀλλὰ πείθεσθε) IX 9. Vgl. auch c. 108 und ähnlich IX 46 ἀλλὰ χρεών ἐστι ἰέναι ὑμέας ἐς τόδε τὸ κέρας.

11. ὡς ἔχομεν = e vestigio. Oefter tritt ἰθύς od. ἰθέως hinzu; vgl. V 64 οἱ δὲ περιγενόμενοι ἀπαλλάσσοντο ὡς εἶχον ἰθὺς ἐπὶ Θεσσαλίης.

12. κομιεύμεθα. S. z. c. 21.

Σῖρις. Das italische Siris (zu unterscheiden von dem makedonischen c. 115), in Lucanien an dem gleichnamigen Flusse gelegen, war eine uralte griechische Stadt, die von Ionern aus Kolophon (also Stammverwandten der Athener) colonisiert sein sollte. Um 432 v. Chr. wurde es seiner ungesunden Lage wegen von seinen Bewohnern verlassen und blieb seitdem nur Hafenplatz für das in seiner Nähe von Tarent aus gegründete Heraklea. — Worauf die Athener ihre Ansprüche auf den

ἐστι ἐκ παλαιοῦ ἔτι, καὶ τὰ λόγια λέγει ὑπ᾽ ἡμέων αὐτὴν δεῖν
κτισθῆναι· ὑμεῖς δὲ συμμάχων τοιῶνδε μουνωθέντες μεμνή-
σεσθε τῶν ἐμῶν λόγων. Ταῦτα δὲ Θεμιστοκλέος λέγοντος ἀνε- 63
διδάσκετο Εὐρυβιάδης. δοκέειν δέ μοι, ἀρρωδήσας μάλιστα
τοὺς Ἀθηναίους ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς
τὸν Ἰσθμὸν ἀνάγῃ τὰς νέας. ἀπολιπόντων γὰρ Ἀθηναίων οὐκ-
έτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί. ταύτην δὲ αἱρέεται τὴν
γνώμην αὐτοῦ μένοντας διαναυμαχέειν. Οὕτω μὲν οἱ περὶ Σα- 64
λαμῖνα ἔπεσι ἀκροβολισάμενοι, ἐπείτε Εὐρυβιάδῃ ἔδοξε, αὐτοῦ
παρεσκευάζοντο ὡς ναυμαχήσοντες. ἡμέρη τε ἐγίνετο καὶ ἅμα
τῷ ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ καὶ τῇ θαλάσσῃ.
ἔδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι καὶ ἐπικαλέσασθαι τοὺς
Αἰακίδας συμμάχους. ὡς δέ σφι ἔδοξε, καὶ ἐποίευν ταῦτα·
εὐξάμενοι γὰρ πᾶσι τοῖσι θεοῖσι αὐτόθεν μὲν ἐκ Σαλαμῖνος
Αἴαντά τε καὶ Τελαμῶνα ἐπεκαλέοντο, ἐπὶ δὲ Αἰακὸν καὶ τοὺς
ἄλλους Αἰακίδας νέα ἀπέστελλον ἐς Αἴγιναν.
Ἔφη δὲ Δικαῖος ὁ Θεοκύδεος ἀνὴρ Ἀθηναῖος, φυγάς τε 65

Besitz dieser Siris stützten (ἥπερ ἡμετέρη τέ ἐστι ἐκ παλαίου), bleibt ungewiss; vielleicht hängt hiermit die Gründung der Colonie Thurii zusammen, welche die Athener im Jahre 444 v. Chr. unweit des Sirisflusses anlegten; auch Herodot beteiligte sich an der Gründung. S. Einl. Bd. I. S. 3.

1. ἔτι. Zur Bedeutung von ἔτι s. z. c. 6.

καὶ — αὐτήν. Wir erwarteten καὶ τήν (ἥν). Doch setzt Herodot fast regelmäszig (vgl. indes c. 106), wenn sich einem Relativsatz ein zweites Glied anschlieszt, das einen anderen Casus des Relativs erfordert, im zweiten Gliede ein demonstratives oder determinatives Pronomen. Vgl. IX 21 κατὰ συντυχίην δὲ Μεγαρέες ἔτυχον ταχθέντες τῇ τε τὸ ἐπιμαχώτατον ἦν τοῦ χωρίου παντὸς καὶ ἡ πρόσοδος μάλιστα ταύτῃ ἐγένετο τῇ ἵππῳ.

τὰ λόγια. S. z. c. 20.

63. 3. ἀνεδιδάσκετο. ἀναδιδάσκειν τινά eig. umlehren d. h. jemanden eines besseren belehren. Das Activ IV 95 u. bei Thuk. VIII 86.

4. δοκέειν ἐμοί. S. z. c. 22.

ἀρρωδήσας τοὺς Ἀθηναίους μὴ — ἀπολίπωσι. Anticipatio.

64. 9. ἔπεσι ἀκροβολισάμενοι. Vgl. c. 78 ἦν λόγων ὠθισμὸς πολλός.

10. ἡμέρη τε ἐγίνετο καὶ — σεισμὸς ἐγένετο. Parataxis. S. z. c. 56.

12. τοὺς Αἰακίδας. So erbaten sich auch die Thebaner im Kriege mit den Athenern die Bilder der Aiakiden, der Stammheroen von Aigina (und Salamis), von dem Staat der Aigineten als Helfer. Vgl. c. 84. S. z. V 80.

13. καὶ ἐποίευν ταῦτα. καί wie hier im Nachsatze auch VII 128 ὡς δὲ ἐπεθύμησε καὶ ἐποίεε ταῦτα.

15. ἐπὶ δὲ Αἰακὸν — ἐπέστελλον. ἐπί c. Accus. zeigt bei Verben der Bewegung den Zweck an (= nach). Vgl. VII 193 εὖτε ἐπὶ τὸ κῶας ἔπλεον. III 14 ἐξέπεμπε αὐτὴν ἐπ᾽ ὕδωρ. Ebenso IX 51 τοὺς ἐπὶ τὰ σιτία οἰχομένους.

τοὺς ἄλλους Αἰακίδας als Peleus, Phokos u. deren Nachkommen.

καὶ παρὰ Μήδοισι λόγιμος γενόμενος τοῦτον τὸν χρόνον, ἐπείτε ἐκείρετο ἡ Ἀττικὴ χώρη ὑπὸ τοῦ πεζοῦ στρατοῦ τοῦ Ξέρξεω ἐοῦσα ἐρῆμος Ἀθηναίων, τυχεῖν τότε ἐὼν ἅμα Δημαρήτῳ τῷ Λακεδαιμονίῳ ἐν τῷ Θριασίῳ πεδίῳ, ἰδεῖν δὲ κονιορτὸν χωρέοντα ἀπὸ Ἐλευσῖνος ὡς ἀνδρῶν μάλιστά κῃ τρισμυρίων, ἀποθωμάζειν τέ σφεας τὸν κονιορτὸν ὅτεών κοτε εἴη ἀνθρώπων, καὶ πρόκατε φωνῆς ἀκούειν, καί οἱ φαίνεσθαι τὴν φωνὴν εἶναι τὸν μυστικὸν ἴακχον. εἶναι δ' ἀδαήμονα τῶν ἱρῶν τῶν ἐν Ἐλευσῖνι γινομένων τὸν Δημάρητον, εἴρεσθαί τε αὐτὸν, ὅ τι τὸ φθεγγόμενον εἴη τοῦτο· αὐτὸς δὲ εἶπαι· Δημάρητε, οὐκ ἔστι ὅκως οὐ μέγα τι σίνος ἔσται τῇ βασιλέος στρατιῇ. τάδε γὰρ ἀρίδηλα ἐρήμου ἐούσης τῆς Ἀττικῆς, ὅτι θεῖον τὸ φθεγγόμενον, ἀπὸ Ἐλευσῖνος ἰὸν ἐς τιμωρίην Ἀθηναίοισί τε καὶ τοῖσι συμμάχοισι. καὶ ἢν μέν γε κατασκήψῃ ἐς τὴν Πελοπόννησον, κίνδυνος αὐτῷ τε βασιλέϊ καὶ τῇ στρατιῇ τῇ ἐν τῇ ἠπείρῳ

65. 3. *Δημαρήτῳ.* Ueber Demarat und seine Schicksale vgl. VI 50. 61—65. 70. Er begleitete den Xerxes auf dem Zuge gegen Griechenland (VII 3. 101—104. 234—239).

4. *Θριασίῳ πεδίῳ.* Die thriasische Ebene (ein Teil des *Ἐλευσίνιον πεδίον*) lag nordwestlich von Athen zwischen Thria und Eleusis; sie war im N. v. Kithaeron und in NO. vom Parnes, im W. von den megarischen Bergen umschlossen; durch dieselbe flieszt der Kephissos. — Am sechsten Tage der groszen Eleusinien (s. u.), deren Feier in den Boëdromion fiel (zweite Hälfte des Septemb. und erste des Octob.), zog man aus dem thriasischen Tore von Athen aus und hielt auf der heiligen Strasze den groszen Iakchosfestzug von Athen nach Eleusis, an welchem sich auszer den Priestern und Behörden die gesammte Bürgerschaft Athens beteiligte. Die Stärke der letzteren wird von Herodot (V 97) und anderen Autoren auf 30,000 angegeben und darauf bezieht sich wol im Folgenden der Zusatz: *ὡς ἀνδρῶν τρισμυρίων.*

5. *μάλιστά κῃ.* S. z. c. 8.

7. *πρόκα* = *εὐθύς*, stets mit *τε* zu *πρόκατε* verbunden. Wie hier c. 135.

8. *μυστικὸν ἴακχον.* *ἴακχος* erklärt Hesychius s. v. mit *ἡ ᾠδὴ, ἣν οἱ μεμυημένοι ᾄδουσι (Ἴακχ', ὦ Ἴακχε).* Der in die Mysterien der Demeter verflochtene eleusinische Dionysos, welcher im Cult als *Κόρος* der *Κόρη* (Persephone) zur Seite trat, führte nämlich den Beinamen *Ἴακχος.*

10. *οὐκ ἔστι ὅκως οὐ.* Wie im Griech. *ἔστι οἵ* = *ἔνιοι*, so vertreten *ἔστι οὗ, ἔστι ᾗ, ἔστι ὅτε, ἔστι ὅκως* die Stelle von Adverbien. Wie nun ferner *οὐκ ἔστι οἵ* = *οὐδένες* (nemo) und demnach *οὐκ ἔστι οκως* so viel wie *οὐδαμῶς* ist, so heiszt *οὐκ ἔστι οἳ οὐ* nemo non (= ein jeder) und *οὐκ ἔστι ὅκως οὐ* non est quomodo non = nullo pacto non (= jedenfalls), da durch die beiden, sich einander aufhebenden Negationen der positive Begriff verstärkt wird. Vgl. II 120 *οὐκ ἔστι ὅτε οὐ δύο ἢ τρεῖς ἀπέθανον.*

14. *κατασκήψῃ.* Als Subject schwebt aus dem Vorhergehenden *τὸ θεῖον* vor; der Sache nach war es, wie das Vorhergehende lehrt, der Staubwirbel (*κονιορτός*), aus dem dumpfe Stimmen herausschallten. Ueber die Bedeutung von *κατασκήπτειν* s. z. c. 39.

ἔσται, ἢν δὲ ἐπὶ τὰς νέας τράπηται τὰς ἐν Σαλαμῖνι, τὸν ναυτικὸν στρατὸν κινδυνεύσει βασιλεὺς ἀποβαλεῖν. τὴν δὲ ὁρτὴν ταύτην ἄγουσι Ἀθηναῖοι ἀνὰ πάντα ἔτεα τῇ Μητρὶ καὶ τῇ Κούρῃ, καὶ αὐτῶν τε ὁ βουλόμενος καὶ τῶν ἄλλων Ἑλλήνων μυεῖται καὶ τὴν φωνήν, τῆς ἀκούεις, ἐν ταύτῃ τῇ ὁρτῇ ἰακχάζουσι. Πρὸς ταῦτα εἰπεῖν Δημάρητον· Σίγα τε καὶ μηδενὶ ἄλλῳ τὸν λόγον τοῦτον εἴπῃς. ἢν γάρ τοι ἐς βασιλέα ἀνενειχθῇ τὰ ἔπεα ταῦτα, ἀποβαλέεις τὴν κεφαλήν, καί σε οὔτε ἐγὼ δυνήσομαι ῥύσασθαι οὔτ' ἄλλος ἀνθρώπων οὐδὲ εἷς. ἀλλ' ἔχ' ἥσυχος, περὶ δὲ στρατιῆς τῆσδε θεοῖσι μελήσει. Τὸν μὲν δὴ ταῦτα παραινέειν, ἐκ δὲ τοῦ κονιορτοῦ καὶ τῆς φωνῆς γενέσθαι νέφος καὶ μεταρσιωθὲν φέρεσθαι ἐπὶ Σαλαμῖνος ἐπὶ τὸ στρατόπεδον τὸ τῶν Ἑλλήνων. οὕτω δὲ αὐτοὺς μαθεῖν, ὅτι τὸ ναυτικὸν τὸ Ξέρξεω ἀπολέεσθαι μέλλοι. Ταῦτα μὲν Δικαῖος ὁ Θεοκύδεος ἔλεγε, Δημαρήτου τε καὶ ἄλλων μαρτύρων καταπτόμενος.

Οἱ δὲ ἐς τὸν Ξέρξεω ναυτικὸν στρατὸν ταχθέντες, ἐπειδὴ 66
ἐκ Τρηχῖνος θηησάμενοι τὸ τρῶμα τὸ Λακωνικὸν διέβησαν ἐς τὴν Ἱστίαιαν, ἐπισχόντες ἡμέρας τρεῖς ἔπλωον δι' Εὐρίπου, καὶ ἐν ἑτέρῃσι τρισὶ ἡμέρῃσι ἐγένοντο ἐν Φαλήρῳ. ὡς μὲν ἐμοὶ δοκέειν, οὐκ ἐλάσσονες ἐόντες ἀριθμὸν ἐσέβαλον ἐς τὰς Ἀθήνας, κατά τε ἤπειρον καὶ τῇσι νηυσὶ ἀπικόμενοι, ἢ ἐπί τε

2. τὴν δὲ ὁρτὴν ταύτην die groszen Eleusinien. S. ob. z. S. 46, 4 (ἐν Θριασίῳ πεδίῳ).

3. ἀνὰ πάντα ἔτεα. Sonst gebraucht Her. in diesem Sinne stets den Singular ἀνὰ πᾶν ἔτος (I 136. III 160. VII 106).

12. μεταρσιωθέν. Das Verbum (auszer bei ganz späten Autoren) nur hier; μετάρσιος (= μετέωρος) auch VII 188. Doch ist darum noch kein Grund mit Cobet μετάρσιον ἀρθέν (vgl. Aristoph. Ritt. 1362) zu ändern.

15. Δημαρήτου — καταπτόμενος Demaratum antestatus. Vgl. VI 68 θεῶν τῶν τε ἄλλων καταπτόμενος καὶ τοῦ ἑρκείου Διός.

Ankunft der Perserflotte in Phaleron. Xerxes' Beratung mit den Flottenführern (Artemisia). c. 66—69.

66. 17. οἱ δὲ ἐς τὸν — στρατὸν ταχθέντες. Die Wendung auch oben c. 1. — Herodot nimmt mit diesem Capitel die c. 25 abgebrochene Erzählung wieder auf.

18. τρῶμα. S. z. c. 27.

20. ἐν Φαλήρῳ. Erst später erhob Themistokles den Peiraeeus zum Haupthafen von Athen.

ὡς μὲν ἐμοὶ δοκέειν. Ueber den Infinitiv s. z. c. 30. μέν wie hier ohne entsprechendes δέ (also mit verschwiegenem Gegensatze) auch VII 9 III.

21. οὐκ ἐλάσσονες ἐόντες ἀριθμόν. Diese Vermutung mag in Bezug auf die Landmacht ihre Richtigkeit haben (vgl. S. 48, 4. 5); in Bezug auf die Flotte und die Zahl ihrer Schiffe trifft sie nicht zu (s. S. 48, 1 zu ἀντιθήσω).

Σηπιάδα ἀπίκοντο καὶ ἐς Θερμοπύλας. ἀντιθήσω γὰρ τοῖσί τε ὑπὸ τοῦ χειμῶνος αὐτῶν ἀπολομένοισι καὶ τοῖσι ἐν Θερμοπύλῃσι καὶ τῇσι ἐπ' Ἀρτεμισίῳ ναυμαχίῃσι τούσδε τοὺς τότε οὔκω ἑπομένους βασιλέϊ, Μηλιέας τε καὶ Δωριέας καὶ Λοκροὺς καὶ Βοιωτοὺς πανστρατιῇ ἑπομένους πλὴν Θεσπιέων τε καὶ Πλαταιέων καὶ μάλα Καρυστίους τε καὶ Ἀνδρίους καὶ Τηνίους τε καὶ τοὺς λοιποὺς νησιώτας πάντας πλὴν τῶν πέντε πολίων, τῶν ἐπεμνήσθην πρότερον τὰ οὐνόματα. ὅσῳ γὰρ δὴ προέβαινε ἐσωτέρω τῆς Ἑλλάδος ὁ Πέρσης, τοσούτῳ πλέω ἔθνεά οἱ εἵπετο.

67 Ἐπεὶ ὦν ἀπίκατο ἐς τὰς Ἀθήνας πάντες οὗτοι πλὴν Παρίων (Πάριοι δὲ ὑπολειφθέντες ἐν Κύθνῳ ἐκαραδόκεον τὸν πόλεμον κῇ ἀποβήσεται), οἱ δὲ λοιποὶ ὡς ἀπίκοντο ἐς τὸ Φάληρον, ἐνθαῦτα κατέβη αὐτὸς Ξέρξης ἐπὶ τὰς νέας, ἐθέλων σφι συμμῖξαί τε καὶ πυθέσθαι τῶν ἐπιπλωόντων τὰς γνώμας. ἐπεὶ δὲ ἀπικόμενος προΐζετο, παρῆσαν μετάπεμπτοι οἱ τῶν ἐθνέων τῶν σφετέρων τύραννοι καὶ ταξίαρχοι ἀπὸ τῶν νεῶν, καὶ ἵζοντο ὥς σφι βασιλεὺς ἑκάστῳ τιμὴν ἐδεδώκεε, πρῶτος μὲν ὁ Σιδώνιος βασιλεύς, μετὰ δὲ ὁ Τύριος, ἐπὶ δὲ ὧλλοι. ὡς δὲ κόσμῳ ἐπε-

1. *Σηπιάδα.* Sepias hiesz die Südostspitze des thessalischen Küstenstrichs Magnesia (VII 176). Jetzt Cap Giorgi.

ἀντιθήσω. Schon Leake hat mit Recht hiegegen bemerkt, dasz die schweren Verluste am Vorgebirge Sepias (wenigstens 400 Trieren s. VII 190) und an der euboischen Küste (200 Trieren s. VIII 7. 11. 13), andere kleinere Einbuszen nicht zu rechnen (VII 194), schwerlich durch die Contingente der unten (6) genannten kleinen Kykladen ausgeglichen wurden.

6. *καὶ μάλα. μάλα* ferner.

Καρυστίους auf Euboia.

7. *πλὴν τῶν πέντε πολίων,* näml. Naxos, Kythnos, Seriphos, Siphnos und Melos (c. 46). Uebrigens gehörte als sechste auch die Kyklade Keos dazu, welche Her. c. 46 ebenfalls mit aufzählt.

8. *ἐπεμνήσθην — τὰ οὐνόματα.* Anders ist das Verbum construiert c. 55 *τούτων ἐπεμνήσθην.* Wie hier VI 136 *οἱ Ἀθηναῖοι τὴν Λήμνου ἅλωσιν ἐπιμεμνημένοι.*

67. 11. *ἐκαραδόκεον. καραδοκέειν* bei Herodot noch VII 163. 168. — Ueber das Verhalten der Parier im ersten Perserkrieg und ihre Bestrafung durch Miltiades vgl. VI 133—135. Auch die Neutralität half ihnen diesmal nichts (c. 112).

12. *οἱ δὲ λοιποί* steht im Gegensatz zu *Πάριοι δέ.* Doch nimmt dieser Satz (*οἱ δὲ λοιποὶ ὡς ἀπίκοντο ἐς τὸ Φάληρον*) zugleich den ersten Vordersatz (*ἐπεὶ ὦν ἀπίκατο ἐς τὰς Ἀθήνας*) in etwas veränderter Fassung wieder auf.

13. *συμμῖξαι.* S. z. c. 58.

14. *τῶν ἐπιπλωόντων* näml. der Führer der einzelnen Flottenabtheilungen.

15. *προΐζεσθαι.* Sonst gebraucht Her. von dem Vorsitzenden einer Versammlung *προκατίζειν* od. *προκατίζεσθαι* (V 12).

17. *ὁ Σιδώνιος.* Der Vorrang des Sidonischen Königs erklärt sich aus VII 96 *τούτων δὲ ἄριστα πλεούσας παρείχοντο νέας Φοίνικες καὶ Φοινίκων Σιδώνιοι.* Vgl. VII 99.

18. *ἐπὶ δέ* adverbial. S. z. c. 29.

ξῆς ἵζοντο, πέμψας Ξέρξης Μαρδόνιον εἰρώτα, ἀποπειρεόμενος
ἑκάστου, εἰ ναυμαχίην ποιέοιτο. Ἐπεὶ δὲ περιὼν εἰρώτα ὁ 68
Μαρδόνιος ἀρξάμενος ἀπὸ τοῦ Σιδωνίου, οἱ μὲν δὴ ἄλλοι κατὰ
τὠυτὸ γνώμην ἐξεφέροντο, κελεύοντες ναυμαχίην ποιέεσθαι,
Ἀρτεμισίη δὲ τάδε ἔφη· Εἶπαί μοι πρὸς βασιλέα, Μαρδόνιε, I
ὡς ἐγὼ τάδε λέγω· οὔτε κακίστην γενομένην ἐν τῇσι ναυ-
μαχίῃσι τῇσι πρὸς Εὐβοίῃ οὔτε ἐλάχιστα ἀποδεξαμένην, δέ-
σποτα, τὴν ἐοῦσαν γνώμην με δίκαιόν ἐστι ἀποδείκνυσθαι, τὰ
τυγχάνω φρονέουσα ἄριστα ἐς πρήγματα τὰ σά. καί τοι τάδε
λέγω, φείδεο τῶν νεῶν μηδὲ ναυμαχίην ποιέεο. οἱ γὰρ ἄνδρες
τῶν σῶν ἀνδρῶν κρέσσονες τοσοῦτό εἰσι κατὰ θάλασσαν, ὅσον
ἄνδρες γυναικῶν. τί δὲ πάντως δεῖ σε ναυμαχίῃσι ἀνακινδυ-
νεύειν; οὐκ ἔχεις μὲν τὰς Ἀθήνας, τῶνπερ εἵνεκεν ὡρμήθης
στρατεύεσθαι, ἔχεις δὲ τὴν ἄλλην Ἑλλάδα; ἐμποδὼν δέ τοι
ἵσταται οὐδείς· οἳ δέ τοι ἀντέστησαν, ἀπήλλαξαν οὕτω, ὡς
ἐκείνους ἔπρεπε. Τῇ δὲ ἐγὼ δοκέω ἀποβήσεσθαι τὰ τῶν ἀντι- II
πολέμων πρήγματα, τοῦτο φράσω· ἢν μὲν μὴ ἐπειχθῇς ναυ-
μαχίην ποιεύμενος, ἀλλὰ τὰς νέας αὐτοῦ ἔχῃς πρὸς γῇ μένων,
ἢ καὶ προβαίνων ἐς τὴν Πελοπόννησον, εὐπετέως τοι, δέσποτα,
χωρήσει τὰ νοέων ἐλήλυθας. οὐ γὰρ οἷοί τε πολλὸν χρόνον
εἰσί τοι ἀντέχειν οἱ Ἕλληνες, ἀλλά σφεας διασκεδᾷς, κατὰ πό-
λις δὲ ἕκαστοι φεύξονται. οὔτε γὰρ σῖτος πάρα σφίσι ἐν τῇ
νήσῳ ταύτῃ, ὡς ἐγὼ πυνθάνομαι, οὔτε αὐτοὺς οἰκὸς, ἢν σὺ
ἐπὶ τὴν Πελοπόννησον ἐλαύνῃς τὸν πεζὸν στρατὸν, ἀτρεμιέειν

68. 4. γνώμην ἐξεφέροντο. γνώμην ἐκφέρεσθαι auch V 36 (wo ebenfalls κατὰ τὠυτό hinzugefügt ist). Häufiger γνώμην ἀποδείκνυσθαι od. ἀποφαίνεσθαι (c. 49. 108).

5. Ἀρτεμισίη. Näheres über sie s. z. VII 99.

εἶπαι. Der absolute Infinitiv hat wie bei Homer so auch bei Herodot oft die Bedeutung eines milden Imperativs. Vgl. III 134 φάναι (= φῆσον).

6. ἐν τῇσι — πρὸς Εὐβοίῃ in den Kämpfen bei Artemision, die zu Anfang des Buchs erzählt sind.

7. ἀποδεξαμένη. S. z. c. 17.

8. ἐοῦσαν veram. Vgl. VI 37 εἶπε τὸ ἐόν. I 116 εἶπε τὸν ἐόντα λόγον. Ebenso IX 11 πᾶν τὸ ἐόν „die volle Wahrheit“.

τά. Ueber τά, welches in Beziehung auf γνώμην gesetzt ist, s. z. c. 59.

12. ἀνακινδυνεύειν (ein verstärktes κινδυνεύειν) auch c. 100. IX 26. 41.

15. ὡς ἐκείνους ἔπρεπε näml. ἀπαλλάξαι.

16. ἀντιπόλεμος ist im Attischen nicht üblich. Wie hier VII 236.

20. χωρήσει. χωρέειν (= προχωρέειν) prospere cedere. Wie hier mit εὐπετέως auch V 49; sonst meist mit εὐτυχέως verbunden III 39. Ohne Zusatz V 89, öft.

21. κατὰ πόλις. S. z. c. 57.

22. πάρα = πάρεστι. Wie hier VII 3. Vgl. ἔνι (VII 112), ἔπι (VI 86), μέτα (V 61).

τοὺς ἐκεῖθεν αὐτῶν ἥκοντας, οὐδέ σφι μελήσει πρὸ τῶν Ἀθη-
III ναίων ναυμαχέειν. Ἢν δὲ αὐτίκα ἐπειχθῇς ναυμαχῆσαι, δειμαίνω, μὴ ὁ ναυτικὸς στρατὸς κακωθεὶς τὸν πεζὸν προσδηλήσηται. πρὸς δὲ, ὦ βασιλεῦ, καὶ τόδε ἐς θυμὸν βάλευ, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι γίνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί. σοὶ δὲ ἐόντι ἀρίστῳ ἀνδρῶν πάντων κακοὶ δοῦλοι εἰσὶ, οἳ ἐν συμμάχων λόγῳ λέγονται εἶναι, ἐόντες Αἰγύπτιοί τε καὶ Κύπριοι καὶ Κίλικες καὶ Πάμφυλοι, τῶν
69 ὄφελός ἐστι οὐδέν. Ταῦτα λεγούσης πρὸς Μαρδόνιον, ὅσοι μὲν ἦσαν εὔνοοι τῇ Ἀρτεμισίῃ, συμφορὴν ἐποιεῦντο τοὺς λόγους ὡς κακόν τι πεισομένης πρὸς βασιλέος, ὅτι οὐκ ἐᾷ ναυμαχίην ποιέεσθαι, οἱ δὲ ἀγεόμενοί τε καὶ φθονέοντες αὐτῇ, ἅτε ἐν πρώτοισι τετιμημένης διὰ πάντων τῶν συμμάχων, ἐτέρποντο τῇ κρίσι ὡς ἀπολεομένης αὐτῆς. ἐπεὶ δὲ ἀνηνείχθησαν αἱ γνῶμαι ἐς Ξέρξην, κάρτα τε ἥσθη τῇ γνώμῃ τῆς Ἀρτεμισίης, καὶ νομίζων ἔτι πρότερον σπουδαίην εἶναι τότε πολλῷ μᾶλλον αἴνεε. ὅμως δὲ τοῖσι πλέοσι πείθεσθαι ἐκέλευε, τάδε καταδόξας, πρὸς μὲν Εὐβοίῃ σφέας ἐθελοκακέειν ὡς οὐ παρεόντος αὐτοῦ, τότε δὲ αὐτὸς παρεσκεύαστο θηήσασθαι ναυμαχέοντας.

1. τοὺς ἐκεῖθεν (= ἐκ τῆς Πελοποννήσου) αὐτῶν ἥκοντας. Wiederaufnahme von αὐτούς (= τοὺς Ἕλληνας) in genauerer Fassung.

4. πρὸς δέ. S. z. c. 29.

ἐς θυμὸν βάλευ. Eine dem homerischen ἐν θυμῷ βάλλεσθαι gleichbedeutende Wendung. Wie hier VII 51.

5. φιλέουσι = ἐθέλουσι. S. z. c. 60. Wie hier c. 128. IX 122.

7. ἐν συμμάχων λόγῳ in sociorum numero. Vgl. VI 19 γυναῖκες δὲ καὶ τέκνα ἐν ἀνδραπόδων λόγῳ ἐγίνοντο, VII 222 ἐν ὁμήρῳ λόγῳ ποιεύμενος αὐτούς.

ἐόντες Αἰγύπτιοι die indes bei Artemision sehr tapfer kämpften (c. 17). — Ueber die Kyprer, Kiliker, Pamphyler vgl. VII 90. 91.

69. 10. συμφορὴν ποιεῖσθαι τὶ. S. z. c. 10.

12. ἀγεόμενοί (v. ἀγάομαι = ἄγαμαι) τε καὶ φθονέοντες „aus Eifersucht und Neid.“ Vgl. VI 61 φθόνῳ καὶ ἄγῃ χρεόμενος.

13. ἅτε quippe, utpote, wird öfter wie das gleichbedeutende οἷα (c. 59) und ὥστε (c. 118) mit Particip verbunden. Alle drei bezeichnen den in der Sache liegenden objectiven Grund, während ὡς c. partic. (c. 28) mehr eine subjective Meinung oder Voraussetzung angibt; daher ist (unt. 14) ἐτέρποντο τῇ κρίσι ὡς ἀπολεομένης αὐτῆς aus der Seele der persischen Fürsten gesagt, während ἅτε ἐν πρώτοισι τετιμημένης als eine objective Tatsache von dem Autor vertreten wird. Vgl. c. 86.

τετιμημένης. Wir erwarteten den Dativ; doch vgl. c. 90 οἱ Φοίνικες διέβαλλον τοὺς Ἴωνας, ὡς δι' ἐκείνους ἀπολοίατο αἱ νέες ὡς προδόντων. Aehnl. IX 58.

διὰ πάντων. Ueber διά s. z. c. 37.

14. κρίσις judicium, sententia.

16. ἔτι πρότερον. S. z. c. 6.

17. καταδόξας. Ueber die Bedeutung von καταδοκέειν s. z. c. 4.

Ἐπειδὴ δὲ παρήγγελλον ἀναπλώειν, ἀνῆγον τὰς νέας ἐπὶ 70
τὴν Σαλαμῖνα, καὶ παρεκρίθησαν διαταχθέντες κατ' ἡσυχίην.
τότε μέν νυν οὐκ ἐξέχρησέ σφι ἡ ἡμέρη ναυμαχίην ποιήσασθαι,
νὺξ γὰρ ἐπεγένετο, οἱ δὲ παρεσκευάζοντο ἐς τὴν ὑστεραίην.
τοὺς δὲ Ἕλληνας εἶχε δέος τε καὶ ἀρρωδίη, οὐκ ἥκιστα δὲ τοὺς
ἀπὸ Πελοποννήσου. ἀρρώδεον δέ, ὅτι αὐτοὶ μὲν ἐν Σαλαμῖνι
κατήμενοι ὑπὲρ γῆς τῆς Ἀθηναίων ναυμαχέειν μέλλοιεν, νικη-
θέντες τε ἐν νήσῳ ἀπολαμφθέντες πολιορκήσονται, ἀπέντες
τὴν ἑωυτῶν ἀφύλακτον. Τῶν δὲ βαρβάρων ὁ πεζὸς ὑπὸ τὴν 71
παρεοῦσαν νύκτα ἐπορεύετο ἐπὶ τὴν Πελοπόννησον· καίτοι τὰ
δυνατὰ πάντα ἐμεμηχάνητο, ὅκως κατ' ἤπειρον μὴ ἐσβάλοιεν
οἱ βάρβαροι. ὡς γὰρ ἐπύθοντο τάχιστα Πελοποννήσιοι τοὺς
ἀμφὶ Λεωνίδην ἐν Θερμοπύλῃσι τετελευτηκέναι, συνδραμόντες
ἐκ τῶν πολίων ἐς τὸν Ἰσθμὸν ἵζοντο, καί σφι ἐπῆν στρατηγὸς
Κλεόμβροτος ὁ Ἀναξανδρίδεω, Λεωνίδεω δὲ ἀδελφεός. ἱζό-
μενοι δὲ ἐν τῷ Ἰσθμῷ καὶ συγχώσαντες τὴν Σκιρωνίδα ὁδόν,

Die Peloponnesier verschanzen den Isthmus. Uebersicht der am Isthmus versammelten Bundesgenossen. Die Athener widerstreben den Peloponnesiern, die mit der Flotte nach dem Isthmus fahren wollen. List des Themistokles (Sikinnos). Sprüche des Bakis. Aristeides Unterredung mit Themistokles (c. 70—82).

70. 2. *παρεκρίθησαν.* *παρακριθῆναι* vom Entfalten der Flotte auch IX 98.

3. *ἐξέχρησε.* *ἐκχρᾶν* hier in der (seltenen) Bedeutung von *ἐξαρκέειν.* In anderer Bedeutung ist das Verbum III 137 gebraucht.

7. *νικηθέντες τε.* *τε* einem vorhergehenden *μέν* correspondierend auch c. 10.

8. *ἀπολαμφθέντες*, *ἀποληφθέντες.* S. z. c. 11.

πολιορκήσονται Fut. med. in passiver Bedeutung. S. z. c. 49. — Der Wechsel des Modus (Indicativ nach Optativ) auch III 140. VI 3.

71. 9. *ὑπό* in gleicher Bedeutung wie in *ὑπὸ νύκτα* (sub noctem) V 101. VI 2. IX 58.

12. *τάχιστα* mit *ὡς* zu verbinden (= cum primum).

14. *ἐς τὸν Ἰσθμὸν ἵζοντο.* Anders unten (*ἱζόμενοι δὲ ἐν τῷ Ἰσθμῷ*). *ἐς* ist hier wie c. 50 brachylogisch zu fassen. Vgl. IV 146 *ἐκφυγόντες δὲ τρόπῳ τοιούτῳ ἵζοντο αὖτις ἐς τὸ Τηΰγετον.*

καί σφι ἐπῆν. Vgl. VII 96 *τοῖσι ἐς τὸν πεζὸν τεταγμένοισι αὐτῶν ἐπῆσαν ἑκάστοισι ἐπιχώριοι ἡγεμόνες.* — Ueber Kleombrotos vgl. IX 10.

16. *συγχώσαντες τὴν Σκιρωνίδα ὁδόν.* *συγχοῦν* verschütten auch VII 115. — Die skironische Strasze zieht sich von Megara aufwärts an den skironischen Felsen vorbei (*Σκιρωνίδες* od. *Σκιράδες πέτραι*) zur Kammhöhe der Geraneia herauf; von dort ab läuft sie, zur Rechten von Bergabhängen eingeengt, hart am Rande schroff zur Küste abfallender Felsen her, steil abwärts zum Isthmus herab. Nach der Sage war der Fuszweg von dem Räuber Skiron angelegt, der von dem nach ihm benannten Felsen herab die Wanderer ins Meer stürzte, bis er durch Theseus auf dieselbe Weise getödtet wurde; noch heute ist dieser Bergpfad in Gebrauch, von den Eingeborenen wegen seiner Beschwerlichkeit *κακὴ*

μετὰ τοῦτο ὥς σφι ἔδοξε βουλευομένοισι, οἰκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος. ἅτε δὴ ἐουσέων μυριάδων πολλέων καὶ παντὸς ἀνδρὸς ἐργαζομένου ἤνετο τὸ ἔργον· καὶ γὰρ λίθοι καὶ πλίνθοι καὶ ξύλα καὶ φορμοὶ ψάμμου πλήρεες ἐσεφορέοντο, καὶ ἐλίνυον οὐδένα χρόνον οἱ βωθήσαντες ἐργαζόμενοι, οὔτε νυκτὸς οὔτε ἡμέρης.

72 Οἱ δὲ βωθήσαντες ἐς τὸν Ἰσθμὸν πανδημεὶ οἵδε ἦσαν Ἑλλήνων, Λακεδαιμόνιοί τε καὶ Ἀρκάδες πάντες καὶ Ἠλεῖοι καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Ἐπιδαύριοι καὶ Φλιάσιοι καὶ Τροιζήνιοι καὶ Ἑρμιονέες. οὗτοι μὲν ἦσαν οἱ βωθήσαντες καὶ ὑπεραρρωδέοντες τῇ Ἑλλάδι κινδυνευούσῃ, τοῖσι δὲ ἄλλοισι Πελοποννησίοισι ἔμελε οὐδέν. Ὀλύμπια δὲ καὶ Κάρνεια παροιχώκεε ἤδη.

73 Οἰκέει δὲ τὴν Πελοπόννησον ἔθνεα ἑπτά. τούτων δὲ τὰ μὲν δύο αὐτόχθονα ἐόντα κατὰ χώρην ἵδρυται νῦν τῇ καὶ τὸ πάλαι οἴκεον, Ἀρκάδες τε καὶ Κυνούριοι. ἓν δὲ ἔθνος τὸ Ἀχαϊκὸν ἐκ μὲν Πελοποννήσου οὐκ ἐξεχώρησε, ἐκ μέντοι τῆς

σκάλα genannt, eine Bezeichnung, welche an die Via Mala des Graubündner Landes erinnert.

1. οἰκοδόμεον — τεῖχος. Diese Mauer lief von der Bucht von Schoinos quer über den Isthmus (südlich vom Diolkos, s. zu VII 24) nach dem am korinthischen Busen gelegenen Hafenplatz Lechaion; dies ist die schmalste Stelle des Isthmus, dessen Breite hier 18,200′ ausmacht. In späterer Zeit ist diese Befestigungsmauer gegen Einfälle der Gallier, Slaven und Türken mehrfach erneuert, so z. B. von Justinian und Manuel (1415 n. Chr.), welcher letztere auf derselben 153 Türme errichten liesz. Die neuesten Befestigungswerke rühren von den Venetianern her (1463 u. 1696). Noch heute sind bedeutende Reste der sich ununterbrochen quer über den Isthmos hinziehenden Mauer vorhanden. — Zur Sache vgl. Diodor XI 16 οἱ δὲ σύνεδροι τῶν Ἑλλήνων ὁρῶντες τὴν τῶν ὄχλων ταραχὴν καὶ τὴν ὅλην ἔκπληξιν ἐψηφίσαντο διατειχίζειν τὸν Ἰσθμόν· καὶ τάχυ τῶν ἔργων συντελεσθέντων διὰ τὴν προθυμίαν καὶ τὸ πλῆθος τῶν ἐργαζομένων οἱ μὲν Πελοποννήσιοι ὠχύρουν τὸ τεῖχος διατεῖνον ἐπὶ σταδίους τεσσεράκοντα ἀπὸ Λεχαίου μέχρι Κεγχρέων.

3. ἤνετο τὸ ἔργον. Zur Sache vgl. IX 8.

5. ἐλίνυον. ἐλινύειν ist ein poetisches Wort; attisch παύεσθαι. Wie hier auch VII 56.

72. 10. ὑπεραρρωδέειν mit Dativ; wir erwarteten einen anderen Casus. In ähnlicher Weise verbindet Herodot einige mit κατά zusammengesetzte Verba, z. B. καταγελᾶν, mit Dativ (III 38. 155. VII 9).

11. Ὀλύμπια — παροιχώκεε ἤδη. Da die Feier der Olympien und Karneen (über beide s. z. VII 206 und ob. c. 26) vorbei war, so hinderte die Peloponnesier jetzt nichts mehr ins Feld zu rücken, wie dies früher der Fall gewesen war (VII 206).

73. 14. κατὰ χώρην „am (unveränderten) Platze.“ Wie hier c. 78. 108. IX 55.

15. Ἀρκάδες. Herodot bezeichnet sie I 146 u. II 171 als Pelasger. Ueber die Kynurier s. u.

τὸ Ἀχαϊκὸν — οὐκ ἐξεχώ-

ἑωυτῶν, οἰκέει δὲ τὴν ἀλλοτρίην. τὰ δὲ λοιπὰ ἔθνεα τῶν ἑπτὰ τέσσερα ἐπήλυδά ἐστι, Δωριέες τε καὶ Αἰτωλοὶ καὶ Δρύοπες καὶ Λήμνιοι. Δωριέων μὲν πολλαί τε καὶ δόκιμοι πόλιες, Αἰτωλῶν δὲ Ἦλις μούνη, Δρυόπων δὲ Ἑρμιόνη τε καὶ Ἀσίνη ἡ πρὸς Καρδαμύλῃ τῇ Λακωνικῇ, Λημνίων δὲ Παρωρεῆται πάντες. οἱ δὲ Κυνούριοι αὐτόχθονες ἐόντες δοκέουσι μοῦνοι εἶναι Ἴωνες, ἐκδεδωρίευνται δὲ ὑπό τε Ἀργείων ἀρχόμενοι καὶ

ρησε. Vgl. Pausan. V 1, 1 (*οἱ Ἀχαιοὶ*) *οὐ μέντοι Πελοποννήσου γε ἐξεχώρησαν, ἀλλὰ ἐκβαλόντες Ἴωνας νέμονται τὸν Αἰγιαλὸν τὸ ἀρχαῖον, νῦν δὲ ἀπὸ τῶν Ἀχαιῶν τούτων καλούμενον* (d. i. Achaia). Der von den eingewanderten Doriern aus den östlichen und südlichen Teilen der Peloponnes vertriebene Achaierstamm besetzte die Nordküste (Aigialeia) und verdrängte von dort die Ioner, die sich nach Attika zurückzogen. Vgl. VII 94. I 145.

2. *τέσσερα* näml. *ἐόντα.* Vgl. II 68 *ὁ κροκόδειλος τοὺς χειμεριωτάτους μῆνας τέσσερας ἐσθίει οὐδέν.* Ebenso VII 179.

ἐπήλυδα oppos. *αὐτόχθονα.*

Δωριέες. Ueber Dorer und Dryoper s. z. c. 43. — Ueber die Aitoler vgl. Strabo VIII p. 354 *Αἰτωλοὶ γὰρ συγκατελθόντες τοῖς Ἡρακλείδαις μετ' Ὀξύλου καὶ συνοικήσαντες Ἐπείοις ηὔξησαν τὴν κοίλην Ἦλιν.*

4. *Ἑρμιόνη.* Hermione (heute Castri) lag am argolischen Meerbusen; nordwestlich von ihr lag die alte Dryoperstadt Asine, deren Einwohner, von den Argeiern bedrängt, zu Schiff zu den ihnen verbündeten Lakoniern flohen. Diesen halfen sie im ersten messenischen Krieg, wofür sie nach Beendigung desselben ein Gebiet am messenischen Meerbusen angewiesen erhielten. Hier gründeten sie ein neues Asine (Strabo p. 373) gegenüber dem an der lakonischen Küste gelegenen Kardamyle (j. Skardamula), welche hier als die bekannteste der dortigen Küstenstädte zur genaueren Bestimmung der Lage von Asine gewählt ist.

5. *πρὸς Κ.* nahe bei Kard., denn zur See ist die Entfernung zwischen beiden Küstenstädten nur eine geringe.

Παρωρεῆται hieszen die Einwohner Triphyliens im südlichen Elis, weil sie die *παρώρεια* Arkadiens bewohnten, wovon Triphylien gleichsam ein Vorland bildet. Diese Paroreaten werden von Her. IV 148 als aus Lakonika vertriebene Minyer bezeichnet, die von Lemnos aus nach Lakonika gekommen sein sollten; daraus erklärt sich, dass Herodot sie hier kurz *Λήμνιοι* nennt.

6. *Κυνούριοι.* Die Landschaft Kynuria, ein Gegenstand fortwährenden Streites zwischen Argos und Sparta, lag an der Ostküste der Peloponnes, von Argos, Arkadien und Sparta umschlossen (vgl. I 82). Die autochthonen Einwohner, welche hier *Ἴωνες* genannt sind, gehörten ohne Zweifel wie die benachbarten Arkader (s. ob.) und die Anwohner des nördlichen Aigialos zum pelasgischen Stamm. Wie nun nach Herodots ausdrücklicher Angabe (VII 94) die pelasgischen Aigialeer an der Nordküste später *Ἴωνες* genannt wurden, so scheint auch das pelasgische Küstenvolk der Kynurier am östlichen Aigialos in späterer Zeit als *Ἴωνες* von den stammverwandten Binnenpelasgern Arkadiens unterschieden zu sein. Herodot durfte sie zu seiner Zeit als die einzigen Ioner (*μοῦνοι Ἴωνες*) der Peloponnes bezeichnen, da ja ihre Namensgenossen am nördlichen Aigialos längst von den Achaiern verdrängt und nach Attika gezogen waren (s. ob. zu *τὸ Ἀχαϊκόν*).

7. *ἐκδεδωρίευνται* von dem nur hier vorkommenden *ἐκδωριεύω*

τοῦ χρόνου, ἐόντες Ὀρνεῆται καὶ περίοικοι. τούτων ὦν τῶν ἑπτὰ ἐθνέων αἱ λοιπαὶ πόλιες, πάρεξ τῶν κατέλεξα, ἐκ τοῦ μέσου κατέατο· εἰ δὲ ἐλευθέρως ἔξεστι εἰπεῖν, ἐκ τοῦ μέσου κατήμενοι ἐμήδιζον.

74 Οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ τοιούτῳ πόνῳ συνέστασαν, ἅτε περὶ τοῦ παντὸς ἤδη δρόμον θέοντες καὶ τῇσι νηυσὶ οὐκ ἐλπίζοντες ἐλλάμψεσθαι· οἱ δὲ ἐν Σαλαμῖνι ὅμως ταῦτα πυνθανόμενοι ἀρρώδεον, οὐκ οὕτω περὶ σφίσι αὐτοῖσι δειμαίνοντες, ὡς περὶ τῇ Πελοποννήσῳ. τέως μὲν δὴ αὐτῶν ἀνὴρ ἀνδρὶ παραστὰς σιγῇ λόγον ἐποιέετο, θῶμα ποιεύμενοι τὴν Εὐρυβιά-

(von *Δωριεύς* gebildet wie z. B. *βασιλεύω* von *βασιλεύς*).

1. *τοῦ χρόνου* auch hierzu gehört *ὑπό* (nicht aber *ἀρχόμενοι*).

Ὀρνεῆται καὶ περίοικοι. Die von den siegreichen dorischen Einwanderern unterworfenen Landeseingeborenen traten in dasselbe Verhältnis zu Argos wie die lakedaemonischen Perioiken zu Sparta d. h. sie behielten zwar ihre persönliche Freiheit, verloren aber als Landgemeinden ihre politische Selbständigkeit und waren zu Abgaben und sonstigen Leistungen (z. B. Heeresfolge) an Argos verpflichtet. Die argeiischen Perioiken hieszen mit einem gemeinsamen Namen *Ὀρνεῆται* nach der Stadt Orneae, die wahrscheinlich zuerst in dieses Abhängigkeitsverhältnis zu Argos getreten war. Wie die argeiischen Orneaten den lakedaemonischen Perioiken entsprechen, so lassen sich die argeiischen Gymnesier mit den lakedaemonischen Heloten vergleichen. Beide waren leibeigene Staatsbauern. Vgl. z. VI 58.

2. *ἐκ τοῦ μέσου κατέατο.* S. z. c. 22.

74. 5. *οἱ μὲν — συνέστασαν* schlieszt an c. 72 an (*οὗτοι μὲν ἦσαν οἱ βωθήσαντες καὶ ὑπεραρρωδήσαντες τῇ Ἑλλάδι κινδυνευούσῃ*).

συνέστασαν. συνιστάναι eig. vom feindlichen Gegenüberstehen in der Schlacht (VI 29. 108); ähnlich unt. c. 79. Hier im bildlichen Sinne wie IX 89 *λιμῷ συστάντες καὶ καμάτῳ.*

6. *περὶ τοῦ παντὸς ἤδη θέοντες* de summa rerum iam periclitantes. Vgl. c. 102 *πολλοὺς ἀγῶνας δραμέονται περὶ σφέων αὐτῶν οἱ Ἕλληνες* und c. 140. Vgl. IX 33 *ἔδραμε νικᾶν ὀλυμπιάδα.* Auch IX 37 (*τρέχων περὶ τῆς ψυχῆς*). Das Bild ist vom Wettlauf hergenommen und die Wendung dem homerischen *ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο* (Il. XXII 161) nachgebildet.

7. *ἐλλάμψεσθαι.* Vgl. I 180 *τῷ δὴ ἱππικῷ ἤλπιζε ἐλλάμψεσθαι ὁ Λυδός* (*Κροῖσος*).

ὅμως läszt keine genügende Erklärung zu; vermutlich ist *ὁμοίως* zu lesen.

ταῦτα. Gemeint ist die Bedrängnis und Furcht der auf dem Isthmos versammelten Peloponnesier (*οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ τοιούτῳ πόνῳ συνέστασαν*).

9. *τέως μὲν — τέλος δὲ* (S. 55, 1) wie I 82. II 169. Häufig auch *τέως μὲν — μετὰ δέ* (I 11).

ἀνὴρ = *τὶς.* Vgl. IV 26.

10. *λόγον ποιέεσθαι* steht hier in erster Bedeutung (= *διαλέγεσθαι*). *ποιέεσθαι* dient hier zur Umschreibung wie gleich im Folg. in *θῶμα ποιεύμενοι* (= *θωμάζοντες*). Vgl. c. 79 *λήθην ποιεύμενος.* — *λόγον ποιέεσθαι* (*τινός*) hat sonst bei Her. eine andere Bedeutung (IX 7).

θῶμα ποιεύμενοι der Plural, weil *ἀνὴρ ἀνδρί* den Begriff der Vielheit enthält.

τὴν Εὐρ. ἀβουλίην hängt von *θῶμα ποιεύμενοι* ab, das als ein Begriff zu fassen (s. ob.). Vgl. I 68

δεω ἀβουλίην, τέλος δὲ ἐξεῤῥάγη ἐς τὸ μέσον. σύλλογός τε
δὴ ἐγίνετο, καὶ πολλὰ ἐλέγετο περὶ τῶν αὐτῶν, οἱ μὲν, ὡς ἐς
τὴν Πελοπόννησον χρεὼν εἴη ἀποπλώειν καὶ περὶ ἐκείνης
κινδυνεύειν, μηδὲ πρὸ χώρης δοριαλώτου μένοντας μάχεσθαι,
Ἀθηναῖοι δὲ καὶ Αἰγινῆται καὶ Μεγαρέες αὐτοῦ μένοντας ἀμύ-
νασθαι. Ἐνθαῦτα Θεμιστοκλέης ὡς ἑσσοῦτο τῇ γνώμῃ ὑπὸ 75
τῶν Πελοποννησίων, λαθὼν ἐξέρχεται ἐκ τοῦ συνεδρίου, ἐξελ-
θὼν δὲ πέμπει ἐς τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα πλοίῳ,
ἐντειλάμενος τὰ λέγειν χρεὼν, τῷ οὔνομα μὲν ἦν Σίκιννος,
οἰκέτης δὲ καὶ παιδαγωγὸς ἦν τῶν Θεμιστοκλέος παίδων, τὸν
δὴ ὕστερον τούτων τῶν πρηγμάτων Θεμιστοκλέης Θεσπιέα τε
ἐποίησε, ὡς ἐπεδέκοντο οἱ Θεσπιέες πολιήτας, καὶ χρήμασι ὄλ-
βιον. ὃς τότε πλοίῳ ἀπικόμενος ἔλεγε πρὸς τοὺς στρατηγοὺς
τῶν βαρβάρων τάδε· Ἔπεμψέ με στρατηγὸς ὁ Ἀθηναίων λάθρῃ
τῶν ἄλλων Ἑλλήνων (τυγχάνει γὰρ φρονέων τὰ βασιλέος καὶ
βουλόμενος μᾶλλον τὰ ὑμέτερα κατύπερθε γίνεσθαι ἢ τὰ τῶν
Ἑλλήνων πρήγματα) φράσοντα, ὅτι οἱ Ἕλληνες δρησμὸν βου-
λεύονται καταῤῥωδηκότες, καὶ νῦν παρέχει κάλλιστον ὑμέας
ἔργον ἁπάντων ἐξεργάσασθαι, ἢν μὴ περιίδητε διαδράντας
αὐτούς. οὔτε γὰρ ἀλλήλοισι ὁμοφρονέουσι οὔτ' ἔτι ἀντιστή-
σονται ὑμῖν, πρὸς ἑωυτούς τε σφέας ὄψεσθε [ναυμαχέοντας
τοὺς τὰ ὑμέτερα φρονέοντας καὶ τοὺς μή. Ὁ μὲν ταῦτά σφι 76

θῶμα ποιεύμενος τὴν ἐργασίην τοῦ σιδήρου.

1. ἐξεῤῥάγη. ἐκραγῆναι vom Ausbrechen eines lang verhaltenen Unwillens auch VI 129, wo sich indes dieses Verbum persönlich construiert findet (οὐ βουλόμενος ἐκραγῆναι ἐς αὐτόν), während es hier unpersönlich gebraucht ist.

2. περὶ τῶν αὐτῶν „um den nämlichen Gegenstand“ d. h. ob man gehen oder bleiben solle.

οἱ μέν ist gesetzt als ob πολλὰ ἔλεγον vorangegangen wäre; ebenso musz im Folgenden (5) ἔλεγον zu Ἀθηναῖοι κτλ. gedacht werden.

75. 6. ἑσσοῦσθαι (att. ἡττᾶσθαι) τῇ γνώμῃ oppos. νικᾶν γνώμην (I 61) od. νικᾶν γνώμῃσι (III 82).

9. Σίκιννος. In der Wendung οὔνομά τινί ἐστι steht der Name in gleichem Casus mit οὔνομα.

11. ὕστερον τούτων πρηγμάτων näml. nach Beendigung der Perserkriege.

Θεσπιέα. Die Zahl der Bürger Thespiae's war durch die bedeutenden Verluste bei Thermopylae (VII 222) und Plataeae (IX 30) so zusammengeschmolzen, dasz man auf Zuwachs von auszen Bedacht genommen hatte (ἐπεδέκοντο οἱ Θεσπιέες πολιήτας). So erhielt auch der durch Themistokles warm empfohlene Sikinnos in Thespiae Wohnsitz und Bürgerrecht.

15. φρονέων τὰ βασιλέος. S. z. c. 34 (φρονέοντες τὰ Μήδων).

16. κατύπερθε γίνεσθαι. S. z. c. 19.

18. παρέχει. Ueber παρέχει (μοί) s. z. c. 8.

19. περιίδητε διαδράντας. Ueber die Bedeutung von περιορᾶν mit Participium s. zu IX 6.

22. τὰ ὑμέτερα φρονέοντες. S. ob. (15) zu φρονέων τὰ βασιλέος.

σημήνας ἐκποδὼν ἀπαλλάσσετο, τοῖσι δὲ ὡς πιστὰ ἐγίνετο τὰ ἀγγελθέντα, τοῦτο μὲν ἐς τὴν νησῖδα τὴν Ψυττάλειαν, μεταξὺ Σαλαμῖνός τε κειμένην καὶ τῆς ἠπείρου, πολλοὺς τῶν Περσέων ἀπεβίβασαν, τοῦτο δὲ, ἐπειδὴ ἐγίνοντο μέσαι νύκτες, ἀνῆγον μὲν τὸ ἀπ' ἑσπέρης κέρας κυκλούμενοι πρὸς τὴν Σαλαμῖνα, ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν Κέον τε καὶ τὴν Κυνόσουραν τεταγμένοι, κατεῖχόν τε μέχρι Μουνυχίης πάντα τὸν πορθμὸν τῇσι νηυσί. τῶνδε δὲ εἵνεκεν ἀνῆγον τὰς νέας, ἵνα δὴ τοῖσι Ἕλλησι μηδὲ φυγεῖν ἐξῇ, ἀλλ' ἀπολαμφθέντες ἐν τῇ Σαλαμῖνι δοῖεν τίσιν τῶν ἐπ' Ἀρτεμισίῳ ἀγωνισμάτων. ἐς δὲ τὴν νησῖδα τὴν

76. 2. τοῦτο μὲν — τοῦτο δέ. S. z. c. 88.

Ψυττάλειαν. Das Eiland liegt nahe der Ostspitze (Κυνόσουρα) von Salamis, dem Peiraieus gerade gegenüber.

4. μέσαι νύκτες Mitternacht; so regelmässig ohne Artikel. Der Singular c. 9.

ἀνῆγον τὸ ἀπ' ἑσπέρης κέρας. Das Gros der persischen Flotte lag in Phaleron (c. 67); den westlichen Flügel derselben, welcher am attischen Strande entlang vermutlich bis zur eleusinischen Bucht vorgeschoben war, zogen jetzt die Perser an Salamis heran (ἀνῆγον), um die griechische Flotte, die sich in dem Hafen der Stadt Salamis befand (dem Berg Aigialos in Attika gegenüber), zu umzingeln (κυκλούμενοι) und derselben die Einfahrt in die Bucht von Eleusis und somit die nordwestliche Ausfahrt um die Nordspitze von Salamis herum zu versperren. Ebenso waren die Griechen von der (südlichen) Einfahrt in den saronischen Meerbusen (und das aegaeische Meer) durch den östlichen Flügel (der als der Hauptteil der persischen Flotte anzusehen ist) abgeschnitten. Derselbe war aus Phaleron, dem Hauptstationsort der persischen Flotte, ausgelaufen und hatte sich bis in die Nähe der Insel Psyttaleia und der langgestreckten Ostspitze von Salamis, der Landzunge Κέος od. Κυνόσουρα, ausgebreitet, um den Griechen die Ausfahrt in das aegaeische Meer zu versperren.

5. τὸ ἀπ' ἑσπέρης κέρας. Wenn ἀπό (auch ἐκ) wie hier zur Umschreibung dient, so wird es meist mit einem Verbum der Bewegung (hier ἀνάγειν) verbunden. Vgl. VI 22 οἱ ἀπὸ Σικελίης — ἔπεμψαν.

6. ἀνῆγον. ἀνάγειν (s. z. c. 10) hier absolut gebraucht, dagegen ist gleich im Folgenden (8) τὰς νέας hinzugefügt.

τὴν Κέον. An die Kyklade Keos ist natürlich hier nicht zu denken; die enge Verbindung, in welche der Ausdruck mit τὴν Κυνόσουραν (durch τε καί) gesetzt ist, lehrt, dass Κέος Name eines Landstrichs am Ostende von Salamis gewesen sein muss, nicht weit von der schmalen Landzunge, die hier wahrscheinlich mit dem Namen Κυνόσουρα (eig. Hundsschwanz) bezeichnet ist, auf welcher Themistokles später zu Ehren seines groszen Sieges über die persische Flotte ein Tropaion errichten liesz. Hier war die schmalste Stelle der Meerenge zwischen Attika und Salamis, auf welcher man nach beiden Küsten überzusetzen pflegte (daher ὁ πορθμός im Folg. genannt).

7. μέχρι Μουνυχίης. Μουνυχία hiesz die der Kynosura und Insel Psyttaleia gegenüberliegende Halbinsel Attika's; sie erhielt diesen Namen von der an dieser Küste als Mondgöttin verehrten Ἄρτεμις Μουνυχία (= μονονυχία); daher ἱερὸς ἀκτή unt. c. 77.

9. ἐξῇ — δοῖεν. Der Wechsel des Modus wie c. 100. 111.

ἀπολαμφθέντες wie c. 70.

Ψυττάλειαν καλεομένην ἀπεβίβαζον τῶν Περσέων τῶνδε εἵνεκεν, ὡς ἐπεὰν γένηται ναυμαχίη, ἐνθαῦτα μάλιστα ἐξοισομένων τῶν τε ἀνδρῶν καὶ τῶν ναυμαχίων (ἐν γὰρ δὴ πόρῳ τῆς ναυμαχίης τῆς μελλούσης ἔσεσθαι ἐκέετο ἡ νῆσος), ἵνα τοὺς μὲν περιποιέωσι, τοὺς δὲ διαφθείρωσι. ἐποίευν δὲ σιγῇ ταῦτα, ὡς μὴ πυνθανοίατο οἱ ἐναντίοι. Οἱ μὲν δὴ ταῦτα τῆς νυκτὸς οὐδὲν ἀποκοιμηθέντες παραρτέοντο.

Χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν ὡς οὐκ εἰσὶ ἀληθέες, 77
οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσβλέψας.

> Ἀλλ' ὅταν Ἀρτέμιδος χρυσαόρου ἱερὸν ἀκτὴν
> νηυσὶ γεφυρώσωσι καὶ εἰναλίην Κυνόσουραν,
> ἐλπίδι μαινομένῃ λιπαρὰς πέρσαντες Ἀθήνας,

2. *ἐξοισομένων.* Fut. med. in passiver Bedeutung. S. z. c. 49.

3. *ἐν — πόρῳ.* Vgl. Plut. Arist. c. 9 *τὴν Ψυττάλειαν, ἣ πρὸ τῆς Σαλαμῖνος ἐν τῷ πόρῳ κεῖται.* Dieser *πόρος* war zugleich der Kampfplatz der Seeschlacht (= *ὁ πόρος τῆς ναυμαχίης*).

5. *περιποιέωσι. περιποιέειν* erretten eig. machen, dasz einer übrig d. h. am Leben bleibt. Wie hier im Gegensatz zu *διαφθείρειν* auch VII 52.

7. *παραρτέοντο* = *παρεσκευάζοντο.* Vgl. c. 108. IX 42.

77. 8. *χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν.* In diesen und den folgenden Worten liegt eine ziemlich deutliche Polemik Herodots (vgl. unt. c. 96) gegen diejenigen, welche die Glaubwürdigkeit der *χρησμοί* eines Melampus, Musaios, Bakis (s. z. c. 20) anfochten, wie dies schon zu Anfang des peloponnesischen Krieges der Fall war. Herodot dagegen, welcher in Uebereinstimmung mit dem gemeinsamen Glauben seines Volks an eine Offenbarung des Willens der Götter durch Träume und Vorzeichen, durch Orakel und Weissagesprüche (*χρησμοί*) gottbegeisterter Seher glaubte, schenkt mit frommem und gläubigem Sinn derartigen alten Weissagungen, die sich ihm durch Tatsachen bewährt haben (s. u. *ἐς τοιάδε πρήγματα ἐσβλέψας*), ein festes Vertrauen. — Freilich ist es wahr genug, dasz die Demagogen der späteren Zeit (z. B. im peloponnesischen Kriege) derartige angeblich alte Weissagesprüche in tendenziöser Weise fälschten, um das auf diese Art irre geleitete Volk für ihre Parteizwecke zu gewinnen. Doch erkannten gar manche das trügerische Treiben dieser Leute und machten es zur Zielscheibe eines vernichtenden Hohns; so vor allen Aristophanes. Vgl. Aves 963. Equit. 995. Oefter.

9. *καταβάλλειν* deicere. Auch wir gebrauchen mit demselben Bilde unser: umstoszen.

11. *ἀλλ'*. Sehr häufig finden sich, nicht allein bei Herodot, Orakelsprüche mit Beziehung auf die Anfrage mit *ἀλλά* (III 57. VI 77) oder mit *δέ* (I 47. 174) eingeleitet.

χρυσαόρου. ἄορ heiszt überhaupt Gerät, Rüstung; es bezieht sich daher bei Artemis sowol wie bei Apollon, der vorzugsweise *χρυσάορος* heiszt (Hom. Il. V 509), auf Bogen und Pfeile.

ἱερὸν ἀκτήν. Bekannt aus Hesiod ist die *Δημήτερος ἱερὸς ἀκτή* (Opera 466. 597. Oeft.). Ueber die *ἱερὸς ἀκτή* der Artemis s. z. c. 76 (*μέχρι Μουνυχίης*).

12. *Κυνόσουρα.* S. z. c. 76.

δῖα Δίκη σβέσσει κρατερὸν Κόρον, Ὕβριος υἱὸν,
δεινὸν μαιμώοντα, δοκεῦντ' ἀνὰ πάντα πιθέσθαι.
Χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' Ἄρης
πόντον φοινίξει. τότ' ἐλεύθερον Ἑλλάδος ἦμαρ
εὐρύοπα Κρονίδης ἐπάγει καὶ πότνια Νίκη.

ἐς τοιαῦτα μὲν καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι ἀντιλογίης χρησμῶν πέρι οὔτε αὐτὸς λέγειν τολμέω οὔτε παρ' ἄλλων ἐνδέκομαι.

78 Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν ἐγίνετο ὠθισμὸς λόγων
πολλός. ᾔδεσαν δὲ οὔκω, ὅτι σφέας περιεκυκλέοντο τῇσι νηυσὶ
οἱ βάρβαροι, ἀλλ' ὥσπερ τῆς ἡμέρης ὥρεον αὐτοὺς τεταγμέ-
79 νους, ἐδόκεον κατὰ χώρην εἶναι. Συνεστηκότων δὲ τῶν στρα-
τηγῶν ἐξ Αἰγίνης διέβη Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ Ἀθη-
ναῖος μὲν, ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου, τὸν ἐγὼ νενό-

1. σβέσσει. Vgl. die Orakelverse V 77

παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου
δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβησαν ὕβριν.

Κόρον, Ὕβριος υἱόν. Vgl. Pind. Olymp. XIII 10 ὕβριν κόρου ματέρα θρασύμυθον. Anders Theognis fr. 153 τίκτει τοι κόρος ὕβριν.

2. πιθέσθαι ist verdorben; eine Handschrift hat τίθεσθαι, aber ἀνατίθεσθαι ist in der hier geforderten Bedeutung umstürzen nicht nachweisbar. Dem Sinne entspräche etwa τραπέσθαι (ἀνατρέπεσθαι = evertere). — Ueber die Tmesis (ἀνά) s. z. c. 33.

6. ἐς τοιαῦτα μέν. Da diese Worte offenbar die letzten, den Versen des Orakels nächst vorhergehenden Worte ἐς τοιάδε πρήγματα ἐσβλέψας wieder aufnehmen, so scheint nach ἐς τοιαῦτα μέν das Participium ἐσβλέψας ausgefallen zu sein (Stein), welches mit λέγοντι durch καί verbunden ist (über die Verbindung von Participien, die im Casus verschieden sind, s. z. VII 9). Dagegen ist es vollständig unnötig, nach dem ersten οὔτε ein τι einzuschieben (wovon dann ἀντιλογίης abhängen soll), denn die Construction der Worte ist einfach folgende: ἀντιλογίης hängt von περί, und χρησμῶν von ἀντιλογίης ab. Nach ἐνδέκομαι ist aus dem Vorhergehenden zu ergänzen τοῦτο i. e. λέγειν περὶ χρησμῶν ἀντιλογίης. Zur Bedeutung von ἐνδέκομαι vgl. IV 25 τοῦτο δὲ οὐκ ἐνδέκομαι ἀρχήν und V 106. VI 121. Danach ist der Sinn des ganzen Satzes: Wenn ich nun auf solche Tatsachen (wie sie in den nächst vorhergehenden Capiteln erzählt sind) hinblicke, so mag ich von Widersprüchen in den Weissagungen des Bakis, der jene Tatsachen so deutlich vorherverkündigt hat, weder selbst zu reden wagen, noch nehme ich es von anderen an (d. h. noch gestatte ich es anderen).

78. 9. ὠθισμὸς λόγων, ebenso IX 26. Aehnlich c. 81 λόγων ἀμφισβασίη. Vgl. c. 64 ἔπεσι ἀκροβολισάμενοι und III 76 ὠθιζομένων δὲ αὐτῶν ἐφάνη ἰρήκων ἑπτὰ ζεύγεα.

12. κατὰ χώρην. S. z. c. 73.

79. συνεστηκότων. συνιστάναι wird eig. vom feindlichen Gegenüberstehen in der Schlacht gebraucht. S. z. c. 74.

14. ἐξωστρακισμένος. Wiewol das Volk dem Aristides den Beinamen des Gerechten gegeben, so war es doch dem Themistokles, der seinen Einfluss durch den Ari-

μικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν Ἀθήνῃσι καὶ δικαιότατον. οὗτος ὡνὴρ στὰς ἐπὶ τὸ συνέδριον ἐξεκαλέετο Θεμιστοκλέα, ἐόντα μὲν ἑωυτῷ οὐ φίλον, ἐχθρὸν δὲ τὰ μάλιστα· ὑπὸ δὲ μεγάθεος τῶν παρεόντων κακῶν λήθην ἐκείνων ποιεύμενος ἐξεκαλέετο, ἐθέλων αὐτῷ συμμῖξαι. προακηκόεε δὲ, ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμόν. ὡς δὲ ἐξῆλθέ οἱ Θεμιστοκλέης, ἔλεγε Ἀριστείδης τάδε· Ἡμέας στασιάζειν χρεών ἐστι ἔν τε τῷ ἄλλῳ καιρῷ καὶ δὴ καὶ ἐν τῷδε περὶ τοῦ ὁκότερος ἡμέων πλέω ἀγαθὰ τὴν πατρίδα ἐργάσεται. λέγω δέ τοι, ὅτι ἴσον ἐστὶ πολλά τε καὶ ὀλίγα λέγειν περὶ ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. ἐγὼ γὰρ αὐτόπτης τοι λέγω γενόμενος, ὅτι νῦν οὐδ' ἢν ἐθέλωσι Κορίνθιοί τε καὶ αὐτὸς Εὐρυβιάδης οἷοί τε ἔσονται ἐκπλῶσαι· περιεχόμεθα γὰρ ὑπὸ τῶν πολεμίων κύκλῳ. ἀλλ' ἐσελθών σφι ταῦτα σήμηνον. Ὁ δ' ἀμείβετο τοισίδε· Κάρτα 80
τε χρηστὰ διακελεύεαι καὶ εὖ ἤγγειλας. τὰ γὰρ ἐγὼ ἐδεόμην γενέσθαι, αὐτὸς αὐτόπτης γενόμενος ἥκεις. ἴσθι γὰρ ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων. ἔδεε γὰρ, ὅτε οὐκ ἑκόντες ἤθελον

stides gefährdet sah, im Jahre 482 v. Chr. durch mancherlei Vorspiegelungen gelungen, dessen Verbannung durch den Ostrakismos beim Volke durchzusetzen. Doch ward derselbe schon 2 Jahre später kurz vor der Schlacht bei Salamis auf des Themistokles eigenes Betreiben ins Vaterland zurückgerufen (Plut. Them. c. 11. Arist. c. 8).

1. *νενόμικα* bei Herod. öfter mit Praesensbedeutung (VII 153). Vgl. *ἥγημαι, κέκλημαι, δέδοκται, μέμνημαι, νενόμισται* u. a.

ἄριστον — καὶ δικαιότατον. Als bei der Aufführung der Perser des Aeschylos der auf Amphiaraos bezügliche Vers *οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ' εἶναι θέλει* recitiert wurde, blickten alle Zuschauer auf den anwesenden Aristides hin (Plut. Arist. c. 3 *πάντες ἀνέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης*).

2. *στὰς ἐπί. στῆναι* od. *καταστῆναι ἐπί* wird öfter vom Auftreten vor einer Versammlung gebraucht. Vgl. III 146 *καταστὰς ἐπὶ τὰ κοινά.* Ebenso ist unt. c. 141 und IX 9 *κατάστασις* zu verstehen. Ebenso ist *ἐπί* zu fassen in IX 5 *ὁ δὲ ἀπικόμενος ἐπὶ τὴν βουλήν.*

3. *ἐχθρὸν τὰ μάλιστα.* Vgl. II 141 *εἶναί τε φίλους τὰ μάλιστα* und V 63 *ξεῖνοί σφι ἐόντες τὰ μάλιστα.* Sonst auch mit *ἐς* wie VI 89 *φίλοι ἐς τὰ μάλιστα.*

4. *ὑπό.* Ueber die Bedeutung s. z. c. 1.

λήθην — ποιεύμενος. Ueber die Umschreibung s. z. c. 74.

5. *ἐκείνων* ihres früheren feindlichen Verhältnisses.

συμμῖξαι. Vgl. c. 67 *ἐθέλων σφι συμμῖξαι καὶ πυθέσθαι τὰς γνώμας.* S. z. c. 58.

9. *καὶ δὴ καί* nach *ἄλλος.* S. z. c. 52.

80. 17. *αὐτόπτης γενόμενος.* Bei *αὐτόπτης* ist *τούτων* zu ergänzen.

ἐξ ἐμέο auf mein Betreiben. Dazu ist aus dem Folgenden *τὰ ποιεύμενα ὑπὸ Μήδων* zu denken: *ποιεύμενα.* Also vollständig: *ἴσθι γὰρ ἐξ ἐμέο ποιεύμενα τὰ ποιεύμενα ὑπὸ Μήδων.*

ἐς μάχην κατίστασθαι οἱ Ἕλληνες, ἀέκοντας παραστήσασθαι.
σὺ δὲ ἐπείπερ ἥκεις χρηστὰ ἀπαγγέλλων, αὐτός σφι ἄγγειλον.
ἢν γὰρ ἐγὼ αὐτὰ λέγω, δόξω πλάσας λέγειν καὶ οὐ πείσω ὡς
οὐ ποιεύντων τῶν βαρβάρων ταῦτα. ἀλλά σφι σήμηνον αὐτὸς
παρελθών, ὡς ἔχει. ἐπεὰν δὲ σημήνῃς, ἢν μὲν πείθωνται,
ταῦτα δὴ τὰ κάλλιστα, ἢν δὲ αὐτοῖσι μὴ πιστὰ γένηται, ὅμοιον
ἡμῖν ἔσται. οὐ γὰρ ἔτι διαδρήσονται, εἴπερ περιεχόμεθα παν-
81 ταχόθεν, ὡς σὺ λέγεις. Ταῦτα ἔλεγε παρελθὼν ὁ Ἀριστείδης,
φάμενος ἐξ Αἰγίνης τε ἥκειν καὶ μόγις ἐκπλῶσαι λαθὼν τοὺς
ἐπορμέοντας· περιέχεσθαι γὰρ πᾶν τὸ στρατόπεδον τὸ Ἑλλη-
νικὸν ὑπὸ τῶν νεῶν τῶν Ξέρξεω· παραρτέεσθαί τε συνεβού-
λευε ὡς ἀλεξησομένους. Καὶ ὁ μὲν ταῦτα εἴπας μετεστήκεε,
τῶν δὲ αὖτις ἐγίνετο λόγων ἀμφισβασίη· οἱ γὰρ πλεῦνες τῶν
82 στρατηγῶν οὐκ ἐπείθοντο τὰ ἐξαγγελθέντα. Ἀπιστεόντων δὲ
τούτων ἧκε τριήρης ἀνδρῶν Τηνίων αὐτομολέουσα, τῆς ἦρχε
ἀνὴρ Παναίτιος ὁ Σωσιμένεος, ἥπερ δὴ ἔφερε τὴν ἀλήθειαν
πᾶσαν. διὰ δὲ τοῦτο τὸ ἔργον ἐνεγράφησαν Τήνιοι ἐν Δελ-
φοῖσι ἐς τὸν τρίποδα ἐν τοῖσι τὸν βάρβαρον κατελοῦσι. σὺν
δὲ ὦν ταύτῃ τῇ νηῒ τῇ αὐτομολησάσῃ ἐς Σαλαμῖνα καὶ τῇ
πρότερον ἐπ' Ἀρτεμίσιον τῇ Λημνίῃ ἐξεπληροῦτο τὸ ναυτικὸν
τοῖσι Ἕλλησι ἐς τὰς ὀγδώκοντα καὶ τριηκοσίας νέας· δύο γὰρ
δὴ νεῶν τότε κατέδεε ἐς τὸν ἀριθμόν.

1. παραστήσασθαι. παρίσταμαι (häufig παρεστησάμην) hat transitive Bedeutung und heiszt eigentlich: ich zwinge jemanden zur Unterwerfung, ich unterwerfe mir jem. (vgl. III 45. IV 136); hier in übertragener Bedeutung: ich bringe jemanden mit Gewalt auf meine Seite d. h. ich zwinge ihn meiner Meinung beizutreten.

3. ὡς οὐ ποιεύντων — ταῦτα „da nach ihrer (der übrigen Feldherren) Meinung" (= ὡς) u. s. w. Der Redner will also sagen: οὐ πείσω αὐτοὺς οὐ δοκέοντας, τοὺς βαρβάρους ποιήσειν ταῦτα.

5. παρελθών. παρελθεῖν vom Auftreten des Redners vor einer Versammlung ist stehender Ausdruck. Vgl. Thuk. VI 8. 15. 19. — Vom Abtreten des Redners wird μεταστῆναι od. μετεστηκέναι (c. 81) gebraucht. Vgl. c. 101 μεταστήσασθαι abtreten lassen.

81. 12. μετεστήκεε. S. z. c. 80 (Ende).

13. λόγων ἀμφισβασίη. Aehnlich IV 14. Vgl. ob. c. 78 λόγων ὠθισμός.

82. 15. Τηνίων. Τῆνος eine der Kykladen zwischen Andros und Delos.

18. τρίποδα. Vgl. IX 81 und Demosth. in Neaer. § 97 ὁ τρίπους ὁ ἐν Δελφοῖς, ὃν οἱ Ἕλληνες οἱ συμμαχησάμενοι τὴν Πλαταιᾶσι μάχην καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ναυμαχήσαντες κοινῇ ποιησάμενοι ἀνέθηκαν ἀριστεῖον τῷ Ἀπόλλωνι ἀπὸ τῶν βαρβάρων. Vgl. auch Thuk. I 132. Corn. Nep. Pausan. c. 1.

20. τῇ Λημνίῃ. S. c. 11.

21. ἐς τάς. Der Artikel mit Be-

83 *Τοῖσι δὲ Ἕλλησι ὡς πιστὰ δὴ τὰ λεγόμενα ἦν τῶν Τηνίων ῥήματα, παρεσκευάζοντο ὡς ναυμαχήσοντες. ἠώς τε δὴ διέφαινε, καὶ οἳ σύλλογον τῶν ἐπιβατέων ποιησάμενοι, προηγόρευε εὖ ἔχοντα μὲν ἐκ πάντων Θεμιστοκλέης, τὰ δὲ ἔπεα ἦν πάντα κρέσσω τοῖσι ἔσσοσι ἀντιτιθέμενα. ὅσα δὲ ἐν ἀνθρώπου φύσι καὶ καταστάσι ἐγγίνεται, παραινέσας δὴ τούτων τὰ κρέσσω αἱρέεσθαι, καὶ καταπλέξας τὴν ῥῆσιν, ἐσβαίνειν ἐκέλευε ἐς τὰς νέας. Καὶ οὗτοι μὲν δὴ ἐσέβαινον, καὶ ἧκε ἡ ἀπ' Αἰγίνης τριήρης, ἣ κατὰ τοὺς Αἰακίδας ἀπεδήμησε. ἐνθαῦτα ἀνῆγον τὰς νέας ἁπάσας οἱ Ἕλληνες.*

84 *Ἀναγομένοισι δέ σφι αὐτίκα ἐπεκέατο οἱ βάρβαροι. οἱ μὲν δὴ ἄλλοι Ἕλληνες [ἐπὶ] πρύμνην*

zug auf die c. 48 erwähnte Gesammtsumme von 378 Schiffen, die jetzt auf die Zahl 380 gekommen war. Vgl. IX 30.

Schlacht bei Salamis am 20. September 480 v. Chr. (c. 83—96).

83. 1. *τῶν Τηνίων* ohne *ὑπό*. Vgl. I 109 *ἔφραζε τῇ γυναικὶ τὸν πάντα Ἀστυάγεος ῥηθέντα λόγον* und IV 32 *ἀλλ' Ἡσιόδου μὲν ἔστι περὶ Ὑπερβορέων εἰρημένα.*

2. *ἠώς τε διέφαινε — καί* Parataxis. Vgl. c. 56. S. auch zu c. 5.

3. *οἳ — ποιησάμενοι προηγόρευε Θεμιστοκλέης.* Man erwartete *τῶν* (*Ἑλλήνων*) *σύλλογον τ. ἐ. ποιησαμένων προηγόρευε Θεμιστοκλέης.* Statt dessen ist *οἳ — ποιησάμενοι* als Gesamtsubject, das eigentlich eine Mehrzahl von Rednern erwarten liesz (*καὶ οἳ σύλλογον τῶν ἐπιβατέων ποιησάμενοι προηγόρευον, ἄλλοι τε πολλοὶ καὶ δὴ καὶ Θεμιστοκλέης* sc. *προηγόρευε*), appositiv an das in ihm enthaltene specielle Subject (*Θεμιστοκλέης*) angeschlossen; Herodot nennt nur Themistokles allein als Redner, weil, wie er selbst mit den Worten *εὖ ἔχοντα ἐκ πάντων* andeutet, die Reden der Uebrigen mit der des Them. einen Vergleich nicht aushalten konnten. Zum vorausgeschickten Nominativ vgl. c. 44.

4. *ἐκ πάντων* praeter ceteros. Vgl. I 134 *τιμέουσι ἐκ πάντων τοὺς ἄγχιστα οἰκέοντας.*

5. *κρέσσω τοῖσι ἔσσοσι ἀντιτιθέμενα.* Er stellte in seinem Vortrage das Edlere und seine Folgen in Gegensatz zu dem Schlechteren, indem er die Tapferkeit der Feigheit, die Freiheit der Knechtschaft, den Ruhm der Schande entgegensetzte.

6. *ἐγγίνεται* „vorkommt“.

8. *καὶ ἧκε.* Parataxis. S. z. c. 56.

9. *κατὰ τοὺς Αἰακίδας. κατὰ* causal wie c. 84. *ἐπὶ τοὺς Αἰακίδας* würde auch gesagt sein können. S. z. c. 64.

84. 11. *πρύμνην ἀνακρούεσθαι* (eig. „das Schiffshinterteil zurückstoszen“) heiszt rückwärts rudern und zwar so, dasz das Schiff ohne sich zu wenden mit dem Schnabel dem Feinde zugekehrt bleibt. Demgemäsz ist bei dieser (sehr oft vorkommenden) Verbindung nicht so sehr an eine Flucht der Schiffe zu denken, als vielmehr an ein allmähliches Zurückgehen derselben, das in bester Ordnung stattfand. Vgl. Schol. Thuk. I 50 *πρύμναν ἀνακρούεσθαί ἐστι τὸ κατ' ὀλίγον ἀναχωρεῖν μὴ στρέψαντα τὸ πλοῖον. ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κοπηλατεῖ· τοῦτο δὲ ποιοῦσι ἵνα μὴ δόξωσι φανερῶς φεύγειν.*

ἀνεκρούοντο καὶ ὤκελλον τὰς νέας, Ἀμεινίης δὲ Παλληνεὺς ἀνὴρ Ἀθηναῖος ἐξαναχθεὶς νηῒ ἐμβάλλει. συμπλακείσης δὲ τῆς νεὸς καὶ οὐ δυναμένων ἀπαλλαγῆναι, οὕτω δὴ οἱ ἄλλοι Ἀμεινίῃ βωθέοντες συνέμισγον. Ἀθηναῖοι μὲν οὕτω λέγουσι τῆς ναυμαχίης γενέσθαι τὴν ἀρχήν, Αἰγινῆται δὲ τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴγιναν, ταύτην εἶναι τὴν ἄρξασαν. λέγεται δὲ καὶ τάδε, ὡς φάσμα σφι γυναικὸς ἐφάνη, φανεῖσαν δὲ διακελεύσασθαι ὥστε καὶ ἅπαν ἀκοῦσαι τὸ τῶν Ἑλλήνων στρατόπεδον ὀνειδίσασαν πρότερον τάδε· Ὦ δαιμό-
85 νιοι, μέχρι κόσου ἔτι πρύμνην ἀνακρούσεσθε; Κατὰ μὲν δὴ Ἀθηναίους ἐτετάχατο Φοίνικες (οὗτοι γὰρ εἶχον τὸ πρὸς Ἐλευσῖνός τε καὶ ἑσπέρης κέρας) κατὰ δὲ Λακεδαιμονίους Ἴωνες· οὗτοι δ' εἶχον τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. ἤθελο-

1. *ὤκελλον τὰς νέας.* Man beachte die Bedeutung des Imperfects „sie giengen schon damit um die Schiffe auf den Strand treiben zu lassen". Vgl. ἐποκέλλειν VI 16 und ἐξοκέλλειν VII 182.

Ἀμεινίης war aus dem Demos Pallene, der zwischen dem Pentelikon und dem nördlichen Abhange des Hymettus in der Nähe von Acharnae lag. Dasz der hier erwähnte Ameinias der Bruder des Aeschylos gewesen (der allerdings auch Ameinias hiesz), wie Diodor XI 27 u. a. angeben, ist unwahrscheinlich, da Plutarch vit. Themist. 14 den Bruder des Aeschylos Ἀμεινίας ὁ *Δεκελεύς* nennt. Aeschylus, der ebenfalls den Hergang erzählt (Pers. 403. s. d. flgde Anmerkung), nennt überhaupt keinen Namen.

2. *ἐξαναχθείς.* Beachte ἐκ (= vor den übrigen). Zur Sache vgl. Aesch. Pers. 408

εὐθὺς δὲ ναῦς ἐν νηὶ χαλκήρη στόλον
ἔπαισεν· ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ
ναῦς κἀποθραύει πάντα Φοινίσσης νεὼς
κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ.

Ueberhaupt vergl. man mit Herodots Beschreibung der Schlacht bei Salamis die Schilderung derselben Schlacht bei Aeschyl. in den Persern v. 354—471.

συμπλακείσης τῆς νεός (ἀλλήλῃσι νηυσί). Vgl. III 79 συμπλακέντος δὲ Γωβρύεω τῷ μάγῳ.

3. *οὕτω δή.* S. z. c. 23.

5. *κατά.* S. z. c. 83.

8. *φανεῖσαν δὲ διακελεύσασθαι.* Wechsel der Construction. Von λέγεται hängt zuerst ein Satz mit ὡς ab; ihm folgt ein zweiter durch δέ eingeleiteter im Acc. c. inf., der ebenfalls von λέγεται abhängig ist. Vgl. IV 137 Ἱστιαῖος ἔλεγε ὡς νῦν μὲν διὰ Δαρεῖον ἕκαστος αὐτῶν τυραννεύει πόλιος, τῆς δὲ Δαρείου δυνάμιος καταιρεθείσης οὔτε αὐτὸς Μιλησίων οἷός τε ἔσεσθαι ἄρχειν οὔτε ἄλλον οὐδένα οὐδαμῶν. Derselbe Wechsel der Construction c. 111 (2 mal) und c. 118.

10. *μέχρι κόσου.* S. z. c. 3.

85. *κατά.* Zur Bedeutung vgl. IX 31 κατὰ μὲν Λακεδαιμονίους ἔστησε (Μαρδόνιος) Πέρσας. Ebenso IX 27. 41. 76.

11. *πρὸς Ἐλευσῖνος.* πρός wird in dieser Bedeutung häufiger mit Accusativ verbunden; vgl. im Folg. τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. Vgl. c. 120. 132. Der rechte Flügel der pers. Flotte lehnte sich an den Piräeus, der linke an Salamis; Eleusis hatte sie daher im Angesicht.

κάκεον μέντοι αὐτῶν κατὰ τὰς Θεμιστοκλέος ἐντολὰς ὀλίγοι, οἱ δὲ πλεῦνες οὔ. ἔχω μέν νυν συχνῶν οὐνόματα τριηράρχων καταλέξαι τῶν νέας Ἑλληνίδας ἑλόντων, χρήσομαι δὲ αὐτοῖσι οὐδὲν πλὴν Θεομήστορός τε τοῦ Ἀνδροδάμαντος καὶ Φυλάκου τοῦ Ἱστιαίου, Σαμίων ἀμφοτέρων. τοῦδε δὲ εἵνεκεν μέμνημαι τούτων μούνων, ὅτι Θεομήστωρ μὲν διὰ τοῦτο τὸ ἔργον Σάμου ἐτυράννευσε καταστησάντων τῶν Περσέων, Φύλακος δὲ εὐεργέτης βασιλέος ἀνεγράφη καὶ χώρη οἱ ἐδωρήθη πολλή. οἱ δ' εὐεργέται βασιλέος ὀροσάγγαι καλέονται Περσιστί. Περὶ μέν 86
νυν τούτους οὕτω εἶχε, τὸ δὲ πλῆθος τῶν νεῶν ἐν τῇ Σαλαμῖνι ἐκεραΐζετο, αἱ μὲν ὑπ' Ἀθηναίων διαφθειρόμεναι, αἱ δὲ ὑπὸ Αἰγινητέων. ἅτε γὰρ τῶν μὲν Ἑλλήνων σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὔτε τεταγμένων ἔτι οὔτε σὺν νόῳ ποιεόντων οὐδὲν, ἔμελλε τοιοῦτό σφι συνοίσεσθαι, οἷόν περ ἀπέβη. καίτοι ἦσάν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωυτῶν ἢ πρὸς Εὐβοίῃ,

1. *κατὰ τὰς Θ. ἐντολάς*. Vgl. c. 22.

7. *ἐτυράννευσε*. Zur Bedeutung des Aorists vgl. I 13 *ἐβασίλευσε* wurde König, *ἐπλούτησα* wurde reich. Wie hier I 14.

9. *εὐεργέται*. Nach persischer Sitte wurden die Namen derjenigen, die sich in irgend einer Weise um den König verdient gemacht hatten, in Listen eingetragen, in denen sie als Woltäter des Königs bezeichnet wurden, die auf dessen Dank begründeten Anspruch erheben konnten. Vgl. III 140 *Δαρεῖος ἀναβὰς ἐς τὰ Σοῦσα ἵζετο ἐς τὰ πρόθυρα τῶν βασιλέος οἰκίων καὶ ἔφη Δαρείου εὐεργέτης εἶναι.*— Auch hellenische Staaten gaben wol Bürgern fremder Staaten diesen Titel als Auszeichnung (c. 136).

ὀροσάγγαι wahrscheinlich pers. Ewrengsib = Zierden des Thrones.

86. 11. *ἐκεραΐζετο* steht in gleicher Bedeutung c. 91.

αἱ μὲν — αἱ δέ stehen als Teile in demselben Casus wie das Ganze (*τὸ πλῆθος τῶν νεῶν* = *αἱ πολλαὶ νέες*).

12. *ἅτε* mit Particip. S. z. c. 69.

σὺν κόσμῳ Gegensatz *οὐδενὶ κόσμῳ* (c. 67).

13. *ἔτι* ist mit *οὐ* (*οὐκέτι*) zu verbinden = nicht länger.

14. *σὺν νόῳ* wie c. 138.

ἔμελλε. Ueber *μέλλειν* mit Infin. s. z. c. 8.

συνοίσεσθαι. Zur Bedeutung des impersonellen *συμφέρεταί μοι* vgl. IV 157 *οὐδὲν γάρ σφι χρηστὸν συνεφέρετο* und IV 15 *πειθομένοισι ὑμῖν ἄμεινον συνοίσεται.* Ebenso unt. c. 88 *τοῦτο μὲν τοιοῦτο αὐτῇ συνήνεικε γενέσθαι.*

15. *ἐγένοντο* se praestiterunt.

16. *ἀμείνονες αὐτοὶ ἑωυτῶν ἤ*. „Oratione more suo turbata duo dixit: primum istoc die *ἀμείνονας* fuisse *ἢ πρὸς Εὐβοίῃ:* sed non tantum istoc die rem multo melius gessisse quam ad Artemisium, verum praeterea *ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωυτῶν*, id est, interprete Nostro, *ἀμείνονες τῆς φύσιος* (V 118) semet ipsis multo praestantiores, suam velut naturam superantes". Man vergleiche mit unserer Stelle II 25 *ὁ δὲ Νεῖλος μοῦνος ποταμῶν τοῦ χειμῶνος αὐτὸς ἑωυτοῦ ῥέει πολλῷ ὑποδεέστερος ἢ τοῦ θέρεος.* — Der Genetiv des Reflexivs steht beim Comparativ (und Superlativ I 193) um zu bezeichnen, dasz an

πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξην, ἐδόκεέ τε ἕκαστος
87 ἑωυτὸν θήσεσθαι βασιλέα. Κατὰ μὲν δὴ τοὺς ἄλλους οὐκ ἔχω μετεξετέρους εἰπεῖν ἀτρεκέως ὡς ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο, κατὰ δὲ Ἀρτεμισίην τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι παρὰ βασιλέϊ· ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλέος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ Ἀρτεμισίης ἐδιώκετο ὑπὸ νεὸς Ἀττικῆς· καὶ ἣ οὐκ ἔχουσα διαφυγεῖν, ἔμπροσθε γὰρ αὐτῆς ἦσαν ἄλλαι νέες φίλιαι, ἡ δὲ αὐτῆς πρὸς τῶν πολεμίων μάλιστα ἐτύγχανε ἐοῦσα, ἔδοξέ οἱ τόδε ποιῆσαι, τὸ καὶ συνήνεικε ποιησάσῃ· διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς φέρουσα ἐνέβαλε νηῒ φιλίῃ ἀνδρῶν τε Καλυνδέων καὶ αὐτοῦ ἐπιπλώοντος τοῦ Καλυνδέων βασιλέος

dem Substantiv, mit sich selbst d. h. seinem gewöhnlichen oder normalen Verhältnis (= *ἑωυτοῦ*) verglichen, die ausgesagte Eigenschaft in höherem Grade als gewöhnlich hervortrete. Vgl. c. 137 (*διπλήσιος ἑωυτοῦ*).

1. *πᾶς τις προθυμεόμενος*. Das Participium konnte dem Hauptverbum mit eignem Subject angefügt werden, weil dieses ganz mit dem Hauptsubject zusammenfällt. Vgl. c. 138 *ἐν κήποισι Μίδεω φύεται αὐτόματα ῥόδα, ἓν ἕκαστον ἔχον ἑξήκοντα φύλλα*. Aehnlich I 7. 52. IV 71. — In Verbindungen wie *πᾶς τις*, *πολλοί τινες*, *ὀλίγοι τινές* (c. 89) u. ähnl. hat *τις* (wie im Lat. quidam) als Ausdruck der Unbestimmtheit oder Ungewisheit mildernde od. beschränkende Kraft. Ueber die zweite Bedeutung von *τὶς* s. z. c. 15.

ἐδόκεέ τε. Uebergang vom Participium (*προθυμεόμενος καὶ δειμαίνων*) zum Verb. fin. Das letztere ist gewählt um eine Häufung von Participien zu vermeiden. Genau wie hier ist c. 132 *ἐδόκεε* durch *τὲ* mit einem vorhergehenden Participium verbunden.

87. 3. *μετεξέτεροι* bei Her. = *ἔνιοι, τινές*. — *μετεξέτεροι* heiszt eigentlich: einzelne aus der Mitte heraus (*μετεξ*).

5. *ἐπειδὴ γάρ*. Der vorausgeschickte Satz *ἐπειδὴ — ἀπίκετο* dient zur Vorbereitung des Folgenden, in welchem die Begründung des *εὐδοκιμέειν* gegeben werden soll. Vgl. unt. *διωκομένη γὰρ ὑπὸ νεὸς Ἀττικῆς φέρουσα ἐνέβαλε νηῒ φιλίῃ ἀνδρῶν Καλυνδέων* (*καὶ κατέδυσε*). In ähnlicher Weise wie hier ist *γάρ* VII 148 gebraucht.

9. *πρὸς τῶν πολεμίων μάλιστα* „den Feinden zunächst". *πρός* c. genet. hier in localer Bedeutung (= prope ab). Vgl. c. 120 *τὰ δὲ Ἄβδηρα ἵδρυται πρὸς τοῦ Ἑλλησπόντου μᾶλλον ἢ τοῦ Στρύμονος*.

10. *ἔδοξέ οἱ*. *οἱ* nach *ἥ*. Bei *ἥ* schwebte ein anderes Verb. ähnlicher Bedeutung vor (etwa *ἐβουλεύσατο*). Aehnlich VII 177 *ἅπαντα γὰρ προσκεψάμενοι καὶ ἐπιλογισθέντες, ὅτι οὔτε πλήθεϊ ἕξουσι χρᾶσθαι οἱ βάρβαροι οὔτε ἵππῳ, ταύτῃ σφι ἔδοξε δέκεσθαι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα*.

συνήνεικε (= *συνέβη* s. z. c. 86). c. 88 ist *ἐς εὐτυχίην γενόμενα* hinzugefügt. Vgl. VII 8, 1 *ἡμῖν πολλὰ συμφέρεται ἐς τὸ ἄμεινον*. Wie an unserer Stelle auch IX 37.

διωκομένη γάρ. Ueber *γάρ* im vorausgeschickten Satze s. ob. zu *ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλέος πρήγματα*.

11. *φέρουσα* cum impetu. c. 91 und IX 102 steht in gleichem Sinne das Medium.

12. *Καλυνδέων*. Die Stadt Kalydna lag im östlichen Karien.

καὶ αὐτοῦ ἐπιπλώοντος τοῦ Καλυνδέων βασιλέος. Zur Ver-

Δαμασιθύμου. εἰ μὲν καί τι νεῖκος πρὸς αὐτὸν ἐγεγόνεε ἔτι περὶ Ἑλλήσποντον ἐόντων, οὐ μέντοι ἔγωγε ἔχω εἰπεῖν, οὔτε εἰ ἐκ προνοίης αὐτὰ ἐποίησε, οὔτε εἰ συνεκύρησε ἡ τῶν Καλυνδέων κατὰ τύχην παραπεσοῦσα νηῦς. ὡς δὲ ἐνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίῃ χρησαμένη διπλόα ἑωυτὴν ἀγαθὰ ἐργάσατο· ὅ τε γὰρ τῆς Ἀττικῆς νεὸς τριήραρχος ὡς εἶδέ μιν ἐμβάλλουσαν νηῒ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νέα τὴν Ἀρτεμισίης ἢ Ἑλληνίδα εἶναι ἢ αὐτομολέειν ἐκ τῶν βαρβάρων καὶ αὐτοῖσι ἀμύνειν, ἀποστρέψας πρὸς ἄλλας ἐτράπετο. Τοῦτο μὲν τοιοῦτο 88
αὐτῇ συνήνεικε γενέσθαι διαφυγεῖν τε καὶ μὴ ἀπολέσθαι. τοῦτο δὲ συνέβη ὥστε κακὸν ἐργασαμένην ἀπὸ τούτων αὐτὴν μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. λέγεται γὰρ βασιλέα θηεύμενον μαθεῖν τὴν νέα ἐμβαλοῦσαν καὶ δή τινα εἶπαι τῶν παρεόντων· Δέσποτα, ὁρᾷς Ἀρτεμισίην, ὡς εὖ ἀγωνίζεται καὶ νέα τῶν πολεμίων κατέδυσε; Καὶ τὸν ἐπείρεσθαι, εἰ ἀληθέως ἐστὶ Ἀρτεμισίης τὸ ἔργον, καὶ τοὺς φάναι, σαφέως τὸ ἐπίσημον

bindung des Genet. absol. mit dem regierten (*ἀνδρῶν Καλυνδέων*) vgl. II 124 (*πυραμίς*) *λίθου τε ξεστοῦ καὶ ζῴων ἐγγεγλυμμένων.*

1. *εἰ μὲν καί. εἰ καί* etsi. Sinn: Obschon beide als sie noch am Hellespont waren Streit gehabt haben, so kann ich doch nicht sagen ob sie es absichtlich getan hat, oder ob der Zusammenstosz zufällig gekommen ist.

3. *ἐκ προνοίης* consulto. Wie hier VI 66. III 121 (wo dem *ἐκ προνοίης* gegenübersteht *συντυχίης τινὸς ἐπιγενομένης*).

6. *ὅ τε.* Es folgt kein entsprechendes *καί*; vielmehr wird dieses erste Satzglied in anderer Form Anf. c. 88 mit *τοῦτο μέν* wieder aufgenommen, dem darauf ein *τοῦτο δέ* folgt.

τριήραρχος. Es war der Pallenier Ameinias (c. 93).

8. *Ἑλληνίς.* Als Femininum zu *Ἑλληνικός* ist *Ἑλληνίς* (auch VII 179) od. *Ἑλλάς* (VII 109. 115. VIII 16. 135) in Gebrauch.

αὐτομολέειν ἐκ. Vgl. III 160 *Ζώπυρος ἐς Ἀθήνας αὐτομόλησε ἐκ Περσέων.*

αὐτοῖσι, τοῖς Ἕλλησι. ἑαυτοῖσι (was einige Herausgeber gefordert haben) würde wegen des näheren *τὴν νέα* auf die Perser bezogen werden müssen; diese Beziehung ist indes sinnwidrig.

88. 9. *τοῦτο μὲν — τοῦτο δέ* adverbartig = *τὸ μὲν — τὸ δέ* einerseits — andrerseits. Vgl. c. 76. 134.

10. *συνήνεικε.* S. z. c. 86.

11. *τούτων*, Plural in Beziehung auf einen Singular (*κακόν*). S. z. c. 59.

12. *λέγεται βασιλέα. λέγεται* mit Accus. c. Inf. Stände der Nomin. c. Inf., so würde nicht wie durch den Acc. c. Inf. auf das was der König mit Bewunderung gesehen, sondern darauf, dasz es der König gesehen, der gröszere Nachdruck fallen. Ebenso unt. vgl. c. 118.

θηεύμενον. Vgl. c. 90 *ὅκως γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωυτοῦ ἔργον τι ἀποδεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ οὔρεϊ τῷ ἀντίον Σαλαμῖνος τὸ καλέεται Αἰγάλεως, ἀπεπυνθάνετο τὸν ποιήσαντα.*

16. *καὶ τούς = καὶ τοὺς παρεόντας. φάναι* bejahen.

ἐπίσημον = σημήιον (c. 92) od. *παράσημον.* Das *ἐπίσημον* war

τῆς νεὸς ἐπισταμένους· τὴν δὲ διαφθαρεῖσαν ἠπιστέατο εἶναι πολεμίην. τά τε γὰρ ἄλλα, ὡς εἴρηται, αὐτῇ συνήνεικεν ἐς εὐτυχίην γενόμενα καὶ τὸ τῶν ἐκ τῆς Καλυνδικῆς νεὸς μηδένα ἀποσωθέντα κατήγορον γενέσθαι. Ξέρξην δὲ εἶπαι λέγεται πρὸς τὰ φραζόμενα· Οἱ μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες, αἱ
89 δὲ γυναῖκες ἄνδρες. Ταῦτα μὲν Ξέρξην φασὶ εἶπαι. Ἐν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς Ἀριαβίγνης ὁ Δαρείου, Ξέρξεω ἐὼν ἀδελφεός, ἀπὸ δὲ ἄλλοι πολλοί τε καὶ οὐνομαστοὶ Περσέων καὶ Μήδων καὶ τῶν ἄλλων συμμάχων, ὀλίγοι δέ τινες καὶ Ἑλλήνων. ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι αἱ νέες διεφθείροντο, οἱ μὴ ἐν χειρῶν νόμῳ ἀπολλύμενοι ἐς τὴν Σαλαμῖνα διένεον. τῶν δὲ βαρβάρων οἱ πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ ἐπιστάμενοι. ἐπεὶ δὲ αἱ πρῶται ἐς φυγὴν ἐτράποντο, ἐνθαῦτα αἱ πλεῖσται διεφθείροντο. οἱ γὰρ ὄπισθε τεταγμένοι, ἐς τὸ πρόσθε τῇσι νηυσὶ παριέναι πειρεόμενοι ὡς ἀποδεξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλέϊ, τῇσι
90 σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον. Ἐγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ· τῶν τινὲς Φοινίκων, τῶν αἱ νέες διεφθάρατο, ἐλθόντες παρὰ βασιλέα διέβαλλον τοὺς Ἴωνας, ὡς

meist ein Götter- oder Heroenbild, welches auf dem gebogenen Schiffshinterteil angebracht war. Gewöhnlich gab es dem Schiff den Namen oder enthielt auch wol eine Bezeichnung der Heimat. Vgl. III 37. IX 74.

1. ἠπιστέατο. ἐπίστασθαι steht hier in anderer Bedeutung als kurz vorher (ἐπισταμένους). S. z. c. 5.

3. τὸ τῶν ἐκ τῆς Καλ. νεὸς μηδένα. In Verbindung mit einem Verbum, welches den Begriff der Bewegung enthält oder andeutet (hier ἀποσωθέντα), kann ἐκ (auch ἀπό) zur Umschreibung gebraucht werden, wo wir ἐν erwarteten. Vgl. V 34 αὐτίκα μὲν ἐσηνείκαντο τὰ ἐκ τῶν ἀγρῶν ἐς τὸ τεῖχος. Aehnlich IX 5 οἵ τε ἐκ τῆς βουλῆς περιστάντες Λυκίδην κατέλευσαν, wo ἐκ das dem περιστῆναι vorausgegangene ἐξελθεῖν (ἐκ τῆς βουλῆς) andeutet. Ebenso VI 46 und unten c. 94 ὡς γὰρ ἀγχοῦ γενέσθαι τῶν νεῶν, τοὺς ἀπὸ τοῦ κέλητος λέγειν τάδε, wo τοὺς ἀπὸ τοῦ κέλητος brachylogisch gesagt ist für τοὺς ἐν τῷ κέλητι ἐκ (ἀπὸ) τοῦ κέλητος λέγειν.

89. 7. πόνῳ wie VI 114 καὶ ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται.

ἀπὸ μὲν ἔθανε — ἀπὸ δέ (8). Ueber die Tmesis s. z. c. 33.

Ἀριαβίγνης, Sohn des Dareus und der Tochter des Gobryas, der ersten der 6 Frauen des Dareus. Vgl. VII 2. 97.

10. ὀλίγοι δέ τινες. S. z. c. 86.

11. οἱ μὴ ἀπολλύμενοι. μή, weil das Participium hypothetisch zu fassen ist.

ἐν χειρῶν νόμῳ „im Handgemenge“. Vgl. IX 48 πρὶν γὰρ ἢ συμμῖξαι ἡμέας ἐς χειρῶν τε νόμον ἀπικέσθαι. Thuk. gebraucht in diesem Sinne ἐν χερσὶ γίγνεσθαι (V 72).

16. ἀποδεξόμενοι — ἔργον. S. z. c. 17.

90. 18. τῶν τινὲς Φοινίκων. Dies ist die regelmäszige Stellung des Indefinitums zwischen Artikel und Substantiv. Häufig so τῶν τις.

δι' ἐκείνους ἀπολοίατο αἱ νέες, ὡς προδόντων. συνήνεικε ὦν οὕτω ὥστε Ἰώνων τε τοὺς στρατηγοὺς μὴ ἀπολέσθαι, Φοινίκων τε τοὺς διαβάλλοντας λαβεῖν τοιόνδε μισθόν· ἔτι τούτων ταῦτα λεγόντων ἐνέκαλε νηῒ Ἀττικῇ Σαμοθρηϊκίη νηῦς. ἥ τε δὴ Ἀττικὴ κατεδύετο, καὶ ἐπιφερομένη Αἰγιναίη νηῦς κατέδυσε τῶν Σαμοθρηΐκων τὴν νέα. ἅτε δὴ ἐόντες ἀκοντισταὶ οἱ Σαμοθρήϊκες τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδυσάσης νεὸς βάλλοντες ἀπήραξαν καὶ ἐπέβησάν τε καὶ ἔσχον αὐτήν. ταῦτα γενόμενα τοὺς Ἴωνας ἐρρύσατο· ὡς γὰρ εἶδέ σφεας Ξέρξης ἔργον μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας οἷα ὑπερλυπεόμενός τε καὶ πάντας αἰτιεύμενος, καί σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμεῖν, ἵνα μὴ αὐτοὶ κακοὶ γενόμενοι τοὺς ἀμείνονας διαβάλλωσι. ὅκως γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωυτοῦ ἔργον τι ἀποδεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ οὔρεϊ τῷ ἀντίον Σαλαμῖνος, τὸ καλέεται Αἰγάλεως, ἀνεπυνθάνετο τὸν ποιήσαντα, καὶ οἱ γραμματισταὶ ἀνέγραφον πατρόθεν τὸν τριήραρχον καὶ τὴν πόλιν. πρὸς δέ τι καὶ προσεβάλετο φίλος ἐὼν Ἀριαράμνης ἀνὴρ Πέρσης παρεὼν τούτου τοῦ Φοινικηΐου πάθεος.

1. *ὡς προδόντων*, sc. ἐκείνων (s. z. IX 16). Ueber den Casus s. z. c. 69.

4. *Σαμοθρηϊκίη*. Samothrake stand auf persischer Seite; die ionischen Samier hatten hier eine Niederlassung gegründet, weshalb die Bewohner der Insel im Folgenden zu den Ionern gerechnet sind (ταῦτα γενόμενα τοὺς Ἴωνας ἐρρύσατο unt. 8).

5. *ἐπιφερομένη*. S. z. c. 87 (φέρουσα).

10. *οἷα ὑπερλυπεόμενος*. Ueb. οἷα mit Partic. s. z. c. 69.

13. *ὅκως* c. Opt. in iterativer Bedeutung; daher im Nachsatz das Imperfect (ἀπεπυνθάνετο). Vgl. c. 91. 128.

ἔργον τι. Ueber die Bedeutung von τὶ s. z. c. 15.

14. *ἀποδεικνύμενον*. S. z. c. 89. *ὑπὸ τῷ οὔρεϊ* sub montis radice. Vgl. VI 105 ὑπὸ τῇ ἀκροπόλι. Zur Sache vgl. Aesch. Pers. 460

Ξέρξης
δ' ἀνῴμωξεν κακῶν ὁρῶν βάθος·
ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ,
ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός.

Vgl. auch Her. VII 44.

15. *Αἰγάλεως*. Dieser Berg, welcher in das Vorgebirge Amphiale ausläuft, heiszt jetzt Scaramagna (zwischen Athen und Eleusis).

16. *γραμματισταί*. Ueber die königlichen Schreiber s. z. VII 60.

πατρόθεν. Die Namen der Väter werden der Auszeichnung halber hinzugefügt. Vgl. VI 14 καί σφι τὸ κοινὸν τῶν Σαμίων ἔδωκε διὰ τοῦτο τὸ πρῆγμα ἐν στήλῃ ἀναγραφῆναι πατρόθεν ὡς ἄνδρασι ἀγαθοῖσι γενομένοισι.

17. *πρὸς δέ τι καὶ προσεβάλετο — τούτου τοῦ πάθεος* „insuper etiam contulit ad illam Phoenicum cladem". πρὸς δέ adverbial wie c. 40. Zur Bedeutung von προσβάλλεσθαί τί τινος conferre aliquid ad aliquam rem vgl. Eur. Med. 238 ξυμβάλλεται δὲ πολλὰ τοῦδε δείματος.

φίλος ἐών. Hinter ἐών musz Ἰώνων ausgefallen sein.

91 *Οἱ μὲν δὴ πρὸς τοὺς Φοίνικας ἐτράποντο, τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων καὶ ἐκπλωόντων πρὸς τὸ Φάληρον Αἰγινῆται ὑποστάντες ἐν τῷ πορθμῷ ἔργα ἀπεδέξαντο λόγου ἄξια. οἱ μὲν γὰρ Ἀθηναῖοι ἐν τῷ θορύβῳ ἐκεραΐζον τάς τε ἀντισταμένας καὶ τὰς φευγούσας τῶν νεῶν, οἱ δὲ Αἰγινῆται τὰς ἐκπλωούσας· ὅκως δέ τινες τοὺς Ἀθηναίους διαφύγοιεν,*
92 *φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας. Ἐνθαῦτα συνεκύρεον νέες ἥ τε Θεμιστοκλέος διώκουσα νέα, καὶ ἡ Πολυκρίτου τοῦ Κρίου ἀνδρὸς Αἰγινήτεω νηῒ ἐμβαλοῦσα Σιδωνίῃ, ἥπερ εἷλε τὴν προφυλάσσουσαν ἐπὶ Σκιάθῳ τὴν Αἰγιναίην, ἐπ' ἧς ἔπλωε Πυθέης ὁ Ἰσχενόου, τὸν οἱ Πέρσαι κατακοπέντα ἀρετῆς εἵνεκεν εἶχον ἐν τῇ νηῒ ἐκπαγλεόμενοι. τὸν δὴ περιάγουσα ἅμα τοῖσι Πέρσῃσι ἥλω νηῦς ἡ Σιδωνίη ὥστε Πυθέην οὕτω σωθῆναι ἐς Αἴγιναν. ὡς δὲ ἐσεῖδε τὴν νέα τὴν Ἀττικὴν ὁ Πολύκριτος. ἔγνω τὸ σημήϊον ἰδὼν τῆς στρατηγίδος, καὶ βώσας τὸν Θεμιστοκλέα ἐπεκερτόμησε ἐς τῶν Αἰγινητέων τὸν μηδισμὸν ὀνειδίζων. ταῦτα μέν νυν νηῒ ἐμβαλὼν ὁ Πολύκριτος ἀπέρριψε*

91. 1. *οἱ μέν*, *τοῖσι προσετέτακτο ταῦτα πρήσσειν* (VII 39). Vgl. III 39 *ταῦτα εἴπας ἐνετείλατο τοῖσι ταῦτα πρήσσουσι τοὺς μὲν ἱρέας ἀπομαστιγῶσαι, Αἰγυπτίων δὲ τοὺς ὁρτάζοντας κτείνειν.*
3. *ὑποστάντες* in insidiis stantes. Vgl. V 92 *ὁ δ' ὑποστήσας* (= *ὑπείσας* VI 103) *τοὺς δορυφόρους ἀπέκτεινε πάντας.*
ἐν τῷ πορθμῷ. S. z. c. 76.
4. *ἐκεραΐζον* wie c. 86.
7. *ὅκως — διαφύγοιεν*, *ἐσέπιπτον*. Ueber *ὅκως* c. Opt. s. z. c. 90.
8. *φερόμενοι*. Vgl. VII 210 *ὡς δὲ ἐπέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί.* S. z. c. 87 (*φέρουσα*).

92. 10. *Κρίου.* Ueber Krios vgl. VI 50.
11. *προφυλάσσουσαν.* Zur Sache vgl. VII 179. 181. Ebendort ist auch von Pytheas heldenmütiger Tapferkeit die Rede.
Σκιάθῳ. Die Insel Skiathos liegt östlich von dem Küstenstrich Magnesia. Vgl. VII 176.
16. *σημήιον* = *ἐπίσημον* (c. 88). *βώσας.* Im Dialect des Her. werden diejenigen Formen der beiden Verba *βοᾶν* und *νοεῖν*, welche in *οη* aufgelöst werden müszten, in *ω* contrahiert. Vgl. *ἐπεβώσαντο* IX 23. Häufig so *βῶσαι* (c. 118), *βώσασθαι*, *ἐβώσθην* (c. 124), *ἐννώσας*, *ἐννένωντο*, *νενωμένος* (IX 53). Ebenso wird im Dialect des Her. *οη* in *ω* contrahiert in *βωθέω* (*βοηθέω*). Vgl. c. 45. 144.
17. *ἐπεκερτόμησε ἐς — μηδισμόν.* Polykritos machte höhnische Bemerkungen über die von den Athenern gegen die Aigineten erhobene Anschuldigung des Medismos, in Folge deren sich sein eigener Vater den Athenern hatte als Geisel stellen müssen (VI 49. 73. 85). Die Ungerechtigkeit dieses Vorwurfs hatten Pytheas wie Polykritos durch ihre glänzenden Waffentaten erwiesen.
18. *ὀνειδίζων* „in hunc ergo Aeginetarum *μηδισμόν* ipso in conflictus fervore *ὀνειδίζει*, seu non sine probro invehitur et obicit Atheniensium imperatori, quippe, quod res ostendebat, fictissimum, Polycritus".
ἀπέρριψε. Vgl. VII 13 *παραυτίκα ἡ νεότης ἐπέζεσε, ὥστε ἀει-*

ἐς Θεμιστοκλέα, οἱ δὲ βάρβαροι, τῶν αἱ νέες περιεγένοντο, φεύγοντες ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν πεζὸν στρατόν. Ἐν 93
δὲ τῇ ναυμαχίῃ ταύτῃ ἤκουσαν Ἑλλήνων ἄριστα Αἰγινῆται, ἐπὶ δὲ Ἀθηναῖοι, ἀνδρῶν δὲ Πολύκριτός τε ὁ Αἰγινήτης καὶ Ἀθηναῖοι Εὐμένης τε ὁ Ἀναγυράσιος καὶ Ἀμεινίης Παλληνεύς, ὃς καὶ Ἀρτεμισίην ἐπεδίωξε. εἰ μέν νυν ἔμαθε, ὅτι ἐν ταύτῃ πλώοι Ἀρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρότερον ἢ εἷλέ μιν ἢ καὶ αὐτὸς ἥλω. τοῖσι γὰρ Ἀθηναίων τριηράρχοισι παρεκεκέλευστο, πρὸς δὲ καὶ ἄεθλον ἐκέετο μύριαι δραχμαί, ὃς ἄν μιν ζωὴν ἕλῃ. δεινὸν γάρ τι ἐποιεῦντο γυναῖκα ἐπὶ τὰς Ἀθήνας στρατεύεσθαι. αὕτη μὲν δή, ὡς πρότερον εἴρηται, διέφυγε, ἦσαν δὲ καὶ οἱ ἄλλοι, τῶν αἱ νέες περιεγεγόνεσαν, ἐν τῷ Φαλήρῳ.

Ἀδείμαντον δὲ τὸν Κορίνθιον στρατηγὸν λέγουσι Ἀθη- 94
ναῖοι αὐτίκα κατ' ἀρχάς, ὡς συνέμισγον αἱ νέες, ἐκπλαγέντα τε καὶ ὑπερδείσαντα, τὰ ἱστία ἀειράμενον οἴχεσθαι φεύγοντα, ἰδόντας δὲ τοὺς Κορινθίους τὴν στρατηγίδα φεύγουσαν ὡσαύτως οἴχεσθαι. ὡς δὲ ἄρα φεύγοντας γίνεσθαι τῆς Σαλαμινίης

κέστερα ἀπορρῖψαι ἔπεα ἐς ἄνδρα πρεσβύτερον ἢ χρέων. In demselben Capitel steht weiter für ἀπέρριψε in dem gleichen Sinne ἐξέβαλε.

2. ὑπὸ τὸν πεζόν eig. unterhalb des längs dem Gestade aufgestellten Landheeres d. h. unter den Schutz des Landheers. ὑπό cum Accus. bezeichnet das räumliche Erstrecken unter etwas hin. Mit unsrer Stelle vgl. IX 96 ἐς δὲ τὴν ἤπειρον ἀπέπλεον ὅκως ἔωσι ὑπὸ τὸν πεζὸν στρατὸν τὸν σφέτερον ἐόντα ἐν τῇ Μυκάλῃ. — Auch das zeitliche Erstrecken über od. durch etwas hin kann durch ὑπό ausgedrückt werden. Vgl. IX 51 ὑπὸ ταύτην τὴν νύκτα (= während), IX 60 ὑπὸ τὸν παρεόντα τόνδε πόλεμον.

93. 3. ἤκουσαν ἄριστα δικαιοσύνης πέρι. Aehnlich IX 79.

4. ἐπὶ δέ adverbialisch. S. z. c. 29.

5. Ἀναγυράσιος aus dem attischen Demos Anagyros, der in der Nähe des Vorgebirges Zoster (zwischen Piraeeus und Sunium) südlich vom Hymettos lag.

8. παρεκεκέλευστο erg. ἑλεῖν Ἀρτεμισίην.

9. ἐκέετο ist Plusquamperf. Pass. zu τιθέναι (προτιθέναι). Häufig schon bei Hom. κεῖται ἄεθλα. Vgl. Her. IV 10 (ἄεθλος προκείμενος). I 126.

μύριαι δραχμαί. 10,000 Drachmen (à 7,9 Sgr.) = $2619\frac{3}{5}$ Thlr. 6000 Drachm. = 60 Minen gehen auf 1 att. Tal. = $1571\frac{3}{4}$ Thlr.

10. δεινόν τι — ἐποιεῦντο. S. z. c. 15.

94. 13. Ἀδείμαντον. Ueber ihn vgl. c. 5. 59. 61.

14. κατ' ἀρχάς (eig. = initio) verstärkt die Bedeutung von αὐτίκα. Wie hier sind beide verbunden VII 220. 223.

17. ὡς — γίνεσθαι. Die Zeitconjunctionen ὡς, ὅτε, ἐπείτε, ἐπειδή, so wie die Pronomina relativa werden in Orat. obliqua mit Infinitiv verbunden. Vgl. c. 111. IX 41 (nach ἔνθα).

τῆς Σαλαμινίης — Ἀθηναίης. Zur Wortstellung vgl. c. 96 τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ἄνεμος ζέφυρος ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠιόνα τὴν καλεομένην Κωλιάδα.

κατὰ τὸ ἱρὸν Ἀθηναίης Σκιράδος, περιπίπτειν σφι κέλητα θείῃ πομπῇ, τὸν οὔτε πέμψαντα φανῆναι οὐδένα, οὔτε τι τῶν ἀπὸ τῆς στρατιῆς εἰδόσι προσφέρεσθαι τοῖσι Κορινθίοισι. τῇδε δὲ συμβάλλονται εἶναι θεῖον τὸ πρῆγμα· ὡς γὰρ ἀγχοῦ γενέσθαι τῶν νεῶν, τοὺς ἀπὸ τοῦ κέλητος λέγειν τάδε· Ἀδείμαντε, σὺ μὲν ἀποστρέψας τὰς νέας ἐς φυγὴν ὥρμησαι καταπροδοὺς τοὺς Ἕλληνας· οἱ δὲ καὶ δὴ νικέουσι, ὅσον αὐτοὶ ἠρέοντο ἐπικρατῆσαι τῶν ἐχθρῶν. Ταῦτα λεγόντων, ἀπιστέειν γὰρ τὸν Ἀδείμαντον, αὖτις τάδε λέγειν, ὡς αὐτοὶ οἷοί τε εἶεν ἀγόμενοι ὅμηροι ἀποθνήσκειν, ἢν μὴ νικέοντες φαίνωνται οἱ Ἕλληνες. οὕτω δὴ ἀποστρέψαντα τὴν νέα αὐτόν τε καὶ τοὺς ἄλλους ἐπ' ἐξεργασμένοισι ἐλθεῖν ἐς τὸ στρατόπεδον. Τούτους μὲν τοιαύτη φάτις ἔχει ὑπὸ Ἀθηναίων, οὐ μέντοι αὐτοί γε Κορίνθιοι ὁμολογέουσι, ἀλλ' ἐν πρώτοισι σφέας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γε-

1. *Σκιράδος*. Ausser diesem weniger bekannten Heiligtum der skiradischen Athene (*Ἀθήνη Σκιράς*) auf Salamis gab es noch zwei andere Tempel derselben Göttin, von denen der eine in Phaleron (der alten Hafenstadt von Athen), der andere in der Nähe Athens unweit Eleusis lag. Dieser Göttin zu Ehren wurden die Skirophorien im Monat Skirophorion gefeiert (Ende Mai — Anfang Juni). Die Priesterschaft der Athene, des Poseidon und des Helios zog in dieser heiszen Zeit unter einem groszen Schirme (*σκίρον*) zum Küstenheiligtum der „Schirmerin" Athene, um für die Saatfelder Schutz gegen die Sonnenhitze zu erflehen.

θείῃ πομπῇ eig. unter göttlicher Geleitung d. h. nach göttlicher Fügung. Wie hier IV 152. Aehnliche Wendungen sind *θείῃ τύχῃ* I 126, *κατὰ δαίμονα* I 111.

2. *οὔτε τι — εἰδόσι*. Die in *οὔτε τι* (= *καὶ οὐδὲν*) enthaltene Negation (*οὐδέν*) gehört zu *εἰδόσι* (= *καὶ προσφέρεσθαι τοῖσι Κορινθίοισι οὐδὲν τῶν ἀπὸ τῆς στρατιῆς εἰδόσι*). Zur Umschreibung *τὰ ἀπὸ τῆς στρατιῆς* „die Vorgänge beim Heer" vgl. VII 195 *ἐβούλοντο (οἱ Ἕλληνες) πυθέσθαι τὰ ἀπὸ τῆς Ξέρξεω στρατιῆς*.

3. *τῇδε συμβάλλονται*. Vgl. III 68 *Ὀτάνης ὑπώπτευσε τὸν Μάγον ὡς οὐκ εἴη ὁ Κύρου Σμέρδις, ἀλλ' ὅσπερ ἦν, τῇδε συμβαλλόμενος ὅτι οὐκ ἐξεφοίτα ἐκ τῆς ἀκροπόλιος*. Zur Bedeutung von *συμβάλλεσθαι* vgl. c. 30.

5. *τοὺς ἀπὸ τοῦ κέλητος*. S. z. c. 88 Ende.

6. *καταπροδούς*. *καταπροδιδόναι* deserere auch VII 139 *προδοθέντες Λακεδαιμόνιοι ὑπὸ τῶν συμμάχων*.

7. *καὶ δή*. *δή* = *ἤδη* IX 6. 11.

9. *οἷοί τε*. *οἷός τε εἰμί* c. inf. heiszt nicht allein ich bin im Stande etwas zu tun, sondern auch ich bin geneigt, bereit zu etwas.

10. *οὕτω δή*. S. z. c. 23.

11. *ἐπ' ἐξεργασμένοισι* re peracta. Vgl. IX 77 *μετὰ ταῦτα ἀπίκοντο Μαντινέες ἐπ' ἐξεργασμένοισι*. *ἐπὶ* c. dat. in temporaler Bedeutung (= nach). Vgl. II 22 *ἐπὶ δὲ χιόνι πεσούσῃ πᾶσα ἀνάγκη ἐστὶ ὗσαι ἐν πέντε ἡμέρῃσι*.

12. *τούτους — φάτις ἔχει*. Die Wendung *ἔχει τινὰ φάτις* (= *αἰτίαν τινὰ ἔχει*) auch IX 84.

13. *οὐ μέντοι — γε*. Dieselbe Partikelverbindung IX 37.

νέσθαι, μαρτυρέει δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς. Ἀριστείδης δὲ ὁ 95
Λυσιμάχου ἀνὴρ Ἀθηναῖος, τοῦ καὶ ὀλίγῳ τι πρότερον τούτων ἐπεμνήσθην ὡς ἀνδρὸς ἀρίστου, οὗτος ἐν τῷ θορύβῳ τούτῳ τῷ περὶ Σαλαμῖνα γενομένῳ τάδε ἐποίεε· παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων, οἳ παρατετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος ἐόντες Ἀθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε ἄγων, οἳ τοὺς Πέρσας τοὺς ἐν τῇ νησῖδι ταύτῃ κατεφόνευσαν πάντας.

Ὡς δὲ ἡ ναυμαχίη διελέλυτο, κατειρύσαντες ἐς τὴν Σα- 96
λαμῖνα οἱ Ἕλληνες τῶν ναυηγίων ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἑτοῖμοι ἦσαν ἐς ἄλλην ναυμαχίην, ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι βασιλέα. τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ἄνεμος ζέφυρος ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠϊόνα τὴν καλεομένην Κωλιάδα, ὥστε ἀποπεπλῆσθαι τόν χρησμὸν τόν τε ἄλλον πάντα τὸν περὶ τῆς ναυμαχίης ταύτης εἰρημένον Βάκιδι καὶ Μουσαίῳ, καὶ δὴ καὶ κατὰ τὰ ναυήγια τὰ ταύτῃ ἐξενειχθέντα τὸ εἰρημένον πολλοῖσι ἔτεσι πρότερον τούτων ἐν χρησμῷ Λυσιστράτῳ Ἀθηναίῳ ἀνδρὶ χρησμολόγῳ, τὸ ἐλελήθεε πάντας τοὺς Ἕλληνας,

1. *μαρτυρέει — Ἑλλάς.* Vgl. die Inschrift des Simonides auf dem Grabmal der in der Schlacht gefallenen Korinthier fr. 100 (Bergk)

ὦ ξεῖν', εὔυδρόν ποτ' ἐναίομεν ἄστυ Κορίνθου
νῦν δ' ἄμμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς·
ῥεῖα δὲ Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδα ῥυσάμεθα

und die Inschrift auf Adeimantos fr. 103

οὗτος Ἀδειμάντου κεῖνου τάφος, οὗ διὰ βουλὰς
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.

95. 2. *πρότερον τούτων.* S. c. 79.

6. *Ψυττάλειαν.* Vgl. c. 76.

7. *ἀπέβησε.* Derselbe Aor. I (in factitiver Bedeutung) VI 107. Attisch: *ἀπεβίβασεν.*

96. 12. *ὑπολαβών.* *ὑπολαβεῖν* vom Winde auch c. 118.

13. *τῆς Ἀττικῆς ἐπὶ τὴν ἠϊόνα.* Ueber die Stellung des Genetivs s. z. c. 94.

14. *Κωλιάδα.* Kolias war der Name einer Landspitze und eines Küstenvorsprungs östlich von Phaleron; hier stand ein Tempel der Aphrodite Kolias und der Demeter.

15. *Βάκιδι καὶ Μουσαίῳ.* S. z. c. 20.

16. *καὶ δὴ καὶ — τὸ εἰρημένον.* Ueber *καὶ δὴ καί* nach *ἄλλος* s. z. c. 52.

ἐξενειχθέντα. Zur Bedeutung vgl. c. 76 *ἐς ταύτην τὴν νησῖδα μάλιστα ἐξοισομένων τῶν τε ἀνδρῶν καὶ τῶν ναυηγίων.*

18. *Λυσιστράτῳ* verbinde mit *εἰρημένον.* Herodot nennt den Lysistratos *χρησμολόγος* und bezeichnet damit 1) dasz L. als gottbegeisterter Seher (*μάντις*) selbst geheimnissvolle Spruchweisheit dichtete, 2) dasz er ältere Seheraussprüche erklärte und auslegte.

Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρύξουσι·
τοῦτο δὲ ἔμελλε ἀπελάσαντος βασιλέος ἔσεσθαι.

97 ΞΕΡΞΗΣ δὲ ὡς ἔμαθε τὸ γεγονὸς πάθος, δείσας, μή τις
τῶν Ἰώνων ὑποθῆται τοῖσι Ἕλλησι ἢ αὐτοὶ νοήσωσι πλώειν ἐς
τὸν Ἑλλήσποντον λύσοντες τὰς γεφύρας καὶ ἀπολαμφθεὶς ἐν
τῇ Εὐρώπῃ ἀπολέσθαι κινδυνεύσῃ, δρησμὸν ἐβούλευε· ἐθέλων
δὲ μὴ ἐπίδηλος εἶναι μήτε τοῖσι Ἕλλησι μήτε τοῖσι ἑωυτοῦ ἐς
τὴν Σαλαμῖνα χῶμα ἐπειρᾶτο διαχοῦν, γαυλούς τε Φοινικηΐους
συνέδεε, ἵνα ἀντί τε σχεδίης ἔωσι καὶ τείχεος, ἀρτέετό τε ἐς
πόλεμον ὡς ναυμαχίην ἄλλην ποιησόμενος. ὁρέοντες δέ μιν
πάντες οἱ ἄλλοι ταῦτα πρήσσοντα εὖ ἠπιστέατο, ὡς ἐκ παντὸς
νόου παρεσκεύασται μένων πολεμήσειν· Μαρδόνιον δ' οὐδὲν
τούτων ἐλάνθανε ὡς μάλιστα ἔμπειρον ἐόντα τῆς ἐκείνου δια-
νοίης. ταῦτά τε ἅμα Ξέρξης ἐποίεε, καὶ ἔπεμπε ἐς Πέρσας
98 ἀγγελέοντα τὴν παρεοῦσάν σφι συμφορήν. Τούτων δὲ τῶν
ἀγγέλων ἔστι οὐδὲν ὅ τι θᾶσσον παραγίνεται θνητὸν ἐόν·
οὕτω τοῖσι Πέρσῃσι ἐξεύρηται τοῦτο. λέγουσι γάρ, ὡς ὅσων
ἂν ἡμερέων ᾖ ἡ πᾶσα ὁδός, τοσοῦτοι ἵπποι τε καὶ ἄνδρες δι-

1. *φρύξουσι* d. h. sie werden mit Ruderholz das Feuer zum Rösten der Gerste oder zum Braten anwenden.

2. *ἔμελλε — ἔσεσθαι.* Ueber *μέλλειν* mit Inf. s. z. c. 6.

Xerxes beschlieszt den Rückzug. Rat des Mardonios. Beratung mit Artemisia (c. 97—106).

97. 4. *ὑποθῆται.* Zur Bedeutung vgl. VII 237 *οὐδ' ἂν συμβουλευομένου τοῦ ἀστοῦ πολιήτης ἀνὴρ τὰ ἄριστά οἱ δοκέοντα εἶναι ὑποθέοιτο* (= *συμβουλεύσειε*). Auch zu *ὑποθῆται* gehört *πλώειν.* Ueber die contrahierte Form (die erste Person heiszt *ὑποθέωμαι*) vgl. Dial. Bd. I, S. 36.

5. *ἀπολαμφθείς.* S. z. c. 11.

8. *χῶμα ἐς τὴν Σαλαμῖνα ἐπειρᾶτο διαχοῦν.* Nach Ktesias Pers. 26 und Strabo p. 395 war dies schon vor der Schlacht bei Salamis Plan des Königs gewesen. Vgl. Ktes. Pers. c. 26 *ὁ δὲ Ξέρξης ἐχώννυε χῶμα ἐπὶ Σαλαμῖνα, πεζῇ ἐπ' αὐτὴν διαβῆναι διανοούμενος.*

γαυλούς. γαυλός ein rundes (phönikisches) Kauffarteischiff, wie hier III 136; in erster Bedeutung (Wassereimer) steht das Wort VI 119.

9. *ἀρτέετο* = *παρεσκευάζετο.* Wie hier V 120. VII 193. Vgl. c. 76.

11. *εὖ ἠπιστέατο. ἐπίστασθαι* glauben wie c. 5. *εὖ ἐπίστασθαι* fest überzeugt sein (VI 13).

ἐκ παντὸς νόου. ἐκ steht in gleicher Bedeutung bei Plat. Gorg. 510 *ἐκ παντὸς τοῦ νοῦ* und Xen. Anab. VII 7, 43 *ἐκ τῆς ψυχῆς φίλος.*

14. *τε ἅμα — καί.* Zur Stellung von *ἅμα* vgl. IV 150 *ἅμα τε ἔλεγε ταῦτα καὶ ἐδείκνυε ἐς τὸν Βάττον,* wo *ἅμα* eigentlich zu *ἐδείκνυε* gehört. Ebenso III 65. IV 67.

98. 16. *θνητὸν ἐόν.* Xenophon sagt Kyrop. VIII 6, 18 von derselben Einrichtung *φασί τινες θᾶττον τῶν γεράνων ταύτην τὴν πορείαν ἀνύτειν. εἰ δὲ τοῦτο ψεύδονται, ἀλλ' ὅτι γε τῶν ἀνθρωπίνων πεζῇ πορειῶν αὕτη ταχίστη.*

18. *διεστᾶσι.* Vgl. II 66 *οἱ μὲν γὰρ Αἰγύπτιοι διαστάντες* (= per

ἑστᾶσι, κατὰ ἡμερησίην ὁδὸν ἑκάστην ἵππος τε καὶ ἀνὴρ τεταγμένος, τοὺς οὔτε νιφετός, οὐκ ὄμβρος, οὐ καῦμα, οὐ νὺξ ἔργει μὴ οὐ κατανύσαι τὸν προκείμενον ἑωυτῷ δρόμον τὴν ταχίστην. ὁ μὲν δὴ πρῶτος δραμὼν παραδιδοῖ τὰ ἐντεταλμένα τῷ δευτέρῳ, ὁ δὲ δεύτερος τῷ τρίτῳ· τὸ δὲ ἐνθεῦτεν ἤδη κατ᾽ ἄλλον διεξέρχεται παραδιδόμενα, κατάπερ Ἕλλησι ἡ λαμπαδηφορίη, τὴν τῷ Ἡφαίστῳ ἐπιτελέουσι. Τοῦτο τὸ δράμημα τῶν ἵππων 99
καλέουσι Πέρσαι ἀγγαρήϊον. Ἡ μὲν δὴ πρώτη ἐς Σοῦσα ἀγγελίη ἀπικομένη, ὡς ἔχοι Ἀθήνας Ξέρξης, ἔτερψε οὕτω δή τι

intervalla dispositi) *φυλακὰς ἔχουσι τῶν κροκοδείλων*.

2. *ουτε — οὐ*, eine mehr dichterische Responsion, durch welche die folgenden Begriffe selbständiger hervortreten und nachdrücklich gesteigert werden. Vgl. I 132 *οἱ Πέρσαι οὔτε πῦρ ἀνακαίουσι, οὐ σπονδῇ χρέονται, οὐκὶ αὐλῷ, οὐ στέμμασι, οὐκὶ αὐλῇσι.* Aehnlich I 138.

3. *μὴ οὐ.* S. z. c. 57.

ἑωυτῷ. Der Singular darf, wiewol *τούς* vorhergeht, keinen Anstosz erregen.

τὴν ταχίστην erg. *ὁδόν* eig.: auf dem Wege, wo man am schnellsten hinkommt; auch c. 114.

5. *κατ᾽ ἄλλον.* Mit Krüger *κατ᾽ ἄλλον καὶ ἄλλον* zu schreiben, ist unnötig.

6. *κατάπερ Ἕλλησι ἡ λαμπαδαφορίη.* Aus *λαμπαδηφορίη* ist das darin enthaltene *λαμπάς* zu entnehmen, wozu aus dem vorhergehenden *διεξέρχεται παραδιδομένη* als Prädikat zu ergänzen. — *λαμπαδηφορίη* oder *λαμπαδηδρομίη*, auch einfach *λαμπάς* (VI 105) ist ein Wettlauf mit brennenden Fackeln, der namentlich an den Festen von Gottheiten des Lichts und Feuers in dunkler Nacht durch Jünglinge veranstaltet wurde; in Athen fanden solche Fackelläufe an den groszen Panathenaeen, an den Hephaesteen, an den Prometheen, an den Bendidien, und am Feste des Pan statt (VI 105). Es gab verschiedene Arten dieses Wettkampfes: eine derselben bestand darin, dasz die Jünglinge in verschiedenen Abteilungen ausliefen, einige mit brennenden Fackeln voran, während andere ohne Fackeln in einer bestimmten Entfernung folgten. Ward einer (oder mehrere) der Fackelträger von einem der nachfolgenden Abteilung überholt, so muszte er diesem die Fackel übergeben, der nun seinerseits mit der brennenden Fackel das Ziel zu erreichen suchte. Wer dort zuerst ankam, war Sieger. — Auszer dieser Art der *λαμπαδηφορίη* gab es noch einige andere, an welche bei unserer Stelle zu denken ist. Die Jünglinge stellten sich in einzelnen Abteilungen auf der Laufbahn in bestimmten Entfernungen von einander auf; nur die erste Gruppe der Läufer, die vom Ziel am weitesten entfernt war, trug brennende Fackeln. Die Aufgabe bestand nun darin, dasz sie die Fackeln brennend in raschem Lauf der nächsten Abteilung überlieferten, worauf diese sie in derselben Weise der nächstfolgenden Abteilung zu überbringen hatte.

8. *ἀγγαρήϊον.* Wahrscheinlich war die Einrichtung dieser Courierpost ein Werk des Dareus, der sich überhaupt die Regelung der Verwaltung des ungeheuren Reichs (z. B. durch die Anordnung der Satrapien und Steuerkreise, s. III 91 ff., und die Anlage der persischen Reichsstrasze zwischen Sardes und Susa) zur Hauptaufgabe gemacht hatte.

99. *ἡ πρώτη — ἀγγελίη.* S. c. 4. — In *ἀγγελίη ἀπικομένη* liegt der Hauptbegriff in *ἀπικομένη*. Vgl. I 34 *μετὰ δὲ Σόλωνα οἰχόμενον*

Περσέων τοὺς ὑπολειφθέντας, ὡς τάς τε ὁδοὺς μυρσίνῃσι πάσας ἐστόρεσαν καὶ ἐθυμίων θυμιήματα καὶ αὐτοὶ ἦσαν ἐν θυσίῃσί τε καὶ εὐπαθείῃσι· ἡ δὲ δευτέρη σφι ἀγγελίη ἐπεξελθοῦσα συνέχεε οὕτω, ὥστε τοὺς κιθῶνας κατερρήξαντο πάντες, βοῇ τε καὶ οἰμωγῇ ἐχρέοντο ἀπλέτῳ, Μαρδόνιον ἐν αἰτίῃ τιθέντες. οὐκ οὕτω δὲ περὶ τῶν νεῶν ἀχθόμενοι ταῦτα οἱ Πέρσαι ἐποίευν, ὡς περὶ αὐτῷ Ξέρξῃ δειμαίνοντες.

100 Καὶ περὶ Πέρσας μὲν ἦν ταῦτα τὸν πάντα μεταξὺ χρόνον γενόμενον, μέχρι οὗ Ξέρξης αὐτός σφεας ἀπικόμενος ἔπαυσε. Μαρδόνιος δὲ ὁρέων μὲν Ξέρξην συμφορὴν μεγάλην ἐκ τῆς ναυμαχίης ποιεύμενον, ὑποπτεύων δὲ αὐτὸν δρησμὸν βουλεύειν ἐκ τῶν Ἀθηνέων, φροντίσας πρὸς ἑωυτὸν ὡς δώσει δίκην ἀναγνώσας βασιλέα στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα καί οἱ κρέσσον εἴη ἀνακινδυνεῦσαι ἢ κατεργάσασθαι τὴν Ἑλλάδα ἢ αὐτὸν καλῶς τελευτῆσαι τὸν βίον ὑπὲρ μεγάλων αἰωρηθέντα· πλέον μέντοι ἔφερέ οἱ ἡ γνώμη κατεργάσασθαι τὴν Ἑλλάδα· λογισάμενος ὦν ταῦτα προσέφερε τὸν λόγον τόνδε· Δέσποτα, μήτε λυπέεο

ἔλαβε ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον und unt. c. 130 τὸ ἔαρ γινόμενον ἤγειρε τοὺς Ἕλληνας. Vgl. lat. urbs capta.

2. ἐν θυσίῃσι. θυσίη hier wol Opferschmaus. Dem Sinne würde indes mehr ἐν θαλίῃσι entsprechen. Vgl. III 27 ἐπιφανέος δὲ τοῦ Ἄπιος γενομένου αὐτίκα οἱ Αἰγύπτιοι εἵματά τε ἐφόρεον τὰ κάλλιστα καὶ ἦσαν ἐν θαλίῃσι.

3. εὐπαθείῃσι. Die Wendung ἐν εὐπαθείῃσι εἶναι auch I 22.

4. συνέχεε. συγχέειν ist in dieser Bedeutung mehr dichterisch; häufig bei Homer συγχέειν θυμόν, νόον.

6. ἐν αἰτίῃ τιθέντες. Häufiger ist ἐν αἰτίῃ ἔχειν τινά. Vgl. V 106.

100. 11. Μαρδόνιος. Das zugehörige Verbum ist προσέφερε (unt. 18).

συμφορὴν — ποιεύμενον. S. zu c. 10.

13. ἀναγνώσας = ἀναπείσας. Zur Sache s. VII 9.

14. καί οἱ κρέσσον εἴη hängt ebenfalls noch von ὡς ab. Zum Wechsel des Indicativs (δώσουσι) mit Optativ (εἴη) im abhängigen Satze vgl. c. 106. 111. IX 69. Durch den Optativ erhält der Gedanke mehr subjective Färbung.

15. ἀνακινδυνεῦσαι. Das verstärkte ἀνακινδυνεύειν (c. 68) ist hier wie c. 97 das einfache κινδυνεύειν mit Infinitiv verbunden. Anders ob. c. 68.

κατεργάζεσθαι überwinden, unterjochen, wie IX 106. 108.

16. ὑπὲρ μεγάλων αἰωρηθέντα magna de re periclitatum. Gemeint ist die Unterwerfung Griechenlands. Zur Bedeutung von αἰωρέεσθαι (= schweben) vgl. Thuc. VII 77 νῦν ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωροῦμαι. In eigentl. Bedeutung steht (ὑπερ-)αιωρέεσθαι VI 116 τῇσι νηυσὶ ὑπεραιωρηθέντες Φαλήρου.

17. ἔφερέ οἱ ἡ γνώμη. φέρειν steht hier in der intrans. Bedeutung tendere, vergere aliquo. Ganz wie hier III 77 ἐγίνετο οἷόν τι Δαρείῳ ἡ γνώμη ἔφερε. Häufig φέρειν ἐς (= spectare ad). Vgl. IX 33.

λογισάμενος ὦν ταῦτα faszt den Inhalt der beiden Participialsätze (ὑποπτεύων und φροντίσας) zusammen.

μήτε συμφορὴν μηδεμίαν μεγάλην ποιέεο τοῦδε τοῦ γεγονότος εἵνεκεν πρήγματος. οὐ γὰρ ξύλων ἀγὼν ὁ τὸ πᾶν φέρων ἐστὶ ἡμῖν, ἀλλ' ἀνδρῶν τε καὶ ἵππων. σοὶ δὲ οὔτε τις τούτων τῶν τὸ πᾶν σφι ἤδη δοκεόντων κατεργάσθαι ἀποβὰς ἀπὸ τῶν νεῶν πειρήσεται ἀντιωθῆναι, οὔτ' ἐκ τῆς ἠπείρου τῆσδε· οἵ τε ἡμῖν ἠντιώθησαν, ἔδοσαν δίκας. εἰ μέν νυν δοκέει, αὐτίκα πειρεώμεθα τῆς Πελοποννήσου· εἰ δὲ καὶ δοκέει ἐπισχεῖν, παρέχει ποιέειν ταῦτα. μὴ δὲ δυσθύμεε· οὐ γάρ ἐστι Ἕλλησι οὐδεμία ἔκδυσις μὴ οὐ δόντας λόγον τῶν ἐποίησαν νῦν τε καὶ πρότερον εἶναι σοὺς δούλους. μάλιστα μέν νυν ταῦτα ποίεε· εἰ δ' ἄρα τοι βεβούλευται αὐτὸν ἀπελαύνοντα ἀπάγειν τὴν στρατιήν, ἄλλην ἔχω καὶ ἐκ τῶνδε βουλήν. σὺ Πέρσας, βασιλεῦ, μὴ ποιήσῃς καταγελάστους γενέσθαι Ἕλλησι. οὐδὲν γὰρ ἐν τοῖσι Πέρσῃσι δεδήληται τῶν πρηγμάτων, οὐδὲ ἐρέεις ὅκου ἐγενόμεθα ἄνδρες κακοί. εἰ δὲ Φοίνικές τε καὶ Αἰγύπτιοι καὶ Κύπριοί τε καὶ Κίλικες κακοὶ ἐγένοντο, οὐδὲν πρὸς Πέρσας τοῦτο προσήκει τὸ πάθος. ἤδη ὦν ἐπειδὴ οὐ Πέρσαι τοι αἴτιοί εἰσι, ἐμοὶ πείθεο· εἴ τοι δέδοκται μὴ παραμένειν, σὺ μὲν ἐς ἤθεα τὰ σεωυτοῦ ἀπέλαυνε, τῆς στρατιῆς ἀπάγων τὸ πολλόν, ἐμὲ δέ σοι χρὴ τὴν Ἑλλάδα παρασχεῖν δεδουλωμένην, τριήκοντα μυ-
ριάδας τοῦ στρατοῦ ἀπολεξάμενον. Ταῦτα ἀκούσας Ξέρξης ὡς 101
ἐκ κακῶν ἐχάρη τε καὶ ἥσθη, πρὸς Μαρδόνιόν τε βουλευσά-

2. *ξύλων*. Er meint damit die Schiffe.

τὸ πᾶν φέρων. Vgl. c. 62 *τὸ πᾶν γὰρ ἡμῖν τοῦ πολέμου φέρουσι αἱ νέες* (Worte des Themistokles zu Eurybiades).

6. *πειρεώμεθα*. *πειρᾶσθαι* mit Genet. steht in gleicher Bedeutung auch c. 101. 113. Vgl. IX 45 und I 76 *ἐπειρέοντο ἀλλήλων κατὰ τὸ ἰσχυρόν*.

7. *παρέχει* erg. *σοί*. Ueber die Bedeutung von *παρέχει μοί* s. z. c. 8.

9. *μὴ οὐ*. S. z. c. 98.

δόντας λόγον. *δοῦναι λόγον* steht hier in der Bedeutung von *δοῦναι δίκην* (c. 3). *διδόναι λόγον* hat sonst bei Herodot eine andere Bedeutung. S. c. 9.

12. *ἐκ τῶνδε*. *ἐκ* hat in dieser Verbindung die Bedeutung gemäsz. Vgl. Xen. Anab. I 10, 28 *ἐξ ὧν ἀκούω κρίνω*.

13. *ἐν τοῖσι Πέρσῃσι* apud Persas.

14. *δεδήληται* passivisch zu fassen wie IV 198.

τῶν πρηγμάτων hängt von *οὐδέν* ab.

15. *κακοὶ ἐγεν*. S. c. 68 Ende.

17. *ἤδη ὦν* (= jam igitur) hat in der Beweisführung folgernde Kraft. Ganz wie hier VI 53.

18. *ἤθεα* hier wie meist = Wohnsitze; aber c. 144 = mores.

101. 21. *ὡς ἐκ κακῶν* „meinend (*ὡς*) dasz er schon dem Verderben entronnen sei" (= *ἐκ κακῶν*). Andere erklären (mit Berufung auf Thuk. VII 42): „so weit nach einem solchen Unglück möglich war". Dem widerspricht indes der durch die Zusammenstellung der beiden Synonyma *ἐχάρη τε καὶ ἥσθη* gesteigerte Begriff der Freude.

μενος ἔφη ὑποκρινέεσθαι ὁκότερον ποιήσει τούτων. ὡς δὲ ἐβουλεύετο ἅμα Περσέων τοῖσι ἐπικλήτοισι, ἔδοξέ οἱ καὶ Ἀρτεμισίην ἐς συμβουλίην μεταπέμψασθαι, ὅτι πρότερον ἐφαίνετο μούνη νοεῦσα τὰ ποιητέα ἦν. ὡς δὲ ἀπίκετο ἡ Ἀρτεμισίη, μεταστησάμενος τοὺς ἄλλους, τούς τε συμβούλους Περσέων καὶ τοὺς δορυφόρους, ἔλεξε Ξέρξης τάδε· Κελεύει με Μαρδόνιος μένοντα αὐτοῦ πειρᾶσθαι τῆς Πελοποννήσου, λέγων ὥς μοι Πέρσαι τε καὶ ὁ πεζὸς στρατὸς οὐδενὸς μεταίτιοι πάθεός εἰσι, ἀλλὰ βουλομένοισί σφι γένοιτ' ἂν ἀπόδεξις. ἐμὲ ὦν ἢ ταῦτα κελεύει ποιέειν, ἢ αὐτὸς ἐθέλει τριήκοντα μυριάδας ἀπολεξάμενος τοῦ στρατοῦ παρασχεῖν μοι τὴν Ἑλλάδα δεδουλωμένην, αὐτὸν δ' ἐμὲ κελεύει ἀπελαύνειν σὺν τῷ λοιπῷ στρατῷ ἐς ἤθεα τὰ ἐμά. σὺ ὦν ἐμοί, καὶ γὰρ περὶ τῆς ναυμαχίης εὖ συνεβούλευσας τῆς γενομένης οὐκ ἐῶσα ποιέεσθαι, νῦν τε συμβούλευσον
102 ὁκότερα ποιέων ἐπιτύχω εὖ βουλευσάμενος. Ὁ μὲν ταῦτα συνεβουλεύετο, ἡ δὲ λέγει τάδε· Βασιλεῦ, χαλεπὸν μέν ἐστι συμβουλευομένῳ τυχεῖν τὰ ἄριστα εἴπασαν, ἐπὶ μέντοι τοῖσι κατήκουσι πρήγμασι δοκέει μοι αὐτὸν μέν σε ἀπελαύνειν ὀπίσω, Μαρδόνιον δέ, εἰ ἐθέλει τε καὶ ὑποδέκεται ταῦτα ποιήσειν, αὐτοῦ καταλιπεῖν σὺν τοῖσι ἐθέλει. τοῦτο μὲν γάρ, ἢν καταστρέψηται τά φησι ἐθέλειν καί οἱ προχωρήσῃ τὰ νοέων λέγει, σὸν τὸ ἔργον, ὦ δέσποτα, γίνεται, οἱ γὰρ σοὶ δοῦλοι κατεργάσαντο, τοῦτο δέ, ἢν τὰ ἐναντία τῆς Μαρδονίου γνώμης γένηται, οὐδεμία συμφορὴ μεγάλη ἔσται σέο τε περιεόντος καὶ ἐκείνων τῶν πρηγμάτων [περὶ οἶκον τὸν σόν]. ἢν γὰρ σύ τε περιέῃς καὶ οἶκος ὁ σός, πολλοὺς πολλάκις ἀγῶνας δραμέονται περὶ

2. τοῖσι ἐπικλήτοισι. Vgl. IX 42 σιγεόντων δὲ τῶν ἐπικλήτων.

5. μεταστησάμενος. S. z. c. 80.

9. βουλομένοισί σφι — γένοιτ' ἄν. Ueber βουλομένοισι s. z. c. 10 (ἡδομένοισι).

ἀπόδεξις (att. ἀπόδειξις) heiszt: Gelegenheit zum Beweis (dasz sie die Niederlage nicht verschuldet hätten).

14. νῦν τε. τε entspricht dem καί vor γάρ. „Wie du früher mir gut geraten, so tue es auch jetzt".

15. ἐπιτύχω. ἐπιτυγχάνω ich treffe es glücklich ist wie das Simplex mit Particip verbunden. Zur Bedeutung vgl. c. 103 λέγουσα γὰρ ἐπετύγχανε τάπερ αὐτὸς ἐνόεε.

102. 17. ἐπὶ τοῖσι κατήκουσι πρήγμασι. S. z. c. 19.

20. ἐθέλει erg. καταλείπεσθαι (aus καταλιπεῖν).

τοῦτο μέν — τοῦτο δέ (23). S. z. c. 88.

24. ἐκείνων τῶν πρηγμάτων erg. περιεόντων (= σωθέντων) aus περιεόντος. Gemeint ist mit ἐκεῖνα τὰ πρήγματα die persische Macht in Asien.

26. ἀγῶνας δραμέονται. S. z. c. 74.

σφέων αὐτῶν οἱ Ἕλληνες. Μαρδονίου δὲ, ἤν τι πάθῃ, λόγος
οὐδεὶς γίνεται· οὐδέ τι νικεόντες οἱ Ἕλληνες νικέουσι, δοῦλον
σὸν ἀπολέσαντες· σὺ δὲ, τῶν εἵνεκεν τὸν στόλον ἐποιήσαο,
πυρώσας τὰς Ἀθήνας ἀπελᾷς. Ἥσθη τε δὴ τῇ συμβουλίῃ Ξέρ- 103
ξης· λέγουσα γὰρ ἐπετύγχανε τάπερ αὐτὸς ἐνόεε. οὐδὲ γὰρ
εἰ πάντες καὶ πᾶσαι συνεβούλευον αὐτῷ μένειν, ἔμενε ἂν δο-
κέειν ἐμοί· οὕτω καταρρωδήκεε. ἐπαινέσας δὲ τὴν Ἀρτεμισίην
ταύτην μὲν ἀποστέλλει ἄγουσαν αὐτοῦ τοὺς παῖδας ἐς Ἔφεσον·
νόθοι γάρ τινες παῖδές οἱ συνείποντο. Συνέπεμπε δὲ τοῖσι 104
παισὶ φύλακον Ἑρμότιμον, γένος μὲν ἐόντα Πηδασέα, φερό-
μενον δὲ οὐ τὰ δεύτερα τῶν εὐνούχων παρὰ βασιλέϊ [οἱ δὲ
Πηδασέες οἰκέουσι ὑπὲρ Ἁλικαρνησοῦ. ἐν δὲ τοῖσι Πηδάσοισι
τούτοισι τοιόνδε φέρεται πρῆγμα γίνεσθαι· ἐπεὰν τοῖσι ἀμ-
φικτίοισι πᾶσι τοῖσι ἀμφὶ ταύτης οἰκέουσι τῆς πόλιος μέλλῃ τι
ἐντὸς χρόνου ἔσεσθαι χαλεπὸν, τότε ἡ ἱρεια αὐτόθι τῆς Ἀθη-
ναίης φύει πώγωνα μέγαν. τοῦτο δέ σφι δὶς ἤδη ἐγένετο. Ἐκ 105
τούτων δὴ τῶν Πηδασέων ὁ Ἑρμόνιμος ἦν] τῷ μεγίστη τίσις
ἤδη ἀδικηθέντι ἐγένετο πάντων τῶν ἡμεῖς ἴδμεν. ἁλόντα γὰρ

1. *Μαρδονίου — λόγος οὐδεὶς γίνεται.* λόγος steht in gleicher Bedeutung VII 223 ἦν δὲ λόγος οὐδεὶς τῶν ἀπολλυμένων. Vgl. IX 80.

103. 5. *ἐπετύγχανε — νοέων.* S. z. c. 101.

6. *δοκέειν ἐμοί.* Ueber den absoluten Infin. s. z. c. 30.

8. *ἄγουσαν αὐτοῦ τοὺς παῖδας.* αὐτοῦ (nicht ἑωυτοῦ) weil ἄγουσαν — παῖδας so viel ist wie ἡ ἦγε αὐτοῦ τοὺς παῖδας, also bei ἄγουσαν als Gedankensubject Ἀρτεμισίην vorschwebt.

τοὺς παῖδας. Der Artikel dient öfter dazu, anticipierend auf eine erst im Folg. zu gebende Erläuterung hinzuweisen. S. z. c. 21.

104. 10. *Πηδασέα.* τὰ Πήδασα war eine Stadt Kariens. Vgl. I 175 οἱ Πηδασέες οἰκέοντες ὑπὲρ Ἁλικαρνησοῦ μεσόγαιαν. Verschieden davon ist τὸ Πήδασον (V 121).

φερόμενος οὐ τὰ δεύτερα erg. ἀλλὰ τὰ πρῶτα (Litotes). Der folg. Genet. hängt daher von οὐ τὰ δεύτερα ab, weil dies den Sinn von τὰ πρῶτα hat. Denselben Sinn würde die Wendung οὐδενὸς δὲ δεύτερον τῶν εὐνούχων ausdrücken, wo οὐδενός von dem einen comparativischen Begriff enthaltenden δεύτερον, und εὐνούχων von οὐδενός abhängen würde. Vgl. I 23. Die Wendung φερόμενος οὐ τὰ πρῶτα τῶν εὐνούχων drückt genau dasselbe aus wie c. 105 πάντων εὐνούχων ἐτιμήθη μάλιστα παρὰ Ξέρξῃ. Wovon φέρεσθαι τὰ πρῶτα, τὰ δεύτερα ursprünglich gesagt wird, lehren Stellen wie Hom. Il. ψ 537

(οἱ) δῶμεν ἀέθλιον ὡς ἐπιεικές,
δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω
Τύδεος υἱός.

11. Die Worte *οἱ δὲ Πηδασέες — ἦν* sind in Sprache und Ausdruck höchst verdächtig; auch sachlich erweisen sie sich als eine aus I 175 gefälschte Interpolation. Man vgl. I 175 ἦσαν δὲ Πηδασέες οἰκέοντες ὑπὲρ Ἁλικαρνησοῦ μεσόγαιαν, τοῖσι ὅκως τι μέλλοι ἀνεπιτήδεον ἔσεσθαι, αὐτοῖσί τε καὶ τοῖσι περιοίκοισι, ἡ ἱρείη τῆς Ἀθηναίης πώγωνα μέγαν ἴσχει.

105. 18. *ἤδη* seither ist mit

αὐτὸν ὑπὸ πολεμίων καὶ πωλεόμενον ὠνέεται Πανιώνιος ἀνὴρ Χῖος, ὃς τὴν ζόην κατεστήσατο ἀπ᾽ ἔργων ἀνοσιωτάτων. ὅκως γὰρ κτήσαιτο παῖδας εἴδεος ἐπαμμένους, ἐκτάμνων ἀγινέων ἐπώλεε ἐς Σάρδις τε καὶ Ἔφεσον χρημάτων μεγάλων. παρὰ γὰρ τοῖσι βαρβάροισι τιμιώτεροί εἰσι οἱ εὐνοῦχοι πίστιος εἵνεκεν τῆς πάσης τῶν ἐνορχίων. ἄλλους τε δὴ ὁ Πανιώνιος ἐξέταμε πολλούς, ἅτε ποιεύμενος ἐκ τούτου τὴν ζόην, καὶ δὴ καὶ τοῦτον. καί, οὐ γὰρ τὰ πάντα ἐδυστύχεε ὁ Ἑρμότιμος, ἀπικνέεται ἐκ τῶν Σαρδίων παρὰ βασιλέα μετ᾽ ἄλλων δώρων, χρόνου δὲ προϊόντος πάντων τῶν εὐνούχων ἐτιμήθη μάλιστα
106 παρὰ Ξέρξῃ. Ὡς δὲ τὸ στράτευμα τὸ Περσικὸν ὥρμα βασιλεὺς ἐπὶ τὰς Ἀθήνας ἐὼν ἐν Σάρδισι, ἐνθαῦτα καταβὰς κατὰ δή τι πρῆγμα ὁ Ἑρμότιμος ἐς γῆν τὴν Μυσίην, τὴν Χῖοι μὲν νέμονται, Ἀταρνεὺς δὲ καλέεται, εὑρίσκει τὸν Πανιώνιον ἐνθαῦτα. ἐπιγνοὺς δὲ ἔλεγε πρὸς αὐτὸν πολλοὺς καὶ φιλίους λόγους, πρῶτα μέν οἱ καταλέγων ὅσα αὐτὸς δι᾽ ἐκεῖνον ἔχοι ἀγαθά, δεύτερα δέ οἱ ὑπισχνεόμενος ἀντὶ τούτων ὅσα μιν ἀγαθὰ ποιήσει, ἢν κομίσας τοὺς οἰκέτας οἰκέῃ ἐκείνῃ, ὥστε ὑποδεξάμενον ἄσμενον τοὺς λόγους τὸν Πανιώνιον κομίσαι τὰ τέκνα καὶ τὴν γυναῖκα. ὡς δὲ ἄρα πανοικίῃ μιν περιέλαβε, ἔλεγε ὁ Ἑρμότι-

dem Superlativ zu verbinden. Vgl. c. 106 ὦ πάντων ἀνδρῶν ἤδη μάλιστα ἀπ᾽ ἔργων ἀνοσιοτάτων τὸν βίον κτησάμενε.

2. ζόην κατεστήσατο vitam suam instituit (= victum sibi quaesivit). Unten (7) steht in gleicher Bedeutung ποιέεσθαι τὴν ζόην.

ὅκως κτήσαιτο — ἐπώλεε. S. z. c. 90.

3. εἴδεος ἐπαμμένους. Vgl. I 199 ὅσαι δὲ εἴδεός τε ἐπαμμέναι εἰσὶ καὶ μεγάθεος. ἐφάπτεσθαί τινος eig. attingere aliquid, dann auch soviel wie praeditum esse aliqua re.

ἐκτάμνων und ἀγινέων sind Participia Imperf.

6. τῆς πάσης. πᾶς hat hier die Bedeutung vollständig. Häufig so bei Her. τὴν πᾶσαν (= volle) ἀλήθειαν λέγειν. Vgl. c. 37.

7. ἅτε c. Partic. S. z. c. 69.

8. καί, οὐ γάρ. Ueber γάρ im vorgeschobenen Satze s. z. c. 8.

10. χρόνου προϊόντος. Wie hier VII 197. Vgl. die ähnlichen Wendungen χρόνου προβαίνοντος (V 58), χρόνου περιιόντος (IV 155) u. ähnl.

106. 14. Ἀταρνεὺς δέ. Um die Wiederholung des Relativs zu vermeiden, ist das zweite Glied in selbständiger Satzform angeschlossen. Vgl. auch z. c. 62. Ueber die Landschaft Atarneus vgl. I 160 Ἀταρνεὺς ἐστὶ χῶρος τῆς Μυσίης, Λέσβου ἀντίος.

16. ὅσα — ἔχοι, dagegen unt. ὅσα — ποιήσει. Ueber den Wechsel des Modus s. z. c. 100.

18. τοὺς οἰκέτας. S. z. c. 4.

20. πανοικίῃ cum tota familia auch IX 109.

περιλαβεῖν circumvenire steht in gleicher Bedeutung c. 16.

μος τάδε· Ὦ πάντων ἀνδρῶν ἤδη μάλιστα ἀπ' ἔργων ἀνοσιωτάτων τὸν βίον κτησάμενε, τί σε ἐγὼ κακὸν ἢ αὐτὸς ἢ τῶν ἐμῶν τις ἐργάσατο, ἢ σὲ ἢ τῶν σῶν τινά, ὅτι με ἀντ' ἀνδρὸς ἐποίησας τὸ μηδὲν εἶναι; ἐδόκεές τε θεοὺς λήσειν οἷα ἐμηχανέω τότε. οἵ σε ποιήσαντα ἀνόσια, νόμῳ δικαίῳ χρεόμενοι, ὑπήγαγον ἐς χεῖρας τὰς ἐμάς, ὥστε σε μὴ μέμψασθαι τὴν ἀπ' ἐμέο τοι ἐσομένην δίκην. ὡς δέ οἱ ταῦτα ὠνείδισε, ἀχθέντων τῶν παίδων ἐς ὄψιν ἠναγκάζετο ὁ Πανιώνιος τῶν ἑωυτοῦ παίδων τεσσέρων ἐόντων τὰ αἰδοῖα ἀποτάμνειν, ἀναγκαζόμενος δὲ ἐποίεε ταῦτα. αὐτοῦ τε, ὡς ταῦτα ἐργάσατο, οἱ παῖδες ἀναγκαζόμενοι ἀπέταμνον. Πανιώνιον μέν νυν οὕτω περιῆλθε ἥ τε τίσις καὶ ὁ Ἑρμότιμος.

ΞΕΡΞΗΣ δὲ ὡς τοὺς παῖδας Ἀρτεμισίῃ ἐπέτρεψε ἀπάγειν 107
ἐς Ἔφεσον, καλέσας Μαρδόνιον ἐκέλευσέ μιν τῆς στρατῆς διαλέγειν τοὺς βούλεται, καὶ ποιέειν τοῖσι λόγοισι τὰ ἔργα πειρεόμενον ὁμοῖα. ταύτην μὲν τὴν ἡμέρην ἐς τοσοῦτο ἐγίνετο, τῆς δὲ νυκτὸς κελεύσαντος βασιλέος τὰς νέας οἱ στρατηγοὶ ἐκ τοῦ Φαλήρου ἀπῆγον ὀπίσω ἐς τὸν Ἑλλήσποντον, ὡς τάχεος εἶχε

1. ἤδη beim Superlativ wie c. 105.

3. ἢ σὲ — ἢ τῶν σῶν τινά. Nachdrückliche Wiederholung und Erweiterung des schon einmal gesetzten σὲ (2).

4. τὸ μηδὲν od. οὐδέν wird öfter namentlich in der Dichtersprache von Personen gebraucht. Vgl. Eurip. Ἕκτορα τὸ μηδὲν εἶναι καὶ κακὸν νομίζετε. Doch wird auch das Masculinum in diesem Sinne gebraucht (IX 58).

λήσειν als Subjectsaccusativ ist τοιαῦτα (aus οἷα) zu ergänzen.

6. μέμψασθαι ist in ähnlichem (skoptischem) Sinn von Xen. Hellen. VI 2, 34 gebraucht: εἰ δέ τις μὴ ἀκολουθήσοι, προεῖπε μὴ μέμψεσθαι τὴν δίκην.

11. περιῆλθε = περιέλαβε (s. ob.). Wie hier III 4.

12. τίσις. Die Idee einer rächenden Vergeltung (τίσις = νέμεσις), in welcher Herod. das höhere Walten einer streng richtenden Gottheit erkennt, bewahrheitet sich dem Verf. auch in den Schicksalen anderer hervorragender Männer (Gyges, Krösus, Kambyses u. a.). Vgl. Einl. Bd. I. S. 16 ff.

Die persische Flotte zieht sich zurück, von der hellenischen bis Andros verfolgt. Themistokles Botschaft an Xerxes (Sikinnos) c. 107—110.

107. 14. διαλέγειν = ἀπολέγεσθαι (c. 100) od. ἐκλέγεσθαι (c. 113). Wie hier c. 113.

15. πειρεόμενον stört die Construction; Krüger streicht es wol mit Recht.

16. ταύτην τὴν ἡμέρην (am Tage der Schlacht) schlieszt an c. 89 an.

ἐς τοσοῦτο ἐγίνετο. Dieselbe Wendung c. 125. IX 18. Vgl. auch c. 6 Anf.

18. ὡς τάχεος εἶχε ἕκαστος. Der Genetiv hängt in dieser, wie in der gleichbedeutenden Wendung ὡς ποδῶν ἕκαστος εἶχε (IX 59), von ὡς als einem Adjectivum der Beschaffenheit ab, welches letztere gerade in diesem Sinne öfter mit ἔχειν sich verbunden findet.

ἕκαστος, διαφυλαξούσας τὰς σχεδίας πορευθῆναι βασιλέϊ. ἐπεὶ δὲ ἀγχοῦ ἦσαν Ζωστῆρος πλώοντες οἱ βάρβαροι, ἀνατείνουσι γὰρ ἄκραι λεπταὶ τῆς ἠπείρου, ταύτας ἔδοξάν τε νέας εἶναι καὶ ἔφευγον ἐπὶ πολλόν. χρόνῳ δὲ μαθόντες ὅτι οὐ νέες εἶεν, ἀλλ'
108 ἄκραι, συλλεχθέντες ἐκομίζοντο. Ὡς δὲ ἡμέρη ἐγένετο, ὁρέοντες οἱ Ἕλληνες κατὰ χώρην μένοντα τὸν στρατὸν τὸν πεζὸν ἤλπιζον καὶ τὰς νέας εἶναι περὶ Φάληρον, ἐδόκεόν τε ναυμαχήσειν σφέας, παραρτέοντό τε ὡς ἀλεξησόμενοι. ἐπεὶ δὲ ἐπύθοντο τὰς νέας οἰχωκυίας, αὐτίκα μετὰ ταῦτα ἐδόκεε ἐπιδιώκειν. τὸν μέν νυν ναυτικὸν τὸν Ξέρξεω στρατὸν οὐκ ἐπεῖδον διώξαντες μέχρι Ἄνδρου, ἐς δὲ τὴν Ἄνδρον ἀπικόμενοι ἐβουλεύοντο. Θεμιστοκλέης μέν νυν γνώμην ἀπεδείκνυτο διὰ νήσων τραπομένους καὶ ἐπιδιώξαντας τὰς νέας πλώειν ἰθέως ἐπὶ τὸν Ἑλλήσποντον λύσοντας τὰς γεφύρας. Εὐρυβιάδης δὲ τὴν ἐναντίην ταύτῃ γνώμην ἐτίθετο, λέγων, ὡς εἰ λύσουσι τὰς σχεδίας, τοῦτ' ἂν μέγιστον πάντων σφεῖς κακὸν τὴν Ἑλλάδα ἐργασαίατο. εἰ γὰρ ἀναγκασθείη ἀπολαμφθεὶς ὁ Πέρσης μένειν ἐν τῇ Εὐρώπῃ, πειρῷτο ἂν ἡσυχίην μὴ ἄγειν, ὡς ἄγοντι μέν οἱ ἡσυχίην οὔτε τι προχωρέειν οἷόν τε ἔσται τῶν πρηγμάτων οὔτε τις κομιδὴ τὸ ὀπίσω φανήσεται, λιμῷ τέ οἱ ἡ στρατιὴ διαφθαρέεται, ἐπιχειρέοντι δὲ αὐτῷ καὶ ἔργου ἐχομένῳ πάντα τὰ κατὰ τὴν Εὐρώπην οἷά τε ἔσται προσχωρῆσαι κατὰ πόλις τε καὶ κατ' ἔθνεα, ἤτοι ἁλισκομένων γε ἢ πρὸ τούτου ὁμολογεόντων. τροφήν τε

1. *τὰς σχεδίας*. Ueber diese vgl. VII 36.

πορευθῆναι. Der Infin. locker an *διαφυλαξούσας* angeschlossen (Infin. epexeg.).

2. *Ζωστῆρος*. S. z. c. 93.

4. *ἐπὶ πολλόν* „auf eine weite Strecke hin". Wie hier c. 129.

5. *ἐκομίζοντο*. S. z. c. 21.

108. 6. *κατὰ χώρην*. S. z. c. 73.

7. *περὶ Φάληρον*. Zur Sache vgl. c. 92.

8. *παραρτέοντο*. S. z. c. 76.

11. *Ἄνδρου*, Andros ist eine der Kykladen.

13. *ἰθέως* (auch *ἰθύς*) att. *εὐθέως*.

15. *γνώμην ἐτίθετο*. *γνώμην τίθεσθαι* auch III 80. VII 82. Die ursprünglichere Verbindung ist *τίθεμαι ψῆφον* (c. 123).

16. *σφεῖς* (= *αὐτοί*). Das Personalpronomen ist gesetzt, weil ein besonderer Nachdruck darauf liegt.

17. *ἀπολαμφθείς*. S. z. c. 11.

19. *κομιδή* kann als Verbalsubstantiv die Verbindung mit einem Adverb eingehen (vgl. *κομίζεσθαι τὸ ὀπίσω*). Wie hier IV 134. Anders unt. c. 120 *ἐν τῇ ὀπίσω κομιδῇ*.

20. *τὲ* nach *οὔτε*. S. z. c. 26.

21. *ἔργου ἔχεσθαι*. S. z. c. 11.

22. *κατὰ πόλις*. *κατά* in distributiver Bedeutung wie c. 57.

23. *ἁλισκομένων*. Man erwartete einen anderen Casus (doch s. z. c. 69). Durch den Genet. absol. treten die Participia als zum ganzen Satze gehörige **Bestimmung der Zeit selbständiger** hervor.

ἕξειν σφέας τὸν ἐπέτεον αἰεὶ τῶν Ἑλλήνων καρπόν. ἀλλὰ δοκέειν γὰρ νικηθέντα τῇ ναυμαχίῃ οὐ μενέειν ἐν τῇ Εὐρώπῃ τὸν Πέρσην, ἐατέον ὦν εἶναι φεύγειν, ἐς ὃ ἔλθῃ φεύγων ἐς τὴν ἑωυτοῦ. τὸ ἐνθεῦτεν δὲ περὶ τῆς ἐκείνου ποιέεσθαι ἤδη τὸν ἀγῶνα ἐκέλευε. ταύτης δὲ εἴχοντο τῆς γνώμης καὶ Πελοποννησίων τῶν ἄλλων οἱ στρατηγοί.

109 Ὡς δὲ ἔμαθε ὅτι οὐ πείσει τούς γε πολλοὺς πλώειν ἐς τὸν Ἑλλήσποντον ὁ Θεμιστοκλέης, μεταβαλὼν πρὸς τοὺς Ἀθηναίους (οὗτοι γὰρ μάλιστα ἐκπεφευγότων περιημέκτεον, ὡρμέατό τε ἐς τὸν Ἑλλήσποντον πλώειν καὶ ἐπὶ σφέων αὐτῶν βαλλόμενοι, εἰ ὦλλοι μὴ βουλοίατο) ἔλεγέ σφι τάδε· Καὶ αὐτὸς ἤδη πολλοῖσι παρεγενόμην, καὶ πολλῷ πλέω ἀκήκοα τοιάδε γενέσθαι, ἄνδρας ἐς ἀναγκαίην ἀπειληθέντας νενικημένους ἀναμάχεσθαί τε καὶ ἀναλαμβάνειν τὴν προτέρην κακότητα. ἡμεῖς δὲ (εὕρημα γὰρ εὑρήκαμεν ἡμέας τε αὐτοὺς καὶ τὴν Ἑλλάδα, νέφος τοσοῦτο ἀνθρώπων ἀνωσάμενοι) μὴ διώκωμεν ἄνδρας φεύγοντας. τάδε γὰρ οὐκ ἡμεῖς κατεργασάμεθα, ἀλλὰ θεοί τε καὶ ἥρωες, οἳ ἐφθόνησαν ἄνδρα ἕνα τῆς τε Ἀσίης καὶ τῆς Εὐρώπης βασιλεῦσαι ἐόντα ἀνόσιόν τε καὶ ἀτάσθαλον, ὃς τὰ ἱρὰ καὶ τὰ ἴδια ἐν ὁμοίῳ

1. *ἀλλὰ — γάρ.* Ueber die Bedeutung von ἀλλά s. z. c. 62. Ueber das elliptische ἀλλὰ — γάρ s. z. c. 8. Hier schwebt nach ἀλλά der Gedanke vor: *ἀλλ' ἐᾶτε φεύγειν τὸν Πέρσην*, der gleich nachher in eindringlicher Forderung wiederholt wird (ἐατέον ὦν εἶναι φεύγειν). Genau wie hier c. 109 (ἀλλ' εὖ γὰρ ἔχει).

3. *ἐς ὅ.* Ueber das fehlende ἄν s. z. c. 22.

4. *ἤδη* verb. mit ἐνθεῦτεν. Vgl. c. 98.

5. *ταύτης εἴχοντο τῆς γνώμης.* Ueber ἔχεσθαι c. genet. s. z. c. 11. ἔχεσθαι γνώμης verbindet auch Thuk. I 140. Bei Her. vgl. VI 94. VII 5.

109. 8. *μεταβαλών.* μεταβάλλειν anderer Meinung werden auch c. 22 und IX 6.

10. *καί* heiszt hier nicht: und. *ἐπὶ σφέων αὐτῶν βαλλόμενοι.* ἐφ' ἑαυτοῦ βάλλεσθαι heiszt: in se ipsum aliquid recipere. Wie hier IV 160. V 73.

13. *ἀπειληθέντας.* Vgl. I 24 ἀπειληθέντα ἐς ἀπορίην und IX 34 ἀπειληθέντες ἐς στεινόν.

ἀναμάχεσθαί τε καὶ ἀναλαμβάνειν τ. πρ. κ. Beachte die Bedeutung von ἀνά. Beide Verba verbunden auch V 121 μετὰ δὲ (adverbial) τοῦτο τὸ τρῶμα ἀνέλαβόν τε (= repararunt) καὶ ἀνεμαχέσαντο οἱ Κᾶρες. Aehnlich VII 231.

14. *εὕρημα — εὑρήκαμεν* dieselbe figura etymologica VII 10, IV.

15. *ἡμέας τε αὐτοὺς καὶ τὴν Ἑλλάδα* ist erklärende Bestimmung von εὕρημα.

17. *ἐφθόνησαν.* Dieselbe Anschauung vom Neide der Götter begegnet uns häufig bei Herodot. Vgl. VII 10 V φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν. οὕτω δὴ καὶ στρατὸς πολλὸς ὑπ' ὀλίγου διαφθείρεται κατὰ τοιόνδε· ἐπεάν σφι ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ ἢ βροντήν, δι' ὧν ἐφθάρησαν ἀναξίως ἑωυτῶν. οὐ γὰρ ἐᾷ φρονέειν μέγα ὁ θεὸς ἄλλον ἢ ἑωυτόν. Das Nähere s. Bd. I. Einl. S. 17 ff.

19. *ἐν ὁμοίῳ ἐποιέετο.* Die-

ἐποιέετο ἐμπιπράς τε καὶ καταβάλλων τῶν θεῶν τὰ ἀγάλματα, ὃς καὶ τὴν θάλασσαν ἀπεμαστίγωσε πέδας τε κατῆκε. ἀλλ' εὖ γὰρ ἔχει ἐς τὸ παρεὸν ἡμῖν νῦν μὲν ἐν τῇ Ἑλλάδι καταμείναντας ἡμέων τε αὐτῶν ἐπιμεληθῆναι καὶ τῶν οἰκετέων· καί τις οἰκίην τε ἀναπλασάσθω καὶ σπόρου ἀνακῶς ἐχέτω, παντελέως ἀπελάσας τὸν βάρβαρον· ἅμα δὲ τῷ ἔαρι καταπλώωμεν ἐπὶ Ἑλλησπόντου καὶ Ἰωνίης. Ταῦτα ἔλεγε ἀποθήκην μέλλων ποιήσεσθαι ἐς τὸν Πέρσην, ἵνα ἢν ἄρα τί μιν καταλαμβάνῃ πρὸς Ἀθηναίων πάθος, ἔχῃ ἀποστροφήν· τάπερ ὦν καὶ ἐγένετο.

110 Θεμιστοκλέης μὲν ταῦτα λέγων διέβαλλε, Ἀθηναῖοι δὲ ἐπείθοντο· ἐπειδὴ γὰρ καὶ πρότερον δεδογμένος εἶναι σοφὸς ἐφάνη ἐὼν ἀληθέως σοφός τε καὶ εὔβουλος, πάντως ἑτοῖμοι ἦσαν λέ-

selbe Wendung VII 138. Vgl. ἐν ἐλαφρῷ (erg. λόγῳ) ποιέεσθαι I 118, ἐν οὐδενὶ λόγῳ ποιέεσθαι VII 57.

1. ἐμπιπράς τε καὶ καταβάλλων τ. θ. τὰ ἀγάλματα. Vgl. Aesch. Pers. 811:

οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη
ᾐδοῦντο συλᾶν, οὐδὲ πιμπράναι νεώς·
βωμοὶ δ' ἄϊστοι, δαιμόνων θ' ἱδρύματα
πρόρριζα φύρδην ἐξανέστραπται βάθρων.

2. ἀπεμαστίγωσε. S. VII 35.

ἀλλ' εὖ γάρ. Bei ἀλλά schwebt schon der im Folg. ausgesprochene Gedanke (4): καί τις οἰκίην τε ἀναπλασάσθω vor. Im Uebrigen s. z. c. 108.

3. ἐς τὸ παρεόν (= ἐς τὸ παραυτίκα) „für jetzt“. Wie hier IX 7.

4. τὶς. Bei Aufforderungen, die an mehrere gerichtet sind, wird, wenn sie mehr im allgemeinen ausgesprochen werden sollen, öfter τίς gebraucht, welches in diesem Sinne fast unserem jeder entspricht. Vgl. c. 118 ἄνδρες Πέρσαι, νῦν τις διαδεξάτω ὑμέων βασιλέος κηδόμενος, wo τὶς ὑμέων = ἕκαστος ὑμέων. Vgl. IX 17. 45. 78.

5. οἰκίην ἀναπλάσσειν od. οἰκ. πλάσσειν ist ein ungewöhnlicher Ausdruck. Vom Neste gebraucht das Verbum der Dichter bei Lyk. Leokr. 132 ὄρνις ἣν πλάσῃ δόμον.

ἀνακῶς ἔχειν = ἐπιμελῶς ἔχειν od. ἐπιμελεῖσθαι ist eine seltene Wendung. Wie hier I 24.

7. ἀποθήκην ποιέεσθαι ἔς τινά „sich ein Dankesunterpfand (d. h. ein Pfand zum Beweis des Anspruchs auf Dank) bei jemandem einlegen“. Die Wendung ist ganz gleichbedeutend mit χάριν κατατίθεσθαι (VI 41) Dank (gleichsam als Depositum) für künftigen Gebrauch niederlegen. Vgl. Menand. 295 καλὸν τὸ θησαύρισμα κειμένη χάρις. — Später erinnerte Themistokles den König an den diesem erwiesenen Dienst in seinem bekannten Brief an Xerxes, vgl. Thuk. I 137 καί μοι εὐεργεσία ὀφείλεται — γράψας τὴν ἐκ Σαλαμῖνος προάγγελσιν τὴν ἀναχωρήσεως καὶ τὴν τῶν γεφυρῶν, ἣν ψευδῶς προσεποιήσατο, τότε δι' αὐτὸν οὐ διάλυσιν — καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι πάρειμι.

8. καταλαμβάνεν τινά τι in gleicher Bedeutung IX 93.

9. ἀποστροφή (= καταφυγή) auch II 13.

τάπερ — ἐγένετο. Them. wurde des Medismos angeklagt und 471 v. Chr. durch den Ostrakismos verbannt.

110. 11. δεδογμένος εἶναι σοφός. Vgl. c. 124 Θεμιστοκλέης ἐβώσθη τε καὶ ἐδοξώθη εἶναι ἀνὴρ πολλὸν Ἑλλήνων σοφώτατος.

γοντι πείθεσθαι. ὡς δὲ οὗτοί οἱ ἀνεγνωσμένοι ἦσαν, αὐτίκα μετὰ ταῦτα ὁ Θεμιστοκλέης ἄνδρας ἀπέπεμπε ἔχοντας πλοῖον, τοῖσι ἐπίστευε σιγᾶν ἐς πᾶσαν βάσανον ἀπικνεομένοισι, τὰ αὐτὸς ἐνετείλατο βασιλέϊ φράσαι· τῶν καὶ Σίκιννος ὁ οἰκέτης αὖτις ἐγένετο. οἳ ἐπείτε ἀπίκοντο πρὸς τὴν Ἀττικήν, οἱ μὲν κατέμενον ἐπὶ τῷ πλοίῳ, Σίκιννος δὲ ἀναβὰς παρὰ Ξέρξην ἔλεγε τάδε· Ἔπεμψέ με Θεμιστοκλέης ὁ Νεοκλέος, στρατηγὸς μὲν Ἀθηναίων, ἀνὴρ δὲ τῶν συμμάχων πάντων ἄριστος καὶ σοφώτατος, φράσοντά τοι ὅτι Θεμιστοκλέης ὁ Ἀθηναῖος, σοὶ βουλόμενος ὑπουργέειν, ἔσχε τοὺς Ἕλληνας τὰς νέας βουλομένους διώκειν καὶ τὰς ἐν Ἑλλησπόντῳ γεφύρας λύειν. καὶ νῦν κατ' ἡσυχίην πολλὴν κομίζεο.

111 *Οἱ μὲν ταῦτα σημήναντες ἀπέπλωον ὀπίσω, οἱ δὲ Ἕλληνες, ἐπείτε σφι ἀπέδοξε μήτ' ἐπιδιώκειν ἔτι προσωτέρω τῶν βαρβάρων τὰς νέας, μήτε πλώειν ἐς τὸν Ἑλλήσποντον λύσοντας τὸν πόρον, τὴν Ἄνδρον περικατέατο, ἐξελεῖν ἐθέλοντες. πρῶτοι γὰρ Ἄνδριοι νησιωτέων αἰτηθέντες πρὸς Θεμιστοκλέος χρήματα οὐκ ἔδοσαν, ἀλλὰ προϊσχομένου Θεμιστοκλέος λόγον τόνδε, ὡς ἥκοιεν Ἀθηναῖοι περὶ ἑωυτοὺς ἔχοντες δύο θεοὺς μεγάλους, Πειθώ τε καὶ Ἀναγκαίην, οὕτω τέ σφι κάρτα δοτέα εἶναι χρήματα, ὑπεκρίναντο πρὸς ταῦτα λέγοντες, ὡς κατὰ λόγον ἦσαν ἄρα αἱ Ἀθῆναι μεγάλαι τε καὶ εὐδαίμονες καὶ θεῶν χρηστῶν ἥκοιεν εὖ, ἐπεὶ Ἀνδρίους γε εἶναι γεωπείνας ἐς τὰ μέγιστα ἀνήκοντας,*

1. *οἱ* ist Dativ.
ἀνεγνωσμένοι. S. z. c. 100.
4. *Σίκιννος.* Vgl. c. 75.
12. *κομίζεο.* S. z. c. 21.

Belagerung von Andros. Bestrafung von Paros und Karystos (c. 111. 112).

111. 13. *ἀπέδοξε μήτ' ἐπιδιώκειν.* Vgl. I 152 *ἀπέδοξέ σφι μὴ τιμωρέειν.* Infinitiv mit der Negation nach einem Verb, dessen Begriff eine Verneinung enthält. Vgl. c. 116. 144 (*διακωλύειν μή*) IX 12.
15. *Ἄνδρον.* S. c. 108.
18. *προϊσχομένου.* Ueber *προΐσχεσθαι* s. z. c. 3.
20. *οὕτω δοτέα εἶναι.* Ueber den Wechsel der Construction (*προϊσχομένου λόγον τόνδε ὡς ἥκοιεν Ἀθηναῖοι, οὕτω τέ σφι δοτέα εἶναι*) s. z. c. 84.
ὑπεκρίναντο. *ὑποκρίνεσθαι* gebraucht Her. in der Bedeutung des att. *ἀποκρίνεσθαι.*
21. *κατὰ λόγον* nach Verhältnis, wie II 109. V 8. VII 36.
ἦσαν ἄρα. Ueber *ἄρα* s. z. c. 8. — Zum Wechsel des Modus (*ἦσαν* — *ἥκοιεν*) vgl. c. 100.
22. *θεῶν χρηστῶν ἥκοιεν εὖ.* *εὖ* od. *μεγάλως ἥκω τινός* = ich bin reichlich mit etwas begabt. Vgl. V 62 *χρημάτων εὖ ἥκοντες* und VII 157 *δυνάμιός τε ἥκεις μεγάλως.* Der Genetiv hängt vom Adverb ab.
23. *ἐπεὶ — εἶναι* (*καὶ — ἐκλείπειν*). Man beachte den Wechsel der Structur (vorher: *ὡς ἦσαν — ἥκοιεν*). Vgl. ob. (20). Ueber den Infinitiv nach *ἐπεί* s. z. c. 94.
ἐς τὰ μέγιστα ἀνήκοντας. Vgl. V 49 *ὑμεῖς τε τὰ ἐς τὸν πόλε-*

καὶ θεοὺς δύο ἀχρήστους οὐκ ἐκλείπειν σφέων τὴν νῆσον, ἀλλ' αἰεὶ φιλοχωρέειν, Πενίην τε καὶ Ἀμηχανίην, καὶ τούτων τῶν θεῶν ἐπηβόλους ἐόντας Ἀνδρίους οὐ δώσειν χρήματα· οὐδέκοτε γὰρ τῆς ἑωυτῶν ἀδυναμίης τὴν Ἀθηναίων δύναμιν εἶναι κρέσσω. οὗτοι μὲν δὴ ταῦτα ὑποκρινάμενοι καὶ οὐ δόντες
112 χρήματα ἐπολιορκέοντο. Θεμιστοκλέης δὲ, οὐ γὰρ ἐπαύετο πλεονεκτέων, ἐσπέμπων ἐς τὰς ἄλλας νήσους ἀπειλητηρίους λόγους αἴτεε χρήματα διὰ τῶν αὐτῶν ἀγγέλων, χρεόμενος λόγοισι τοῖσι καὶ πρὸς Ἀνδρίους ἐχρήσατο, λέγων ὡς εἰ μὴ δώσουσι τὸ αἰτεόμενον, ἐπάξει τὴν στρατιὴν τῶν Ἑλλήνων καὶ πολιορκέων ἐξαιρήσει. λέγων ὦν ταῦτα συνέλεγε χρήματα μεγάλα παρὰ Καρυστίων τε καὶ Παρίων, οἳ πυνθανόμενοι τήν τε Ἄνδρον ὡς πολιορκέοιτο διότι ἐμήδισε, καὶ Θεμιστοκλέα ὡς εἴη ἐν αἴνῃ μεγίστῃ τῶν στρατηγῶν, δείσαντες ταῦτα ἔπεμπον χρήματα. εἰ δὲ δή τινες καὶ ἄλλοι ἔδοσαν νησιωτέων, οὐκ ἔχω εἶπαι· δοκέω δέ τινας καὶ ἄλλους δοῦναι καὶ οὐ τούτους μούνους. καίτοι Καρυστίοισί γε οὐδὲν τούτου εἵνεκεν τοῦ κακοῦ ὑπερβολὴ ἐγένετο· Πάριοι δὲ Θεμιστοκλέα χρήμασι ἱλασάμενοι διέφυγον τὸ στράτευμα. Θεμιστοκλέης μέν νυν ἐξ Ἄνδρου ὁρμεόμενος χρήματα παρὰ νησιωτέων ἐκτᾶτο λάθρῃ τῶν ἄλλων στρατηγῶν.

113 Οἱ δ' ἀμφὶ Ξέρξην ἐπισχόντες ὀλίγας ἡμέρας μετὰ τὴν ναυμαχίην ἐξήλαυνον ἐς Βοιωτοὺς τὴν αὐτὴν ὁδόν. ἔδοξε γὰρ

μον ἐς τὰ μέγιστα ἀνήκετε und VII 9 οὐκ ἐς τοῦτο θράσεος ἀνήκει.

3. ἐπήβολος mit Genet. auch IX 94.

οὐδέκοτε — κρέσσω. Zum Gedanken vgl. VII 172 οὐδαμὰ γὰρ ἀδυνασίης ἀνάγκη κρέσσων ἔφυ (= noch niemals hat man jemanden zwingen können, unmögliches zu leisten).

112. 7. ἐς τὰς ἄλλας νήσους, welche die Hellenen nicht bei Salamis unterstützt hatten. Vgl. c. 46.

11. ἐξαιρήσει, αὐτούς, die Bewohner für die Stadt. Vgl. c. 111. IX 86. 87. 117. Wie hier II 30.

12. Καρυστίων. Karystos lag an der Südküste von Euboia, j. Karysto. Vgl. IX 105.

14. αἴνῃ Ansehen, ein mehr dichterisches Wort. Wie hier III 74. τῶν στρατηγῶν Gen. partit.

17. τούτου εἵνεκεν darum d. h. wiewol sie die Forderungen des Themistokles befriedigt hatten.

18. ὑπερβολή = ἀναβολή. Vgl. ὑπερβάλλεσθαι IX 45. 51. Zur Sache vgl. c. 121.

20. λάθρῃ mit Genet. auch IX 90.

Das Landheer zieht unter Mardonios nach Thessalien ab. Rückzug des Xerxes (c. 113—120).

113. 23. ἔδοξε heiszt in Beziehung auf den ersten Infinitiv (προπέμψαι) es schien gut, dagegen in Beziehung auf den zweiten (ἀνωρίην εἶναι) einfach: es schien. Vgl. IX 41.

Μαρδονίῳ ἅμα μὲν προπέμψαι βασιλέα, ἅμα δὲ ἀνωρίην εἶναι τοῦ ἔτεος πολεμέειν, χειμερίσαι δὲ ἄμεινον εἶναι ἐν Θεσσαλίῃ, καὶ ἔπειτεν ἅμα τῷ ἔαρι πειρᾶσθαι τῆς Πελοποννήσου. ὡς δὲ ἀπίκατο ἐς τὴν Θεσσαλίην, ἐνθαῦτα Μαρδόνιος ἐξελέγετο πρώτους μὲν Πέρσας πάντας τοὺς ἀθανάτους καλεομένους, πλὴν Ὑδάρνεος τοῦ στρατηγοῦ (οὗτος γὰρ οὐκ ἔφη λείψεσθαι βασιλέος), μετὰ δὲ τῶν ἄλλων Περσέων τοὺς θωρηκοφόρους καὶ τὴν ἵππον τὴν χιλίην, καὶ Μήδους τε καὶ Σάκας καὶ Βακτρίους τε καὶ Ἰνδούς, καὶ τὸν πεζὸν καὶ τὴν ἵππον. ταῦτα μὲν ἔθνεα ὅλα εἵλετο, ἐκ δὲ τῶν ἄλλων συμμάχων ἐξελέγετο κατ᾽ ὀλίγους, τοῖσι εἴδεά τε ὑπῆρχε διαλέγων, καὶ εἴ τέοισί τι χρηστὸν συνῄδεε πεποιημένον. ἐν δὲ πλεῖστον ἔθνος Πέρσας αἱρέετο, ἄνδρας στρεπτοφόρους τε καὶ ψελιοφόρους, ἐπὶ δὲ Μήδους. οὗτοι δὲ πλῆθος μὲν οὐκ ἐλάσσονες ἦσαν τῶν Περσέων, ῥώμῃ δὲ ἕσσονες· ὥστε σύμπαντας τριήκοντα μυριάδας γενέσθαι σὺν ἱππεῦσι. Ἐν δὲ τούτῳ τῷ χρόνῳ, ἐν τῷ Μαρδόνιός τε 114
τὴν στρατιὴν διέκρινε καὶ Ξέρξης ἦν περὶ Θεσσαλίην, χρηστήριον ἐληλύθεε ἐκ Δελφῶν Λακεδαιμονίοισι, Ξέρξην αἰτέειν δίκας τοῦ Λεωνίδεω φόνου καὶ τὸ διδόμενον ἐξ ἐκείνου δέ-

1. *ἀνωρίην — τοῦ ἔτεος.* Es war schon im Spätjahr; die Schlacht bei Salamis war am 20. Sptbr.

3. *πειρᾶσθαι τοῦ Πελοποννήσου.* Dieselbe Wendung c. 100.

5. *τοὺς ἀθανάτους.* Vgl. VII 83 τῶν δὲ μυρίων τούτων Περσέων τῶν ἀπολελεγμένων ἐστρατήγεε μὲν Ὑδάρνης ὁ Ὑδάρνεος. ἐκαλέοντο δὲ ἀθάνατοι οἱ Πέρσαι οὗτοι ἐπὶ τοῦδε. εἴ τις αὐτῶν ἐξέλιπε τὸν ἀριθμὸν ἢ θανάτῳ βιηθεὶς ἢ νούσῳ ἄλλος ἀνὴρ ἀραίρητο καὶ ἐγίνοντο οὐδαμὰ οὔτε πλεῦνες μυρίων οὔτε ἐλάσσονες.

6. *λείπεσθαί τινος* hinter jemandem zurückbleiben, hier in erster Bedeutung; in übertragener: inferiorem esse aliquo VII 8.

7. *θωρηκοφόρους.* S. VII 61.

8. *τὴν ἵππον τὴν χιλίην.* S. VII 40. Ueber die Meder s. VII 62, über Saker u. Baktrier VII 64, über die Inder VII 65.

10. *κατ᾽ ὀλίγους* „ex singulis sociorum copiis seligebat paucos“. Wie hier IX 102. Ueber κατά in distributiver Bedeutung s. z. c. 57.

11. *εἴδεα.* εἶδος in gleicher Bedeutung wie c. 105. Der Plural wie III 107 σμικροὶ τὰ μεγάθεα, ποικίλοι τὰ εἴδεα.

διαλέγων. S. z. c. 107.

εἴ τέοισί τι — συνῄδεε. Dieser Satz hat die Geltung eines Relativsatzes. σύνοιδά τινί τι heiszt: ich weisz etwas von einem. Vgl. VII 164 (διὰ δικαιοσύνην) τήν οἱ αὐτὸς συνῄδεε ἐοῦσαν. Ebenso IX 58 auch IX 60, wo das Object in einem Participialsatz enthalten ist.

12. *ἐν δέ* adverbial (= in his). S. z. c. 29.

πλεῖστον ἔθνος — αἱρέετο eig. die Perser wählte er als den am zahlreichsten vertretenen Stamm aus d. h. unter den Ausgewählten hatten die Perser verhältnismäszig die meisten geliefert.

13. *ἐπὶ δέ.* Adverbial wie c. 67.

114. 19. *τὸ διδόμενον* „was

κεσθαι. πέμπουσι δὴ κήρυκα τὴν ταχίστην Σπαρτιῆται, ὃς ἐπειδὴ κατέλαβε ἐοῦσαν ἔτι πᾶσαν τὴν στρατιὴν ἐν Θεσσαλίῃ, ἐλθὼν ἐς ὄψιν τὴν Ξέρξεω ἔλεγε τάδε· Ὦ βασιλεῦ Μήδων, Λακεδαιμόνιοί τέ σε καὶ Ἡρακλεῖδαι οἱ ἀπὸ Σπάρτης αἰτέουσι φόνου δίκας, ὅτι σφέων τὸν βασιλέα ἀπέκτεινας ῥυόμενον τὴν Ἑλλάδα. Ὁ δὲ γελάσας τε καὶ κατασχὼν πολλὸν χρόνον, ὥς οἱ ἐτύγχανε παρεστεὼς Μαρδόνιος, δεικνὺς ἐς τοῦτον εἶπε· Τοιγάρ σφι Μαρδόνιος ὅδε δίκας δώσει τοιαύτας, οἵας ἐκεί-
115 νοισι πρέπει. Ὁ μὲν δὴ δεξάμενος τὸ ῥηθὲν ἀπαλλάσσετο, Ξέρξης δὲ Μαρδόνιον ἐν Θεσσαλίῃ καταλιπὼν αὐτὸς ἐπορεύετο κατὰ τάχος ἐς τὸν Ἑλλήσποντον, καὶ ἀπικνέεται ἐς τὸν πόρον τῆς διαβάσιος ἐν πέντε καὶ τεσσεράκοντα ἡμέρῃσι, ἀπάγων τῆς στρατιῆς οὐδὲν μέρος ὡς εἰπεῖν. ὅκου δὲ πορευόμενοι γινοίατο καὶ κατ᾽ οὕστινας ἀνθρώπους, τὸν τούτων καρπὸν ἁρπάζοντες ἐσιτέοντο, εἰ δὲ καρπὸν μηδένα εὕροιεν, οἱ δὲ τὴν ποίην τὴν ἐκ τῆς γῆς ἀναφυομένην καὶ τῶν δενδρέων τὸν φλοιὸν περιλέποντες καὶ τὰ φύλλα καταδρέποντες κατήσθιον, ὁμοίως τῶν τε ἡμέρων καὶ τῶν ἀγρίων, καὶ ἔλειπον οὐδέν· ταῦτα δ᾽ ἐποίευν ὑπὸ λιμοῦ. ἐπιλαβὼν δὲ λοιμός τε τὸν στρατὸν καὶ δυσεντερίη κατ᾽ ὁδὸν διέφθειρε. τοὺς δὲ καὶ νουσέοντας αὐτῶν κατέλιπε, ἐπιτάσσων τῇσι πόλισι, ἵνα ἑκάστοτε γίνοιτο ἐλαύνων, μελεδαίνειν τε καὶ τρέφειν, ἐν Θεσσαλίῃ τέ τινας καὶ ἐν Σίρι

ihnen angeboten werde". In gleichem Sinne steht τὰ διδόμενα c. 137. IX 111.

1. τὴν ταχίστην. S. z. c. 98.

2. κατέλαβε. Vgl. VI 29 ὡς φεύγων τε κατελαμβάνετο ὑπ᾽ ἀνδρὸς Πέρσεω.

6. κατασχών. Das intransitive κατέχειν an sich halten auch V 19 οὐδαμῶς ἔτι κατέχειν οἷός τε ἦν. VI 129 ist ἑωυτόν hinzugefügt (κατεῖχε ἑωυτόν).

8. ἐκείνοισι erg. διδόναι.

115. 9. δεξάμενος τὸ ῥηθέν. Vgl. VIII 137 δεκόμεθα τὰ διδοῖς und IX 91 δέκομαι τὸν οἰωνόν (= accipio omen).

11. κατὰ τάχος adverbial wie c. 141. Dafür ὡς τάχος V 106. Am häufigsten gebraucht Her. in diesem Sinne ὡς τάχιστα und τὴν ταχίστην (c. 98).

13. οὐδέν. Der starke Ausdruck wird durch ὡς εἰπεῖν gemildert. Noch stärker Justin. II 13 ipse cum paucis Abydon contendit. Ubi cum solutum pontem hibernis tempestatibus offendisset, piscatoria scapha trepidus traiecit carens etiam omni servorum ministerio. — Zu dem Ausdruck ὡς εἰπεῖν ist II 21. 53. 134 noch λόγῳ hinzugefügt.

ὅκου mit Optat. in iterativer Bedeutung, wie sonst ὅκως s. z. c. 52.

15. οἱ δέ. Ueber den Gebrauch des δέ in apodosi s. z. c. 22.

19. ἐπιλαβών. VI 27 ist in gleicher Bedeutung ὑπολαβών gebraucht (τοὺς λοιμὸς ὑπολαβὼν ἀπήνεικε).

22. Σίρι. Das paeonische Siris (verschieden von dem italischen s. ob. c. 62) lag am rechten Ufer des Strymon, oberhalb des Prasias-See's. Vgl. V 15.

τῆς Παιονίης καὶ ἐν Μακεδονίῃ. ἔνθα καὶ τὸ ἱρὸν ἅρμα κατα-
λιπὼν τοῦ Διὸς, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἤλαυνε, ἀπιὼν οὐκ ἀπέ-
λαβε, ἀλλὰ δόντες οἱ Παίονες τοῖσι Θρήϊξι ἀπαιτέοντος Ξέρξεω
ἔφασαν νεμομένας ἁρπασθῆναι ὑπὸ τῶν ἄνω Θρηΐκων τῶν
περὶ τὰς πηγὰς τοῦ Στρυμόνος οἰκημένων. Ἔνθα καὶ ὁ τῶν 116
Βισαλτέων βασιλεὺς γῆς τε τῆς Κρηστωνικῆς Θρῆϊξ, ἔργον
ὑπερφυὲς ἐργάσατο. ὃς οὔτε αὐτὸς ἔφη τῷ Ξέρξῃ ἑκὼν εἶναι
δουλεύσειν, ἀλλ᾽ οἴχετο ἄνω ἐς τὸ οὖρος τὴν Ῥοδόπην, τοῖσί
τε παισὶ ἀπηγόρευε μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. οἱ δὲ
ἀλογήσαντες, ἢ ἄλλως σφι θυμὸς ἐγένετο θηήσασθαι τὸν πό-
λεμον, ἐστρατεύοντο ἅμα τῷ Πέρσῃ. ἐπεὶ δὲ ἀνεχώρησαν ἀσι-
νέες πάντες ἓξ ἐόντες, ἐξώρυξε αὐτῶν ὁ πατὴρ τοὺς ὀφθαλμοὺς
διὰ τὴν αἰτίην ταύτην. Καὶ οὗτοι μὲν τοῦτον τὸν μισθὸν ἔλα- 117
βον, οἱ δὲ Πέρσαι ὡς ἐκ τῆς Θρηΐκης πορευόμενοι ἀπίκοντο
ἐπὶ τὸν πόρον, ἐπειγόμενοι τὸν Ἑλλήσποντον τῇσι νηυσὶ διέβη-
σαν ἐς Ἄβυδον· τὰς γὰρ σχεδίας οὐκ εὗρον ἔτι ἐντεταμένας,
ἀλλ᾽ ὑπὸ χειμῶνος διαλελυμένας. ἐνθαῦτα δὲ κατεχόμενοι σι-
τία τε πλέω ἢ κατ᾽ ὁδὸν ἐλάγχανον, οὐδένα τε κόσμον ἐμπι-
πλάμενοι καὶ ὕδατα μεταβάλλοντες ἀπέθνησκον τοῦ στρατοῦ
τοῦ περιεόντος πολλοί. οἱ δὲ λοιποὶ ἅμα Ξέρξῃ ἀπικνέονται

1. ἱρὸν ἅρμα. Vgl. VII 40 ὄπισθε δὲ τούτων τῶν δέκα ἵππων ἅρμα Διὸς ἱρὸν ἐπετέτακτο, τὸ ἵπποι μὲν εἷλκον λευκοὶ ὀκτώ.

4. νεμομένας, sc. ἵππους, was aus ἅρμα zu entnehmen.

5. οἰκημένων. S. z. c. 47.

116. 6. Βισαλτέων. Vgl. VII 115. Κρηστωνικῆς. Die (pelasgischen) Krestonäer waren Nachbarn der Siropaioner (c. 115); sie wohnten zwischen Axios und Strymon an den Quellen des Echeidoros (j. Galliko). Vgl. VII 124.

7. ὑπερφυές steht in gutem Sinne IX 78. Anders hier.

ἑκὼν εἶναι. Der Infinitiv ist für uns pleonastisch wie in den Wendungen τὸ νῦν εἶναι, τὴν πρώτην εἶναι (I 153), τὸ συμπᾶν εἶναι (VII 144). Wie hier c. 30. IX 53.

8. Ῥοδόπην. Rhodope, eins der bedeutenderen Gebirge Thrakiens. Es erstreckt sich im westlichen Thrakien von Nord nach Süd.

9. ἀπηγόρευε μή. Ueber μή s. z. c. 111.

10. ἢ ἄλλως σφι — ἐγένετο. Der Uebergang vom Participium zum Verbum finit. ist hier härter als IX 5 (nach εἴτε — εἴτε) oder c. 136 (nach ἅμα μὲν — ἅμα δέ).

θυμός σφι ἐγένετο steht hier gleichbedeutend mit ἐνθύμιον ἐγένετο (c. 54).

117. 16. σχεδίαι — ἐντεταμέναι. Da Taue die Grundlage des ganzen Brückenbau's bildeten, so nennt Her. die Brücken selbst σχεδίαι ἐντεταμέναι (auch IX 114) oder γέφυραι ἐντεταμέναι (VII 34).

17. κατεχόμενοι. κατέχεσθαι = Halt machen.

18. ἐλάγχανον. λαγχάνειν mit dem (seltneren) Accus. auch VII 53. 144.

οὐδένα τε κόσμον. Der Accus. auch IX 65. Der Dativ ob. c. 60.

118 ἐς Σάρδις. Ἔστι δὲ καὶ ἄλλος ὅδε λόγος λεγόμενος, ὡς ἐπειδὴ Ξέρξης ἀπελαύνων ἐξ Ἀθηνέων ἀπίκετο ἐπ' Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι, ἐνθεῦτεν οὐκέτι ὁδοιπορίῃσι διεχρᾶτο, ἀλλὰ τὴν μὲν στρατιὴν Ὑδάρνεϊ ἐπιτράπει ἀπάγειν ἐς τὸν Ἑλλήσποντον, αὐτὸς δ' ἐπὶ νεὸς Φοινίσσης ἐπιβὰς ἐκομίζετο ἐς τὴν Ἀσίην. πλώοντα δέ μιν ἄνεμον Στρυμονίην ὑπολαβεῖν μέγαν καὶ κυματίην. καὶ δή, μᾶλλον γάρ τι χειμαίνεσθαι γεμούσης τῆς νεὸς ὥστε ἐπὶ τοῦ καταστρώματος ἐπεόντων συχνῶν Περσέων τῶν σὺν Ξέρξῃ κομιζομένων, ἐνθαῦτα ἐς δεῖμα πεσόντα τὸν βασιλέα εἴρεσθαι βώσαντα τὸν κυβερνήτην, εἴ τις ἐστί σφι σωτηρίη. καὶ τὸν εἶπαι· Δέσποτα, οὐκ ἔστι οὐδεμία, ἢν μὴ τούτων ἀπαλλαγή τις γένηται τῶν πολλῶν ἐπιβατέων. καὶ Ξέρξην λέγεται ἀκούσαντα ταῦτα εἶπαι· Ἄνδρες Πέρσαι, νῦν τις διαδεξάτω ὑμέων βασιλέος κηδόμενος· ἐν ὑμῖν γὰρ οἶκε ἐμοὶ εἶναι ἡ σωτηρίη. Τὸν μὲν ταῦτα λέγειν, τοὺς δὲ προσκυνέοντας ἐκπηδᾶν ἐς τὴν θάλασσαν, καὶ τὴν νέα ἐπικουφισθεῖσαν οὕτω δὴ ἀποσωθῆναι ἐς τὴν Ἀσίην. ὡς δὲ ἐκβῆναι τάχιστα ἐς γῆν τὸν Ξέρξην, ποιῆσαι τοιόνδε· ὅτι μὲν ἔσωσε βασιλέος τὴν ψυχήν, δωρήσασθαι χρυσέῳ στεφάνῳ τὸν κυβερνήτην, ὅτι δὲ Περσέων πολλοὺς ἀπώλεσε, ἀποταμεῖν τὴν κεφαλὴν
119 αὐτοῦ. Οὗτος δὲ ἄλλος λέγεται λόγος περὶ τοῦ Ξέρξεω νόστου,

118. 1. ἔστι λόγος λεγόμενος auch c. 119 öft.

2. Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι. Derselbe Zusatz VII 25, da es auch auf Chalkidike eine Stadt dieses Namens gab (Ἠϊὼν ἡ ἐπὶ Θρᾴκης Thuk. IV 7). Näheres über das strymonische Eion s. z. VII 24.

3. ὁδοιπορίῃσι. Ueber den Plural s. z. c. 57.

5. ἐπὶ νεὸς ἐπιβάς, dagegen c. 120 ἐπιβῆναι ἐπὶ τὴν νέα. Derselbe Wechsel V 12. — Ueber ἐκομίζετο s. z. c. 21.

6. Στρυμονίην, derselbe, der VII 189 Βορέης od. Ἑλλησπόντιος heiszt. Es erschwerte dieser Nordwind die Einfahrt in den Hellespont. Zur Sache vgl. Aesch. Agam. v. 179 πνοαὶ ἀπὸ Στρυμόνος μολοῦσαι κακόσχολοι, νήστιδες, δύσορμοι, βροτῶν ἆλαι, νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς.

ὑπολαβεῖν. S. z. c. 96. — Ueber den Wechsel der Structur s. z. c. 84.

7. χειμαίνεσθαι von dem unpersönl. χειμαίνεται (= χειμάζει VII 191) es stürmt.

8. ὥστε — ἐπεόντων συχν. Περσέων. Ueber ὥστε mit Particip. s. z. c. 69.

10. βώσαντα. Ueber die Contraction s. z. c. 92.

13. Ξέρξην λέγεται. Ueber λέγεται mit Acc. c. Inf. s. z. c. 88.

14. τίς. Ueber die Bedeutung s. z. c. 109.

ἐν ὑμῖν. Zur Bedeutung von ἐν vgl. c. 60.

15. προσκυνέοντας. Ueber die προσκύνησις der Perser s. z. VII 136.

17. οὕτω δή. S. z. c. 23.

119. 21. οὗτος δέ. Wiederaufnahme des δέ c. 118 Anf.

οὐδαμῶς ἔμοιγε πιστὸς, οὔτε ἄλλως οὔτε τὸ Περσέων τοῦτο πάθος. εἰ γὰρ δὴ ταῦτα οὕτω εἰρέθη ἐκ τοῦ κυβερνήτεω πρὸς Ξέρξην, ἐν μυρίῃσι γνώμῃσι μίαν οὐκ ἔχω ἀντίξοον, μὴ οὐκ ἂν ποιῆσαι βασιλέα τοιόνδε, τοὺς μὲν ἐκ τοῦ καταστρώματος καταβιβάσαι ἐς κοίλην νέα ἐόντας Πέρσας καὶ Περσέων τοὺς πρώτους, τῶν δ' ἐρετέων ἐόντων Φοινίκων ὅκως οὐκ ἂν ἴσον πλῆθος τοῖσι Πέρσῃσι ἐξέβαλε ἐς τὴν θάλασσαν. ἀλλ' ὁ μὲν, ὡς καὶ πρότερόν μοι εἴρηται, ὁδῷ χρεόμενος ἅμα τῷ ἄλλῳ στρατῷ ἀπενόστησε ἐς τὴν Ἀσίην. Μέγα δὲ καὶ τόδε μαρτύ- 120
ριον· φαίνεται γὰρ Ξέρξης ἐν τῇ ὀπίσω κομιδῇ ἀπικόμενος ἐς Ἄβδηρα, καὶ ξεινίην τέ σφι συνθέμενος καὶ δωρησάμενος αὐτοὺς ἀκινάκῃ τε χρυσέῳ καὶ τιήρῃ χρυσοπάστῳ. καὶ ὡς αὐτοὶ λέγουσι Ἀβδηρῖται, λέγοντες ἔμοιγε οὐδαμῶς πιστὰ, πρῶτον ἐλύσατο τὴν ζώνην φεύγων ἐξ Ἀθηνέων ὀπίσω, ὡς ἐν ἀδείῃ ἐών. τὰ δὲ Ἄβδηρα ἵδρυται πρὸς τοῦ Ἑλλησπόντου μᾶλλον ἢ τοῦ Στρυμόνος καὶ τῆς Ἠϊόνος, ὅθεν δή μίν φασι ἐπιβῆναι ἐπὶ τὴν νέα.

3. *ἐν μυρίῃσι γνώμῃσι — ἀντίξοον* eig. „unter zehntausend Meinungsäusserungen anderer (über diese Erzählung) finde ich nicht eine, die von der meinigen abwiche“ d. h. wenn zehntausend um ihre Meinung befragt würden, so würde sich keiner finden, der mir nicht beistimmte. — Uebrigens ist die ganze Ausdrucksweise ungewöhnlich.

μὴ οὐκ. S. z. c. 57.

5. *κοίλη νηῦς* ist der (untere) Schiffsraum.

6. *ὅκως οὐκ — ἐξέβαλε.* Wechsel der Structur. Wir erwarteten parallel zu *τοὺς μὲν καταβιβάσαι* einfach *τῶν δ' ἐρετέων ἐόντων Φοινίκων ἴσον πλῆθος τοῖσι Πέρσῃσι ἐκβαλεῖν ἐς τὴν θάλασσαν.* Statt dessen ist das zweite Glied (*τῶν δ' ἐρετέων — ἴσον πλῆθος ἐκβαλεῖν*), welches man wie das erste (*τοὺς μὲν καταβιβάσαι*) appositiv an *μὴ οὐκ ἂν ποιῆσαι* angeschlossen erwarten sollte, direct von *μίαν οὐκ ἔχω ἀντίξοον* abhängig gemacht, aber nicht in Form eines (zweiten) Infinitivsatzes (*τῶν δ' ἐρετέων — μὴ οὐκ ἂν ἐκβαλεῖν ἴσον πλῆθος τοῖσι Πέρσῃσι*), wie der erste (*μὴ οὐκ ἂν ποιῆσαι*) erwarten liesz, sondern durch einen mit *ὅκως* eingeleiteten Nebensatz, gleich als ob *ὅκως οὐκ ἂν ἐποίησε* vorausgegangen wäre. — Was die Sache selbst anlangt, so läszt sich gegen Herodots Ansicht einwenden, dasz gerade die geübten phönikischen Ruderer bei dem Sturme am allerwenigsten entbehrt werden konnten.

7. *τοῖσι Πέρσῃσι.* Ueber den Dativ nach *ἴσος* s. z. c. 22.

120. 10. *ἐν τῇ ὀπίσω κομιδῇ.* Zum Ausdruck vgl. c. 108.

11. *Ἄβδηρα.* Abdera lag Thasos gegenüber an der thrakischen Küste. Vgl. VII 108.

ξεινίην — συντιθέμενος. Vgl. I 27 (*Κροῖσος*) *Ἴωσι ξεινίην συνεθήκατο.* Vgl. unt. c. 140 *ὁμαιχμίην συνθέμενοι.*

12. *τιήρῃ.* Sonst pflegte der König als Ehrengeschenk die *στολὴ* (od. *ἐσθής*) *Μηδική* zu verleihen. Vgl. VII 116. III 84.

15. *πρὸς τοῦ Ἑλλησπόντου.* Ueber die Bedeutung von *πρός* s. z. c. 87.

16. *τοῦ Στρυμόνος.* Herodot

121 Οἱ δὲ Ἕλληνες ἐπείτε οὐκ οἷοί τε ἐγένοντο ἐξελεῖν τὴν Ἄνδρον, τραπόμενοι ἐς Κάρυστον καὶ δηϊώσαντες αὐτῶν τὴν χώρην ἀπαλλάσσοντο ἐς Σαλαμῖνα. πρῶτα μέν νυν τοῖσι θεοῖσι ἐξεῖλον ἀκροθίνια ἄλλα τε καὶ τριήρεας τρεῖς Φοινίσσας, τὴν μὲν ἐς Ἰσθμὸν ἀναθεῖναι, ἥπερ ἔτι καὶ ἐς ἐμὲ ἦν, τὴν δὲ ἐπὶ Σούνιον, τὴν δὲ τῷ Αἴαντι αὐτοῦ ἐς Σαλαμῖνα. μετὰ δὲ τοῦτο διεδάσαντο τὴν ληΐην καὶ τὰ ἀκροθίνια ἀπέπεμψαν ἐς Δελφούς, ἐκ τῶν ἐγένετο ἀνδριὰς ἔχων ἐν τῇ χειρὶ ἀκρωτήριον νεός, ἐὼν μέγαθος δυώδεκα πηχέων· ἕστηκε δὲ οὗτος τῇπερ
122 ὁ Μακεδὼν Ἀλέξανδρος ὁ χρύσεος. Πέμψαντες δὲ ἀκροθίνια οἱ Ἕλληνες ἐς Δελφοὺς ἐπειρώτεον τὸν θεὸν κοινῇ, εἰ λελάβηκε πλήρεα καὶ ἀρεστὰ τὰ ἀκροθίνια. ὁ δὲ παρ' Ἑλλήνων

will nachweisen, dasz Xerxes nicht von der Strymonmündung aus nach dem Hellespont gesegelt sein kann, da er erweislich in Abdera gewesen ist, welches dem Hellespont weit näher liegt als der Strymon (=πρὸς τοῦ Ἑλλησπόντου μᾶλλον ἢ τοῦ Στρυμόνος). Wenn dies der richtige Sinn ist — und nach dem Gedankenzusammenhang ist kein anderer denkbar —, so kann nur der durchaus ungewöhnliche Gebrauch des ἢ vor dem comparativischen Genetiv (τοῦ Στρυμόνος καὶ τῆς Ἠϊόνος) befremden, da die Grammatik entweder ἢ ὁ Στρυμὼν καὶ ἡ Ἠϊών od. allein τοῦ Στρυμόνος καὶ τῆς Ἠϊόνος ohne ἢ forderte; es ist dies nur eine Anomalie mehr, deren sich in diesen Capiteln (c. 119. 120), was Sprache und Satzfügung anlangt, mehrere finden; auch ihrem Inhalte nach sind beide Capitel verdächtig.

Auswahl der Weihgeschenke. Verteilung der Beute. Themistokes in Sparta (c. 121—125).

121. 2. *Ἄνδρον.* S. c. 111. — Ueber Karystos s. c. 112.

αὐτῶν auf *Κάρυστον* bezogen. Vgl. V 63 *οἱ δὲ Πεισιστρατίδαι προπυνθανόμενοι ταῦτα ἐπεκαλέοντο ἐκ Θεσσαλίης ἐπικουρίην· ἐπεποίητο γάρ σφι συμμαχίη πρὸς αὐτούς.* Umgekehrt c. 127 (*Ὀλυνθίους*).

5. *ἐς Ἰσθμόν* für den hier verehrten Poseidon (c. 123); auf dem Vorgebirge Sunion hatte Athene einen berühmten Tempel (VII 141).

ἀναθεῖναι ist als finaler Infinitiv frei an *ἐξεῖλον* angeschlossen. Zur Sache vgl. Thuk. II 84.

ἐς ἐμέ. ἐς temporal. Dieselbe Verbindung III 47. VI 42. Eine andere Bedeutung hat *ἐπ' ἐμεῦ* (II 30. 46).

6. *Αἴαντι.* S. z. c. 64.

αὐτοῦ, an dem Stationsort der Flotte.

ἐς Σαλαμῖνα näml. *ἀναθεῖναι.* Die Verbindung *αὐτοῦ ἐς* (häufiger *αὐτοῦ ἐν*) ist ungewöhnlich; *ἐς* ist gesetzt, weil *ἀναθεῖναι* noch vorschwebt.

9. *δυώδεκα πηχέων* ist Prädicatsgenetiv zu *ἀνδριάς*, womit er durch *ἐών* verbunden ist (*ἀνδριὰς ἦν δυώδεκα πηχέων*).

μέγαθος ist Accus. des Bezugs.

10. *Ἀλέξανδρος.* Es war ein Standbild Alexander's I., Königs von Makedonien. Näheres s. z. V 17. Beim ersten Einfall der Perser hatte er sich diesen unterwerfen müssen, beim zweiten (480) unterstützte er insgeheim die Griechen. Er regierte 498—454 v. Chr. Vgl. c. 136. IX 44.

122. 11. *λελάβηκε.* Ueber die Form vgl. Bd. I. S. 40 (s. v. *λαμβάνειν*).

μὲν τῶν ἄλλων ἔφησε ἔχειν, παρ' Αἰγινητέων δὲ οὔ, ἀλλὰ ἀπαίτεε αὐτοὺς τὰ ἀριστήϊα τῆς ἐν Σαλαμῖνι ναυμαχίης. Αἰγινῆται δὲ πυθόμενοι ἀνέθεσαν ἀστέρας χρυσέους, οἳ ἐπὶ ἱστοῦ χαλκέου ἑστᾶσι τρεῖς ἐπὶ τῆς γωνίης, ἀγχοτάτω τοῦ Κροίσου κρητῆρος. Μετὰ δὲ τὴν διαίρεσιν τῆς ληΐης ἔπλωον οἱ Ἕλλη- 123
νες ἐς τὸν Ἰσθμὸν ἀριστήϊα δώσοντες τῷ ἀξιωτάτῳ γενομένῳ Ἑλλήνων ἀνὰ τὸν πόλεμον τοῦτον. ὡς δὲ ἀπικόμενοι αἱ στρατηγοὶ διένεμον τὰς ψήφους ἐπὶ τοῦ Ποσειδέωνος τῷ βωμῷ, τὸν πρῶτον καὶ τὸν δεύτερον κρίνοντες ἐκ πάντων, ἐνθαῦτα πᾶς τις αὐτῶν ἑωυτῷ ἐτίθετο τὴν ψῆφον, αὐτὸς ἕκαστος δοκέων ἄριστος γενέσθαι, δεύτερα δὲ οἱ πολλοὶ συνεξέπιπτον Θεμιστοκλέα κρίνοντες. οἱ μὲν δὴ ἐμουνοῦντο, Θεμιστοκλέης δὲ δευτερηΐοισι ὑπερεβάλλετο πολλόν. Οὐ βουλομένων δὲ 124
ταῦτα κρίνειν τῶν Ἑλλήνων φθόνῳ, ἀλλ' ἀποπλωόντων ἑκά-

2. *τὰ ἀριστήια.* Vgl. c. 93 Anf.

3. *ἀστέρας χρυσέους* zu Ehren der Dioskuren, welche von den durch Sturm und Schiffbruch bedrängten Seeleuten angerufen wurden (Strab. I 48 *οἱ δὲ Διόσκουροι ἐπιμεληταὶ τῆς θαλάττης ἐλέχθησαν καὶ σωτῆρες τῶν πλεόντων*); man glaubte sie nahe, wenn sich auf den Segelstangen Doppelflammen zeigten (das sog. S. Elmsfeuer), die man *ἀστέρες τῶν Διοσκούρων* nannte. „Aus der geschichtlichen Zeit lag ein berühmtes Beispiel der Dioskurenhülfe zur See vor in den Erinnerungen an die Schlacht bei Aegospotamoi, wo das Admiralschiff Lysanders, als es aus dem Hafen gegen die Feinde herausfuhr, zu beiden Seiten von ihren Sternen begleitet wurde. Daher Lysander unter anderen Bildwerken, welche das Andenken an diesen Sieg in Delphi verewigen sollten, auch 2 goldene Sterne als Sinnbilder der Dioskuren geweiht hatte“. (Vgl. Plut. Lys. XII 18. Cic. de divin. I 34. 75.) Der an unserer Stelle erwähnte dritte Stern war vermutlich zu Ehren des Apollo *Δελφίνιος* geweiht, welcher ebenfalls als rettende Meergottheit verehrt wurde.

4. *τῆς γωνίης* sc. *τοῦ προνηίου.* Vgl. I 51 *τοῦ Κροίσου κρητῆρος.* S. I 51.

123. 7. *ἀνά* in temporaler Bedeutung; es drückt eine Verbreitung durch einen Zeitraum hin aus (= während). Häufiger ist *κατά* in diesem Sinne. In localem Sinn drückt *ἀνά* die räumliche Verbreitung aus; vgl. c. 124 (*ἀνὰ πᾶσαν τὴν Ἑλλάδα*).

8. *διένεμον* sc. *τοῖς στρατιώταις* d. h. jeder unter die Soldaten seiner Heeresabteilung.

ἐπὶ τοῦ Ποσειδέωνος τῷ βωμῷ. Poseidon hatte auf dem Isthmus ein Heiligtum.

10. *πᾶς τις.* S. z. c. 109.

ἐτίθετο τὸν ψῆφον. Wie hier III 73. VI 57. S. z. c. 108.

11. *δεύτερα.* Dieser adverbiale Plural (= secundo loco) findet sich häufig bei Herodot. Auch andere Plurale von Pronominaladjectiven wie *τάδε, οὐδέτερα, ὁκότερα* (c. 134) erscheinen fast völlig als Singulare.

συνεξέπιπτον. S. z. c. 49.

13. *δευτερηΐοισι.* Vgl. I 32 *Σόλων μὲν δὴ εὐδαιμονίης δευτερήϊα ἔνεμε τούτοισι.*

124. 14. *ταῦτα* d. i. wem der erste und zweite Preis zu erteilen sei. Zur Sache vgl. Plut. Them. c. 17 *Θεμιστοκλεῖ δὲ καίπερ ἄκοντες ὑπὸ φθόνου τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες.*

στων ἐς τὴν ἑωυτῶν ἀκρίτων, ὅμως Θεμιστοκλέης ἐβώσθη τε καὶ ἐδοξώθη εἶναι ἀνὴρ πολλὸν Ἑλλήνων σοφώτατος ἀνὰ πᾶσαν τὴν Ἑλλάδα. ὅτι δὲ νικέων οὐκ ἐτιμήθη πρὸς τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων, αὐτίκα μετὰ ταῦτα ἐς Λακεδαίμονα ἀπίκετο ἐθέλων τιμηθῆναι. καί μιν Λακεδαιμόνιοι καλῶς μὲν ὑπεδέξαντο, μεγάλως δὲ ἐτίμησαν. ἀριστήϊα μέν νυν ἔδοσαν Εὐρυβιάδῃ ἐλαίης στέφανον, σοφίης δὲ καὶ δεξιότητος Θεμιστοκλέϊ, καὶ τούτῳ στέφανον ἐλαίης. ἐδωρήσαντο δέ μιν ὄχῳ τῷ ἐν Σπάρτῃ καλλιστεύοντι. αἰνέσαντες δὲ πολλὰ, προέπεμψαν ἀπιόντα τριηκόσιοι Σπαρτιητέων λογάδες, οὗτοι οἵπερ ἱππέες καλέονται, μέχρι οὔρων τῶν Τεγεητικῶν, μοῦνον δὴ τοῦτον πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν Σπαρτιῆται προέπεμψαν.

125 Ὡς δὲ ἐκ τῆς Λακεδαίμονος ἀπίκετο ἐς τὰς Ἀθήνας, ἐνθαῦτα Τιμόδημος Ἀφιδναῖος, τῶν ἐχθρῶν μὲν τῶν Θεμιστοκλέος ἐών, ἄλλως δὲ οὐ τῶν ἐπιφανέων ἀνδρῶν, φθόνῳ καταμαργέων ἐνείκεε τὸν Θεμιστοκλέα, τὴν ἐς Λακεδαίμονα ἄπιξιν προφέρων, ὡς διὰ τὰς Ἀθήνας ἔχοι τὰ γέρεα τὰ παρὰ Λακεδαιμονίων, ἀλλ' οὐ δι' ἑωυτόν. ὁ δὲ, ἐπείτε οὐκ ἐπαύετο ταῦτα λέγων ὁ Τιμόδημος, εἶπε· Οὕτω ἔχει τοι· οὔτ' ἂν ἐγὼ ἐὼν Βελβινίτης

1. *ἀκρίτων*. ἄκριτος hier wol activisch zu fassen = keine Entscheidung treffend. Anders III 80.

ἐβώσθη. Vgl. VI 131 καὶ οὕτω Ἀλκμαιωνίδα ἀνεβώσθησαν ἀνὰ πᾶσαν τὴν Ἑλλάδα. Ueber die Form s. z. c. 91.

2. *ἐδοξώθη εἶναι σοφώτατος*. Vgl. c. 110 Θεμ. καὶ πρότερον δεδογμένος εἶναι σοφός.

6. *ἀριστήϊα*. ἀριστήιον Preis der Tapferkeit eig. Lohn der ἀριστεία.

9. *αἰνέσαντες* (näml. οἱ Λακεδαιμόνιοι) ist als Gesamtsubject vorausgeschickt und im Casus appositiv an den in ihm enthaltenen Teil angeschlossen. S. z. c. 44.

10. *τριηκόσιοι — λογάδες*. Die ἱππέες, eine auserlesene Schar von 300 Jünglingen, bildeten die Leibwache des Königs, in deren Mitte der König in die Schlacht zog. Vgl. I 67.

11. *οὔρων τῶν Τεγεητικῶν*. Ueber die Bergstadt Tegĕa s. z. I 65.

Eroberung von Olynth durch Artabazos. Vergebliche Belagerung von Potidaia (c. 126—129).

125. 14. *Ἀφιδναῖος*. Aphidnae war einer der 100 attischen Demen (nicht weit von Dekelea). Vgl. IX 73.

19. *οὕτω ἔχει τοι*. Dieselbe Formel V 1. VII 161.

Βελβινίτης. Belbina, j. St. Georgio, ist eine kleine Insel zwischen dem Vorgebirge Sunion und Aegina, die hier als Beispiel eines unbedeutenden und unbekannten Ortes in Gegensatz zu dem berühmten und mächtigen Athen gesetzt wird. Themistokles gibt nämlich dem Timodemus zu, dasz er die ehrenvolle Aufnahme in Sparta allerdings seiner angesehenen Heimatstadt Athen mit zu danken habe, da ihn die Spartaner, als Angehörigen eines unberühmten Orts, z. B. als Belbiniten, schwerlich so geehrt haben würden; allein er läszt zugleich durchblicken, dasz ihn die

ἐτιμήθην οὕτω πρὸς Σπαρτιητέων, οὔτ᾽ ἂν σύ, ὤνθρωπε, ἐὼν Ἀθηναῖος.

Ταῦτα μέν νυν ἐς τοσοῦτο ἐγένετο, Ἀρτάβαζος δὲ ὁ Φαρ- 126
νάκεος ἀνὴρ ἐν Πέρσῃσι λόγιμος καὶ πρόσθε ἐών, ἐκ δὲ τῶν
Πλαταιικῶν καὶ μᾶλλον ἔτι γενόμενος, ἔχων ἓξ μυριάδας στρα-
τοῦ τοῦ Μαρδόνιος ἐξελέξατο, προέπεμπε βασιλέα μέχρι τοῦ
πόρου. ὡς δὲ ὁ μὲν ἦν ἐν τῇ Ἀσίῃ, ὁ δὲ ὀπίσω πορευόμενος
κατὰ τὴν Παλλήνην ἐγίνετο, ἅτε Μαρδονίου τε χειμερίζοντος
περὶ Θεσσαλίην τε καὶ Μακεδονίην καὶ οὐδέν κω κατεπείγον-
τος ἥκειν ἐς τὸ ἄλλο στρατόπεδον, οὐκ ἐδικαίευ ἐντυχὼν ἀπε-
στεῶσι Ποτιδαιήτῃσι μὴ οὐκ ἐξανδραποδίσασθαί σφεας. οἱ γὰρ
Ποτιδαιῆται, ὡς βασιλεὺς παρεξεληλάκεε καὶ ὁ ναυτικὸς τοῖσι
Πέρσῃσι οἰχώκεε φεύγων ἐκ τῆς Σαλαμῖνος, ἐκ τοῦ φανεροῦ
ἀπέστασαν ἀπὸ τῶν βαρβάρων· ὣς δὲ καὶ ὦλλοι οἱ τὴν Παλ-
λήνην ἔχοντες. Ἐνθαῦτα δὴ ὁ Ἀρτάβαζος ἐπολιόρκεε τὴν Πο- 127
τίδαιαν. ὑποπτεύσας δὲ καὶ τοὺς Ὀλυνθίους ἀπίστασθαι ἀπὸ
βασιλέος, καὶ ταύτην ἐπολιόρκεε. εἶχον δὲ αὐτὴν Βοττιαῖοι οἱ
ἐκ τοῦ Θερμαίου κόλπου ἐξαναστάντες ὑπὸ Μακεδόνων. ἐπεὶ
δέ σφεας εἷλε πολιορκέων, κατέσφαξε ἐξαγαγὼν ἐς λίμνην, τὴν

Spartaner doch zugleich auch in Anbetracht seiner Verdienste so ehrenvoll aufgenommen hätten, da sie ihm (dem Timodemos), wiewol er wie Themistokles Athener sei, dennoch eine solche Ehre nicht erwiesen haben würden. — Nach Plato de republ. p. 330 und Plut. Them. c. 18 war der Schmähende ein Seriphier.

126. 3. *Ἀρτάβαζος.* Vgl. IX 41. 66. 89. Auch VII 66 wird derselbe als Anführer der Chorasmier und Parther erwähnt.

8. *Παλλήνην.* Ueber die Halbinsel Pallene vgl. VII 23; auf ihr lag auch die im Folg. erwähnte korinthische Pflanzstadt Potidaia.

10. *οὐκ ἐδικαίευ.* *δικαιοῦν* steht in gleichem Sinne (= aequum censere) IX. 19. 42.

11. *μὴ οὐκ.* S. z. c. 57.

13. *ἐκ τοῦ φανεροῦ* (= *φανερῶς*). Wie hier IX 1. Die substantivierten Neutra von Adjectiven erhalten öfter in Verbindung mit Präpositionen adverbiale Bedeutung. Vgl. *ἐκ τοῦ ἐμφανέος* III 150, *ἐξ ἀπροσδοκήτου* (= ex improviso) I 191, *ἐκ τῆς ἰθέης* (erg. *ὁδοῦ*) continuo IX 37.

127. 16. *ἀπίστασθαι.* Das Präsens bezeichnet auch das Anheben einer Handlung oder die Vorbereitung derselben in der Gegenwart.

17. *ταύτην* sc. *Ὄλυνθον*, was aus *Ὀλυνθίους* zu entnehmen; umgekehrt c. 121 (*αὐτῶν* auf *Κάρυστον* bezogen). — Olynth, die bedeutendste der griechischen Pflanzstädte an der thrakischen und makedonischen Küste, lag etwa 60 Stadien nördlich von Potidaia. Vgl. VII 122.

Βοττιαῖοι. Sie wohnten ursprünglich am rechten Ufer des unteren Axios (Thuk. II 99. 100); später waren sie durch die Makedoner aus ihren Sitzen vertrieben und in die Chalkidike zurückgedrängt. Vgl. VII 123. — Ueber *ἐξαναστάντες ὑπό* s. z. c. 43.

δὲ πόλιν παραδιδοῖ Κριτοβούλῳ Τορωναίῳ ἐπιτροπεύειν καὶ
128 τῷ Χαλκιδικῷ γένεϊ, καὶ οὕτω Ὄλυνθον Χαλκιδέες ἔσχον. Ἐξελὼν δὲ ταύτην ὁ Ἀρτάβαζος τῇ Ποτιδαίῃ ἐντεταμένως προσεῖχε, προσέχοντι δέ οἱ προθύμως συντίθεται προδοσίην Τιμόξεινος ὁ τῶν Σκιωναίων στρατηγὸς, ὅντινα μὲν τρόπον ἀρχὴν, ἔγωγε οὐκ ἔχω εἰπεῖν (οὐ γὰρ ὦν λέγεται), τέλος μέντοι τοιάδε ἐγίνετο· ὅκως βιβλίον γράψειε ἢ Τιμόξεινος ἐθέλων παρὰ Ἀρτάβαζον πέμψαι ἢ Ἀρτάβαζος παρὰ Τιμόξεινον, τοξεύματος παρὰ τὰς γλυφίδας περιειλίξαντες καὶ πτερώσαντες τὸ βιβλίον ἐτόξευον ἐς συγκείμενον χωρίον. ἐπάϊστος δὲ ἐγένετο ὁ Τιμόξεινος προδιδοὺς τὴν Ποτίδαιαν. τοξεύων γὰρ ὁ Ἀρτάβαζος ἐς τὸ συγκείμενον, ἁμαρτὼν τοῦ χωρίου τούτου βάλλει ἀνδρὸς Ποτιδαιήτεω τὸν ὦμον, τὸν δὲ βληθέντα περιέδραμε ὅμιλος, οἷα φιλέει γίνεσθαι ἐν πολέμῳ, οἳ αὐτίκα τὸ τόξευμα λαβόντες, ὡς ἔμαθον τὸ βιβλίον, ἔφερον ἐπὶ τοὺς στρατηγούς· παρῆν δὲ καὶ τῶν ἄλλων Παλληναίων συμμαχίη. τοῖσι δὲ στρατηγοῖσι ἐπιλεξαμένοισι τὸ βιβλίον καὶ μαθοῦσι τὸν αἴτιον τῆς προδοσίης ἔδοξε μὴ καταπλῆξαι Τιμόξεινον προδοσίῃ τῆς Σκιωναίων πόλιος εἵνεκεν, μὴ νομιζοίατο εἶναι Σκιωναῖοι ἐς τὸν μετέπειτεν

1. *Τορωναίῳ.* Torone lag an der Westseite der Sithonischen Halbinsel. Vgl. VII 22.

2. *τῷ Χαλκιδικῷ γένει.* Die zahlreichen Niederlassungen des euboischen Chalkis hatten der chalkidischen Halbinsel den Namen gegeben.

128. 3. *ἐντεταμένως.* Vgl. VII 53 *ἀντέχεσθαι τοῦ πολέμου ἀντεταμένως.*

5. *Σκιωναίων.* Skione war nächst Potidaia die bedeutendste Stadt der Halbinsel Pallene. Vgl. VII 123.

7. *ὅκως* c. opt. in iterativer Bedeutung. S. z. c. 90.

8. *παρὰ τὰς γλυφίδας* neben den am Ende des Pfeilschaftes eingeschnittenen Kerben, welche den abschnellenden Fingern beim Anspannen der Sehne zum Haltpunct dienten.

9. *πτερώσαντες τὸ βιβλίον,* die Stelle, um welche der auf Bast geschriebene Brief gewickelt war, wurde mit Federn verdeckt.

10. *ἐς συγκείμενον χωρίον.* Vgl. V 50 *ἐπείτε δὲ ἡ κυρίη ἡμέρη ἐγένετο, ἦλθον ἐς τὸ συγκείμενον,* wo *χωρίον* zu ergänzen. Zum Ausdruck vgl. IX 52 *ἐούσης τῆς ὥρης ἐς τὴν συνέκειτό σφι ἀπαλλάσσεσθαι.*

ἐπάϊστος ἐγένετο — προδιδούς. Vgl. II 119 *ἐπάϊστος ἐγένετο τοῦτο ἐργασμένος.*

14. *φιλέειν* = solere, consuesse auch IX 122. In gleicher Bedeutung gebraucht Her. *ἐθέλειν* c. 60.

16. *συμμαχίη* steht als abstractes Substantiv hier in collectivem Sinne statt des Concretum (*σύμμαχοι*). Wie hier I 82 *ἔπεμπε Κροῖσος ἀγγέλους ἐς τὰς συμμαχίας.*

17. *ἐπιλεξαμένοισι.* S. z. c. 22.

18. *καταπλῆξαι προδοσίῃ* = proditionis crimine affligere. Schlechtere Handschriften bieten das matte *καταπλέξαι προδοσίῃ* (proditionis crimine implicare).

χρόνον αἰεὶ προδόται. Ὁ μὲν δὴ τοιούτῳ τρόπῳ ἐπάϊστος ἐγε- 129
γόνεε, Ἀρταβάζῳ δὲ ἐπειδὴ πολιορκέοντι ἐγεγόνεσαν τρεῖς μῆνες, γίνεται ἄμπωτις τῆς θαλάσσης μεγάλη καὶ χρόνον ἐπὶ πολλόν. ἰδόντες δὲ οἱ βάρβαροι τέναγος γενόμενον παρήϊσαν ἐς τὴν Παλλήνην. ὡς δὲ τὰς δύο μὲν μοίρας διοδοιπορήκεσαν, ἔτι δὲ τρεῖς ὑπόλοιποι ἦσαν, τὰς διελθόντας χρῆν ἔσω εἶναι ἐν τῇ Παλλήνῃ, ἐπῆλθε πλημυρὶς τῆς θαλάσσης μεγάλη, ὅση οὐδαμά κω, ὡς οἱ ἐπιχώριοι λέγουσι, πολλάκις γενομένη. οἱ μὲν δὴ νέειν αὐτῶν οὐκ ἐπιστάμενοι διεφθείροντο, τοὺς δὲ ἐπισταμένους Ποτιδαιῆται ἐπιπλώσαντες πλοίοισι ἀπώλεσαν. αἴτιον δὲ λέγουσι Ποτιδαιῆται τῆς τε ῥηχίης καὶ τῆς πλημυρίδος καὶ τοῦ Περσικοῦ πάθεος γενέσθαι τόδε, ὅτι τοῦ Ποσειδέωνος ἐς τὸν νηὸν καὶ τὸ ἄγαλμα τὸ ἐν τῷ προαστείῳ ἠσέβησαν οὗτοι τῶν Περσέων, οἵπερ καὶ διεφθάρησαν ὑπὸ τῆς θαλάσσης. αἴτιον δὲ τοῦτο λέγοντες εὖ λέγειν ἔμοιγε δοκέουσι. τοὺς δὲ περιγενομένους ἀπῆγε Ἀρτάβαζος ἐς Θεσσαλίην παρὰ Μαρδόνιον.

Οὗτοι μὲν οἱ προπέμψαντες βασιλέα οὕτω ἔπρηξαν, ὁ δὲ 130
ναυτικὸς ὁ Ξέρξεω περιγενόμενος, ὡς προσέμιξε τῇ Ἀσίῃ φεύγων ἐκ Σαλαμῖνος καὶ βασιλέα τε καὶ τὴν στρατιὴν ἐκ Χερσονήσου διεπόρθμευσε ἐς Ἄβυδον, ἐχειμέρισε ἐν Κύμῃ. ἔαρος δὲ ἐπιλάμψαντος πρώϊος συνελέγετο ἐς Σάμον· αἱ δὲ τῶν

129. 2. *πολιορκέοντι ἐγεγόνεσαν.* Bei Zeitangaben werden *εἶναι* und *γίγνεσθαι* öfter mit dem Dativ des Particips verbunden. Vgl. I 84 *ἐπειδη τεσσερεσκαιδεκάτη ἐγένετο ἡμέρη πολιορκεομένῳ Κροίσῳ.*
3. *ἐπὶ πολλόν.* S. z. c. 107.
4. *παρήϊσαν.* Beachte *παρά.* Die Barbaren zogen an der die ganze Breite des Isthmus einnehmenden Stadt Potidaia vorbei längs der trocken gelegten Küste.
5. *τὰς δύο.* Weil das Ganze bestimmt ist, so ist auch der Teil bestimmt; daher der Artikel. — Bei *μοίρας* ist *τοῦ τενάγεος* hinzuzudenken.
6. *τὰς διελθόντας χρῆν ἔσω εἶναι* „welche man durchschritten haben muste, um“ u. s. w. Das Relativ gehört also nur zum Participium.
8. *πολλάκις γενομένη, καίπερ πολλάκις γενομένη.* Zur Sache s. z. VII 198.
10. *αἴτιον δὲ τοῦτο λέγοντες.* Her. erkennt in dem Untergange der Tempelschänder das göttliche Strafgericht. Vgl. c. 106.

Ueberwinterung der persischen Flotte bei Kyme. Fahrt nach Samos (Frühjahr 479). Die hellenische Flotte bei Aigina. Leotychides und seine Vorfahren. Fahrt nach Delos (c. 130—132).

130. 17. *οὕτω ἔπρηξαν.* Vgl. III 96 *ὁ μὲν ἐπ' Αἰθίοπας στόλος οὕτω ἔπρηξε.* Ebenso VI 44.
ὁ δὲ ναυτικός näml. *στρατός* (c. 131), was z. B. c. 1. VII 121. 122 hinzugefügt ist. Weit häufiger findet sich *ὁ πεζός* ohne *στρατός* (IX 32).
20. *Κύμη* die bekannte aiolische Niederlassung in Kleinasien (I 149).
21. *ἐπιλάμψαντος.* Vgl. I 190 *καὶ τὸ δεύτερον ἔαρ ὑπέλαμπε* und

νεῶν καὶ ἐχειμέρισαν αὐτοῦ· Περσέων δὲ καὶ Μήδων οἱ πλεῦνες ἐπεβάτευον, στρατηγοὶ δέ σφι ἐπῆλθον Μαρδόντης τε ὁ Βαγαίου καὶ Ἀρταΰντης ὁ Ἀρταχαίου· συνῆρχε δὲ τούτοισι καὶ ἀδελφιδέος αὐτοῦ Ἀρταΰντεω προσελομένου Ἰθαμίτρης. ἅτε δὲ μεγάλως πληγέντες, οὐ προήϊσαν ἀνωτέρω τὸ πρὸς ἑσπέρης, οὐδ' ἐπηνάγκαζε οὐδὲ εἷς, ἀλλ' ἐν τῇ Σάμῳ κατήμενοι ἐφύλασσον τὴν Ἰωνίην μὴ ἀποστῇ, νέας ἔχοντες σὺν τῇσι Ἰάσι τριηκοσίας. οὐ μὲν οὐδὲ προσεδέκοντο τοὺς Ἕλληνας ἐλεύσεσθαι ἐς τὴν Ἰωνίην, ἀλλ' ἀποχρήσειν σφι τὴν ἑωυτῶν φυλάσσειν, σταθμεύμενοι ὅτι σφέας οὐκ ἐπεδίωξαν φεύγοντας ἐκ Σαλαμῖνος, ἀλλ' ἅσμενοι ἀπαλλάσσοντο. κατὰ μέν νυν τὴν θάλασσαν ἑσσωμένοι ἦσαν τῷ θυμῷ, πεζῇ δὲ ἐδόκεον πολλὸν κρατήσειν τὸν Μαρδόνιον. ἐόντες δὲ ἐν Σάμῳ ἅμα μὲν ἐβουλεύοντο, εἴ τι δυναίατο κακὸν τοὺς πολεμίους ποιέειν, ἅμα δὲ
131 *καὶ ὠτακούστεον, ὅκῃ πεσέεται τὰ Μαρδονίου πρήγματα. Τοὺς δὲ Ἕλληνας τό τε ἔαρ γινόμενον ἤγειρε καὶ Μαρδόνιος ἐν Θεσσαλίῃ ἐών. ὁ μὲν δὴ πεζὸς οὔκω συνελέγετο, ὁ δὲ ναυτικὸς ἀπίκετο ἐς Αἴγιναν, νέες ἀριθμὸν δέκα καὶ ἑκατόν. στρατηγὸς δὲ καὶ ναύαρχος ἦν Λευτυχίδης ὁ Μενάρεος τοῦ Ἡγησίλεω*

III 135 *ἐπείτε γὰρ τάχιστα ἡμέρη ἐπέλαμψε.*

αἳ δέ einige. *αἳ δέ* ist gesetzt, als wenn *αἳ μὲν* (*πλεῦνες*) *ἐχειμέρισαν ἐν Κύμῃ* vorangegangen wäre.

2. *Μαρδόντης.* Vgl. VII 80. IX 102.

4. *προσελομένου.* Vgl. IX 10 *προσαιρέεται δὲ ἑωυτῷ Παυσανίης Εὐρυάνακτα* (sc. *στρατηγόν*).

Ἰθαμίτρης. Vgl. IX 102.

5. *πληγέντες*, wie hier von einer Niederlage V 120 *πεσόντων δὲ τῶν πάντων πολλῶν Μιλήσιοι μάλιστα ἐπλήγησαν.*

τὸ πρὸς ἑσπέρης adverbieller Accusativ = westwärts. Wie hier c. 132. Vgl. VII 126 *τὸ πρὸς τὴν ἠῶ* und VII 22 *τὸ πρὸς μεσαμβρίην.*

7. *Ἰάς* adjectivisch wie *Ἑλλάς* (IX 16). Wie hier IV 95 (*ἐπίστασθαι δίαιταν Ἰάδα*).

8. *οὐ μὲν* (= *μὴν*) *οὐδέ* findet sich häufig so verbunden. Vgl. IX 7.

προσεδέκοντο. προσδέκεσθαι mit Acc. c. Inf. wie IX 6.

10. *σταθμεύμενοι. σταθμοῦσθαι* eig. abwägen, dann überlegen, auch urteilen, schlieszen. Häufig mit Dativ verbunden (= aus etwas). Vgl. VII 10. 11. 214. IX 37.

15. *ὅκῃ πεσέεται — πρήγματα.* Vgl. VII 163 *ἐκαραδόκεον τὴν μάχην τῇ πεσέεται.* Anders ob. c. 67 *ἐκαραδόκεον τὸν πόλεμον κῇ ἀποβήσεται.*

131. 16. *τὸ ἔαρ γινόμενον.* S. z. c. 99.

17. *ὁ πεζὸς* sc. *στρατός.* S. z. c. 130.

19. *Λευτυχίδης ὁ Μενάρεος.* Leotychides gehörte zur Familie der Eurypontiden (Prokliden), von der es seit Theopomp (740 v. Chr.) 2 Linien gab, eine ältere regierende (Archidemus, älterer Sohn des Theopomp — Zeuxidemos — Anaxidemus — Archidemus — Hegesikles — Ariston — Demaretus), und eine jüngere, welche zuerst mit Leutychides (491—469 v. Chr.) zur Regierung gelangte; die

τοῦ Ἱπποκρατίδεω τοῦ Λευτυχίδεω τοῦ Ἀναξίλεω τοῦ Ἀρχιδήμου τοῦ Ἀναξανδρίδεω τοῦ Θεοπόμπου τοῦ Νικάνδρου τοῦ Χαρίλλου τοῦ Εὐνόμου τοῦ Πολυδέκτεω τοῦ Πρυτάνιος τοῦ Εὐρυπῶντος τοῦ Προκλέος τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου τοῦ Ἡρακλέος, ἐὼν τῆς ἑτέρης οἰκίης τῶν βασιλέων. οὗτοι πάντες, πλὴν τῶν δυῶν τῶν μετὰ Λευτυχίδην πρώτων καταλεχθέντων, οἱ ἄλλοι βασιλέες ἐγένοντο Σπάρτης. Ἀθηναίων δὲ ἐστρατήγεε Ξάνθιππος ὁ Ἀρίφρονος.
Ὡς δὲ παρεγένοντο ἐς τὴν Αἴγιναν πᾶσαι αἱ νέες, ἀπίκοντο 132
Ἰώνων ἄγγελοι ἐς τὸ στρατόπεδον τῶν Ἑλλήνων, οἳ καὶ ἐς Σπάρτην ὀλίγῳ πρότερον τούτων ἀπικόμενοι ἐδέοντο Λακεδαιμονίων ἐλευθεροῦν τὴν Ἰωνίην· τῶν καὶ Ἡρόδοτος ὁ Βασιληΐδεω ἦν. οἳ στασιῶται σφίσι γενόμενοι ἐπεβούλευον θάνατον Στράττι τῷ Χίου τυράννῳ, ἐόντες ἀρχὴν ἑπτά· ἐπιβουλεύοντες δὲ ὡς φανεροὶ ἐγένοντο ἐξενείκαντος τὴν ἐπιχείρησιν ἑνὸς τῶν μετεχόντων, οὕτω δὴ οἱ λοιποὶ ἓξ ἐόντες ὑπεξέσχον ἐκ τῆς Χίου, καὶ ἐς Σπάρτην τε ἀπίκοντο καὶ δὴ καὶ τότε ἐς τὴν Αἴγιναν, τῶν Ἑλλήνων δεόμενοι καταπλῶσαι ἐς τὴν Ἰωνίην· οἳ προήγαγον αὐτοὺς μόγις μέχρι Δήλου. τὸ γὰρ προσωτέρω πᾶν

Glieder dieser jüngeren Linie waren: Anaxandridas (jüngerer Sohn des Theopomp) — Archidemus — Anaxileos — Leutychides — Hippokratides — Hegesileos (Agis) — Menares — Leutychides. Vgl. die Königsliste der Agiden VII 204.

3. *τοῦ Εὐνόμου τοῦ Πολυδέκτεω*. Anders Pausan. III 7, 2 *Εὐνόμου τε τοῦ Πρυτάνιδος καὶ Πολυδέκτου τοῦ Εὐνόμου βασιλευόντων*.

4. *Εὐρυπῶντος*, nach welchem die ganze Familie benannt wurde. Pausanias und andere schieben hinter ihm noch den *Σόος* ein, als Sohn des Prokles.

5. *ἐὼν τῆς ἑτέρης οἰκίης τ. β.* aus der Familie der Eurypontiden.

6. *πλὴν τῶν δυῶν τῶν μετὰ Λευτυχ. πρώτων καταλεχθέντων*. Nach sonstiger Ueberlieferung waren es nicht die zwei, sondern vielmehr die sieben nächsten Vorfahren des Leotychides (von Anaxandridas bis Menares), welche, weil der jüngeren Linie angehörig (s. z. 1), von der Thronfolge ausgeschlossen waren. Wahrscheinlich ist daher mit Paulmier *ἑπτά* für *δυῶν* zu lesen, eine Aenderung, die auch palaeographisch nicht unwahrscheinlich ist, da *β'* und *ζ'* in den Handschriften auch sonst oft verwechselt sind.

8. *Ξάνθιππος*. Er war der Ankläger des Miltiades nach dem verunglückten Zuge gegen Paros. Vgl. VI 131. 136. VII 33.

132. 12. *Ἡρόδοτος* vielleicht ein Verwandter unseres Historikers und deshalb hier erwähnt.

14. *Στράττις*. Er war unter den ionischen Fürsten, welche den Dareus auf dem Skythenzuge begleiteten (IV 138).

15. *ἐξενείκαντος*. Auch wir gebrauchen unser ausbringen in gleicher Bedeutung. Vgl. III 71 *ἐξοίσει τις πρὸς τὸν μάγον*. Ebenso V 79.

16. *ὑπεξέσχον*. Vgl. VII 74 *ὑπεξέσχε (ὁ Δημάρητος) ἐς Θεσσαλίην*.

δεινὸν ἦν τοῖσι Ἕλλησι οὔτε τῶν χώρων ἐοῦσι ἐμπείροισι, στρατιῆς τε πάντα πλέα ἐδόκεε εἶναι· τὴν δὲ Σάμον ἠπιστέατο δόξῃ καὶ Ἡρακλέας στήλας ἴσον ἀπέχειν. συνέπιπτε δὲ τοιοῦτο ὥστε τοὺς μὲν βαρβάρους τὸ πρὸς ἑσπέρης ἀνωτέρω Σάμου μὴ τολμᾶν καταπλῶσαι καταρρωδηκότας, τοὺς δὲ Ἕλληνας χρηϊζόντων Χίων τὸ πρὸς τὴν ἠῶ κατωτέρω Δήλου. οὕτω δέος
133 τὸ μέσον ἐφύλασσέ σφεων. Οἱ μὲν δὴ Ἕλληνες ἔπλωον ἐς τὴν Δῆλον, Μαρδόνιος δὲ περὶ τὴν Θεσσαλίην ἐχείμαζε. ἐνθεῦτεν δὲ ὁρμεόμενος ἔπεμπε κατὰ τὰ χρηστήρια ἄνδρα Εὐρωπέα γένος, τῷ οὔνομα ἦν Μῦς, ἐντειλάμενος πανταχῇ μιν χρησόμενον ἐλθεῖν, τῶν οἷά τε ἦν σφι ἀποπειρήσασθαι. ὅ τι μὲν βουλό-

2. *ἐδόκεε* mit *ἐοῦσι* durch *τέ* verbunden. S. z. c. 86 Ende.

ἠπιστέατο. Ueber die Bedeutung von *ἐπίστασθαι* s. z. c. 5. Das sonst nicht so mit *ἐπίστασθαι* verbundene *δόξα* hat hier die Bedeutung Vorstellung (od. Einbildung). — Da die Hellenen, namentlich die Athener (V 99), die Aigineten (II 178), ja selbst die Spartaner (III 47) mehrfache kühne Seezüge unternommen hatten, so kann der hier gegen die Hellenen erhobene Vorwurf der Unkenntnis des aegaeischen Meeres und der Aengstlichkeit in Seefahrten unmöglich ernstlich gemeint sein. Vielmehr wählte Herodot den übertriebenen, stark ironisch gefärbten Ausdruck im Unwillen sowol über die Gleichgültigkeit des Hellenen gegen sein Heimatland Ionien wie über die ängstliche Untätigkeit und Zaghaftigkeit der spartanischen Führung.

3. *συνέπιπτε ὥστε.* S. z. c. 15.

4. *τὸ πρὸς ἑσπέρης* adverbial zu nehmen wie im folg. *τὸ πρὸς τὴν ἠῶ.* S. z. c. 130.

6. *τὸ πρὸς τὴν ἠῶ.* Ueber den Accus. (vorher stand *τὸ πρὸς ἑσπέρης*) s. z. c. 85.

οὕτω — σφεων. „Ita quae in medio utrorumque erant, ob illorum metum in tuto fuerunt“.

Mardonios schickt den Karer Mys ab, um die hellenischen Orakel in Lebadeia, Abae, Theben zu befragen (c. 133—135).

133. 8. *ἐχείμαζε.* Häufiger gebraucht Her. in diesem Sinne *χειμερίζειν* (c. 113. 126. 130).

ἐνθεῦτεν ὁρμεόμενος = von dort aus. *ὁρμᾶσθαι ἐκ* heiszt: einen Ort zum Ausgangspunct einer Bewegung nehmen. Vgl. c. 112. 138. In der Verbindung *ἐνθεῦτεν ὁρμεόμενος* ist die Bedeutung von *ὁρμᾶσθαι* fast ganz erloschen, da der Ausdruck nur zur Umschreibung des adverbiellen *ἐνθεῦτεν* dient.

9. *ἔπεμπε κατὰ τὰ χρ. κατά* c. Acc. steht hier zum Ausdruck der räumlichen Verbreitung in dem Sinne von: nach — herum. Vgl. I 30 *περιῆγον τὸν Σόλωνα κατὰ τοὺς θησαυρούς.*

Εὐρωπέα aus Europos, einer Stadt Kariens, wahrscheinlich derselben, welche bei Strabo XIV 636 *Εὔρωμος* heiszt. Vgl. dagegen Pausan. IX 23 *καί ποτε ἄνδρα Εὐρωπέα, ὄνομα δέ οἱ εἶναι Μῦν, τοῦτον ἀποσταλέντα ὑπὸ Μαρδονίου τὸν Μῦν ἐπερέσθαι τε φωνῇ τῇ σφετέρᾳ, καί οἱ χρῆσαι τὸν θεὸν οὐχ ἑλληνίσαντα οὐδὲ αὐτὸν διαλέκτῳ τῇ Καρικῇ.* — Karer werden öfter als Dolmetscher zwischen Persern und Griechen erwähnt (Thuk. VIII 85). Vgl. unt. c. 135.

11. *τῶν* ist gesetzt, als wenn *ἐπὶ πάντα τὰ χρηστήρια* (= *πανταχῇ*) vorausgegangen wäre.

σφι geht auf Mardonios und die Seinen. In ähnlicher Weise ist IX 13 *σφέας* auf Mardonios und die Seinen bezogen.

ἀποπειρήσασθαι. Vgl. I 46

μενος ἐκμαθεῖν πρὸς τῶν χρηστηρίων ταῦτα ἐνετέλλετο, οὐκ
ἔχω φράσαι· οὐ γὰρ ὦν λέγεται· δοκέω δ' ἔγωγε περὶ τῶν
παρεόντων πρηγμάτων καὶ οὐκ ἄλλων πέρι πέμψαι. Οὗτος ὁ 134
Μῦς ἔς τε Λεβάδειαν φαίνεται ἀπικόμενος καὶ μισθῷ πείσας
τῶν ἐπιχωρίων ἄνδρα καταβῆναι παρὰ Τροφώνιον, καὶ ἐς
Ἄβας τὰς Φωκέων ἀπικόμενος ἐπὶ τὸ χρηστήριον. καὶ δὴ καὶ
ἐς Θήβας πρῶτα ὡς ἀπίκετο, τοῦτο μὲν τῷ Ἰσμηνίῳ Ἀπόλλωνι
ἐχρήσατο (ἔστι δὲ, κατάπερ ἐν Ὀλυμπίῃ, ἱροῖσι αὐτόθι χρη-
στηριάζεσθαι), τοῦτο δὲ ξεῖνόν τινα καὶ οὐ Θηβαῖον χρήμασι
πείσας κατεκοίμησε ἐς Ἀμφιάρεω. Θηβαίων δὲ οὐδενὶ ἔξεστι

μετὰ δὲ ταῦτα αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηίων τῶν τε ἐν Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ.

134. 4. *Λεβάδειαν.* Lebadea, eine bekannte Stadt des nordwestlichen Boiotien westlich vom Kopais-See. In späterer Zeit nahm die Stadt an Bedeutung zu und gab unter türkischer Herschaft, wo sie Livadiâ hiesz, der ganzen Provinz den Namen. In der Nähe der Stadt befand sich in einer Felsengrotte das berühmte Orakel des Trophonios, dessen Sitz man noch heute in einer viereckig ausgehauenen Felsenkammer wiederzuerkennen glaubt. Ueber die Entstehung dieses berühmten Orakels im Hain bei Lebadea s. z. II 121. Hier wurde Trophonios als chthonische Gottheit unter dem Namen eines *Ζεὺς Τροφώνιος* verehrt; das Orakel wurde vorzugsweise von Kranken benutzt, welche in den unterirdischen, betäubende Dünste aushauchenden Erdschlund hinabstiegen, um dort Offenbarungen zu erhalten, welche ihnen nachher von den Priestern ausgelegt wurden. Ueber den Hergang im Einzelnen vgl. Paus. IX 39 ff.

6. *Ἄβας.* S. z. c. 27.

ἀπικόμενος könnte unbeschadet der Deutlichkeit fehlen, da es aus dem Vorhergehenden leicht ergänzt werden kann.

7. *τοῦτο μὲν — τοῦτο δέ.* S. z. c. 88.

τῷ Ἰσμηνίῳ Ἀπόλλωνι. Der Tempel des in Theben verehrten ismenischen Apoll lag in der Nähe des Flusses Ismenos, nach welchem er benannt war. Vgl. I 92.

8. *ἱροῖσι* (sc. *καιομένοις*) *χρηστηριάζεσθαι* e victimis, quae mactantur et in ara concremantur, oracula s. rerum futurarum indicia petere. Wie das Orakel des ismenischen Apollo bei Theben, so war auch das des Zeus zu Olympia ein Zeichenorakel, und zwar weissagte man aus dem geschlachteten Opfertier und den Erscheinungen während des Opfers. Die Vorsteher des olympischen Heiligtums war das berühmte Priestergeschlecht der Iamiden (V 44. IX 33). Vgl. Pind. Ol. XIII 2 *ἵνα μάντιες ἄνδρες Ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀρχικεραύνου.*

10. *ἐς Ἀμφιάρεω* sc. *νηόν.* Vgl. I 92 *ἔς τε Δελφοὺς καὶ ἐς τοῦ Ἀμφιάρεω ἀνέθηκε ἀναθήματα.* Ueber den Mythus von Amphiaraos und sein Traum- od. Todtenorakel in dem boiotischen Oropos s. z. I 46. Namentlich wurden derartige Orakel (*νεκυομαντήια* V 92) von Kranken besucht, welche sich in dem Heiligtum zum Schlafe niederlegten, um von den aus der Erde durch Todtenopfer heraufbeschworenen Schattenbildern der Verstorbenen (= *εἴδωλα*), welche den Schlafenden im Traume erschienen, göttliche Offenbarungen zu erhalten. Die dabei im Einzelnen herschenden Gebräuche beschreibt Pausan. I 34, 5.

μαντεύεσθαι αὐτόθι διὰ τόδε· ἐκέλευσέ σφεας ὁ Ἀμφιάρεως
διὰ χρηστηρίων ποιεύμενος ὁκότερα βούλονται ἑλέσθαι τούτων,
ἑωυτῷ ἢ ἅτε μάντι χρέεσθαι ἢ ἅτε συμμάχῳ, τοῦ ἑτέρου ἀπε-
χομένους· οἱ δὲ σύμμαχόν μιν εἵλοντο εἶναι. διὰ τοῦτο μὲν
135 οὐκ ἔξεστι Θηβαίων οὐδενὶ αὐτόθι ἐγκατακοιμηθῆναι. Τόδε
δὲ θῶμά μοι μέγιστον γενέσθαι λέγεται ὑπὸ Θηβαίων, ἐλθεῖν
ἄρα τὸν Εὐρωπέα Μῦν, περιστρωφώμενον πάντα τὰ χρηστή-
ρια, καὶ ἐς τοῦ Πτώου Ἀπόλλωνος τὸ τέμενος. τοῦτο δὲ τὸ
ἱρὸν καλέεται μὲν Πτῷον, ἔστι δὲ Θηβαίων, κέεται δὲ ὑπὲρ
τῆς Κωπαΐδος λίμνης πρὸς οὔρεϊ ἀγχοτάτω Ἀκραιφίης πόλιος.
ἐς τοῦτο τὸ ἱρὸν ἐπείτε παρελθεῖν τὸν καλεόμενον τοῦτον Μῦν,
ἕπεσθαί οἱ τῶν ἀστῶν αἱρετοὺς ἄνδρας τρεῖς ἀπὸ τοῦ κοινοῦ
ὡς ἀπογραψομένους τὰ θεσπιέειν ἔμελλε. καὶ πρόκατε τὸν
πρόμαντιν βαρβάρῳ γλώσσῃ χρᾶν καὶ τοὺς μὲν ἑπομένους τῶν
Θηβαίων ἐν θώματι ἔχεσθαι ἀκούοντας βαρβάρου γλώσσης
ἀντὶ Ἑλλάδος, οὐδὲ ἔχειν ὅ τι χρήσονται τῷ παρεόντι πρήγματι,

1. *μαντεύεσθαι* (= χρᾶσθαι) auch c. 36.

ἐκέλευσέ σφεας, es schwebt ἑλέσθαι vor (vgl. im Folg. ὁκότερα βούλονται ἑλέσθαι τούτων).

2. *διὰ χρηστηρίων ποιεύμενος*. Vgl. VI 4 μετὰ δὲ ὁ Ἱστιαῖος δι' ἀγγέλου ποιεύμενος (= betreibend) τοῖσι ἐν Σάρδισι ἐοῦσι Περσέων ἔπεμπε βίβλια.

ὁκότερα. Ueber den Plural s. z. c. 123 (δεύτερα).

4. *εἵλοντο εἶναι*. Der Infinitiv ist für uns pleonastisch. Vgl. V 25 Δαρεῖος ἀπέδεξε Ὀτανέα στρατηγὸν εἶναι τῶν παραθαλασσίων ἀνδρῶν.

135. 7. *ἄρα* (= nämlich) dient zur Einleitung der im Folgend. gegebenen Erklärung des θῶμα. S. z. c. 8.

8. *Πτώου*. S. die folgende Anmerkung.

10. *Ἀκραιφίης*. Ruinen der Stadt finden sich noch heute bei dem albanischen Flecken Karditza; die alte Stadt lag unmittelbar am Fusz des Ptoischen Gebirges, welches sich vom südöstlichen Ufer der Kopais südlich nach der Küste hinzieht. In der Nähe der Stadt lag das Heiligtum des Ptoischen Apollon, welcher sonach einem altboiotischen Stammheros Ptoos, dem Sohn des Athamas und der Themisto, benannt sein sollte.

11. *ἐπείτε παρελθεῖν*. Ueber den Infin. s. z. c. 94.

12. *τῶν ἀστῶν*, τῶν Θηβαίων (s. unt. 14 f.).

ἀπὸ τοῦ κοινοῦ. Vgl. V 109 ἡμέας ἀπέπεμψε τὸ κοινὸν τῶν Ἰώνων. τὸ κοινόν steht in gleicher Bedeutung IX 117.

13. *ἔμελλε*, ὁ θεός.

πρόκατε. S. z. c. 65.

τὸν πρόμαντιν = τὸν προφήτην. S. z. c. 36 u. unten τὰ λεγόμενα ὑπὸ τοῦ προφήτου γράφειν ἐς αὐτήν.

15. *ἐν θώματι ἔχεσθαι*. Vgl. IX 37 τοὺς δὲ ἐν θώματι μεγάλῳ ἐνέχεσθαι. Ueber die passive Bedeutung von ἔχεσθαι s. z. c. 52.

16. *Ἑλλάδος*. Ἑλλάς adjectivisch ist mehr dichterisch. S. z. c. 87.

ὅ τι χρήσονται τῷ παρ. πρ. Die substantivierten Neutra der Pronominaladjective im Accus. haben oft adverbiale Bedeutung (ὅ τι = ὡς). Vgl. I 210 ἐγώ τοι παραδίδωμι χρᾶσθαι παιδὶ τοῦτο (= οὕτω) ὅ τι σὺ βούλεαι. Die ganze

τὸν δὲ Εὐρωπέα νῦν ἐξαρπάσαντα παρ' αὐτῶν τὴν ἐφέροντο δέλτον, τὰ λεγόμενα ὑπὸ τοῦ προφήτεω γράφειν ἐς αὐτήν, φάναι δὲ Καρίῃ μιν γλώσσῃ χρᾶν, συγγραψάμενον δὲ οἴχεσθαι ἀπιόντα ἐς Θεσσαλίην.

136 Μαρδόνιος δὲ ἐπιλεξάμενος ὅτι δὴ ἦν λέγοντα τὰ χρηστήρια, μετὰ ταῦτα ἔπεμψε ἄγγελον ἐς Ἀθήνας Ἀλέξανδρον τὸν Ἀμύντεω ἄνδρα Μακεδόνα, ἅμα μὲν ὅτι οἱ προσκηδέες οἱ Πέρσαι ἦσαν (Ἀλεξάνδρου γὰρ ἀδελφεὴν Γυγαίην, Ἀμύντεω δὲ θυγατέρα, Βουβάρης ἀνὴρ Πέρσης ἔσχε, ἐκ τῆς οἱ ἐγεγόνεε Ἀμύντης ὁ ἐν τῇ Ἀσίῃ, ἔχων τὸ οὔνομα τοῦ μητροπάτορος, τῷ δὴ ἐκ βασιλέος τῆς Φρυγίης ἐδόθη Ἀλάβανδα πόλις μεγάλη νέμεσθαι), ἅμα δὲ ὁ Μαρδόνιος πυθόμενος ὅτι πρόξεινός τε εἴη καὶ εὐεργέτης ὁ Ἀλέξανδρος ἔπεμπε. τοὺς γὰρ Ἀθηναίους οὕτω ἐδόκεε μάλιστα προσκτήσεσθαι, λεών τε πολλὸν ἄρα ἀκούων εἶναι καὶ ἄλκιμον, τά τε κατὰ τὴν θάλασσαν συντυχόντα σφι παθήματα κατεργασαμένους μάλιστα Ἀθηναίους ἠπίστατο. τούτων δὲ προσγενομένων κατήλπιζε εὐπε-

Wendung auch VI 52 *ἀπορέοντες δὲ ἔπεμψαν ἐς Δελφοὺς ἐπειρησόμενοι ὅ τι χρήσονται τῷ πρήγματι* (= wie sie die Sache machen sollten).

136. 4. *ἐπιλεξάμενος.* S. z. c. 22.

5. *Ἀλέξανδρον.* S. z. c. 121.

8. *Βουβάρης.* Herodot nimmt hier das V 19—21 von ihm Erzählte auf.

ἔσχε sc. *γυναῖκα*, was an anderen Stellen hinzugefügt ist (I 60. 146 öft.). Wie hier ohne *γυναῖκα* auch III. 68. 88.

10. *τῆς Φρυγίης.* Ueber die Stellung s. z. c. 94.

Ἀλάβανδα. Eine phrygische Stadt dieses Namens ist nicht bekannt; wol aber gab es ein Alabanda in Karien (VII 195). Stephan. Byz. p. 97 scheint hier *Ἀλάβαστρα* gelesen zu haben (*Ἀλάβαστρα πόλις Φρυγίας. Ἡρόδοτος*).

11. *ἅμα δὲ — πυθόμενος.* Wechsel der Structur. Wir erwarteten: *ἅμα δὲ ὅτι ἐπύθετο*, da *ἅμα μὲν ὅτι — ἦσαν* (ob. 6) vorhergegangen. S. z. c. 116.

12. *πρόξεινος* findet sich als Ehrentitel öfter mit *εὐεργέτης* (s. z. c. 85) verbunden. Vgl. Xen. Hell. VI 1, 4 *ἐγώ, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρόξενος ὑμῶν ὢν καὶ εὐεργέτης ἐκ πάντων τῶν μεμνήμεθα προγόνων.* — *πρόξενοι* „Staatsgastfreunde" hieszen diejenigen Männer, welche die griechischen Staaten, so vor allen Athen, in einem anderen Staate aus der Zahl der Bürger dieses Staats zu Vertretern seiner Interessen ernannte; sie sind den Consuln der neueren Zeit vergleichbar. Für die *προξενία* erhielten sie bestimmte Vorrechte und sonstige Auszeichnungen in dem Staate, von welchem sie gewählt waren. Vgl. IX 85. — Verschieden von den *πρόξενοι* der übrigen hellenischen Staaten waren die *πρόξενοι* Sparta's (VI 57).

ἔπεμπε nimmt der Deutlichkeit halber das allzu weit entfernte *ἔπεμψε* (ob. 5) wieder auf.

14. *πολλὸν ἄρα.* Ueber die Bedeutung von *ἄρα* s. z. c. 8.

16. *ἠπίστατο* mit einem Participium (*ἀκούων*) durch *τέ* verbunden. Derselbe Uebergang vom Partic. zum Verbum finitum c. 86. 132. Ueber die Bedeutung von *ἐπίστασθαι* s. z. c. 5.

κατήλπιζε. Ueber das ver-

τέως τῆς θαλάσσης κρατήσειν, τάπερ ἂν καὶ ἦν, πεζῇ τε ἐδόκεε πολλὸν εἶναι κρέσσων. οὕτω τε ἐλογίζετο κατύπερθέ οἱ τὰ πρήγματα ἔσεσθαι τῶν Ἑλληνικῶν. τάχα δ' ἂν καὶ τὰ χρηστήρια ταῦτά οἱ προλέγοι, συμβουλεύοντα σύμμαχον τὸν Ἀθηναῖον ποιέεσθαι· τοῖσι δὴ πειθόμενος ἔπεμπε.

137 ΤΟΥ ΔΕ Ἀλεξάνδρου τούτου ἕβδομος γενέτωρ Περδίκκης ἐστὶ ὁ κτησάμενος τῶν Μακεδόνων τὴν τυραννίδα τρόπῳ τοιῷδε· ἐξ Ἄργεος ἔφυγον ἐς Ἰλλυριοὺς τῶν Τημένου ἀπογόνων τρεῖς ἀδελφεοὶ, Γαυάνης τε καὶ Ἀέροπος καὶ Περδίκκης, ἐκ δὲ Ἰλλυριῶν ὑπερβαλόντες ἐς τὴν ἄνω Μακεδονίην ἀπίκοντο ἐς Λεβαίην πόλιν. ἐνθαῦτα δὲ ἐθήτευον ἐπὶ μισθῷ παρὰ τῷ βασιλέϊ, ὁ μὲν ἵππους νέμων, ὁ δὲ βοῦς, ὁ δὲ νεώτατος αὐτῶν Περδίκκης τὰ λεπτὰ τῶν προβάτων. ἦσαν δὲ τὸ πάλαι καὶ αἱ τυραννίδες τῶν ἀνθρώπων ἀσθενέες χρήμασι, οὐ μοῦνον ὁ δῆμος. ἡ δὲ γυνὴ τοῦ βασιλέος αὐτὴ τὰ σιτία σφι ἔπεσσε. ὅκως δὲ ὀπτῷτο ὁ ἄρτος τοῦ παιδὸς τοῦ θητὸς, τοῦ Περδίκκεω, διπλήσιος ἐγί-

stärkende κατά s. z. c. 4 (καταδοκέειν).

2. κατύπερθε ἔσεσθαι. S. z. c. 19.

3. τάχα δ' ἂν προλέγοι. Bei Herod. wird öfter durch den Optativ des Präsens (in Verbindung mit ἄν) eine Vermutung oder ein Urteil über etwas Vergangenes ausgesprochen. Vgl. I 2 εἴησαν δ' ἂν οὗτοι Κρῆτες „es mögen das wol Kreter gewesen sein". Ebenso V 59.

Ursprung des makedonischen Herscherhauses (c. 137—139).

137. 6. ἕβδομος von Alexander ab rückwärts und diesen selbst mit eingerechnet (Alexander — Amyntas — Alcetas — Aeropus — Philippus — Argaeus — Perdikkas). Vgl. c. 139 und Thuk. II 99. Dieselbe Art der Zählung I 91. — Nach anderen war nicht Perdikkas (um 700 v. Chr.), sondern Karānos der Stifter des makedonischen Reichs (Theopomp. fr. 30. Justin. VII 1. 2), welchem Koinos und Tyrimmas, und darauf erst Perdikkas gefolgt sein sollten.

8. Τημένου. Bei der Eroberung der Peloponnes durch die Herakliden erhielt Temenos Argos, wo seine Nachkommen die Herschaft behaupteten. Temeniden (Herakliden) galten auch für die (mythischen?) Gründer des makedonischen Reichs (V 22. Justin. VII 1). S. z. c. 43.

9. ἐκ δὲ Ἰλλυριῶν ὑπερβαλόντες, über das Skardosgebirge (j. Nissawa-Gora), welches Illyrien von Makedonien trennt.

10. ἐς τὴν ἄνω Μακεδονίην, in die nördlichsten Landschaften Makedoniens. — Die Stadt Lebaia ist sonst nicht weiter bekannt; sie musz im oberen Tale des Haliakmon gelegen haben.

11. παρὰ τῷ βασιλέϊ, bei dem damaligen König Makedoniens.

13. τὰ λεπτὰ τῶν προβάτων. τὰ πρόβατα bezeichnet alle Arten von Kleinvieh, wie Schafe, Ziegen, besonders im Gegensatz zu Rindern und Pferden. Ganz wie hier I 133.

τὸ πάλαι = τὸ παλαιόν (c. 31).

14. ἀσθενέες χρήμασι. Vgl. II 88 οἱ χρήμασι ἀσθενέστεροι.

15. ὅκως c. opt. in iterativer Bedeutung. S. z. c. 52.

16. διπλήσιος — ἑωυτοῦ

νετο αὐτὸς ἑωυτοῦ. ἐπεὶ δὲ αἰεὶ τὠυτὸ τοῦτο ἐγίνετο, εἶπε πρὸς τὸν ἄνδρα τὸν ἑωυτῆς. τὸν δὲ ἀκούσαντα ἐσῆλθε αὐτίκα ὡς εἴη τέρας καὶ φέροι ἐς μέγα τι. καλέσας δὲ τοὺς θῆτας προηγόρευέ σφι ἀπαλλάσσεσθαι ἐκ τῆς ἑωυτοῦ. οἱ δὲ τὸν μισθὸν ἔφασαν δίκαιοι εἶναι ἀπολαβόντες οὕτω ἐξιέναι. ἐνθαῦτα ὁ βασιλεὺς τοῦ μισθοῦ πέρι ἀκούσας, ἦν γὰρ κατὰ τὴν καπνοδόκην ἐς τὸν οἶκον ἐσέχων ὁ ἥλιος, εἶπε θεοβλαβὴς γενόμενος· Μισθὸν δὲ ὑμῖν ἐγὼ ὑμέων ἄξιον τόνδε ἀποδίδωμι, δέξας τὸν ἥλιον. ὁ μὲν δὴ Γαυάνης τε καὶ ὁ Ἀέροπος οἱ πρεσβύτεροι ἕστασαν ἐκπεπληγμένοι, ὡς ἤκουσαν ταῦτα, ὁ δὲ παῖς, ἐτύγχανε γὰρ ἔχων μάχαιραν, εἴπας τάδε, Δεκόμεθα, ὦ βασιλεῦ, τὰ διδοῖς, περιγράφει τῇ μαχαίρῃ ἐς τὸ ἔδαφος τοῦ οἴκου τὸν ἥλιον, περιγράψας δὲ, ἐς τὸν κόλπον τρὶς ἀρυσάμενος τοῦ ἡλίου,
ἀπαλλάσσετο αὐτός τε καὶ οἱ μετ' ἐκείνου. Οἱ μὲν δὴ ἀπήϊσαν, 138
τῷ δὲ βασιλέϊ σημαίνει τις τῶν παρέδρων, οἷόν τι χρῆμα ποιήσειε ὁ παῖς καὶ ὡς σὺν νόῳ ἐκείνων ὁ νεώτατος λάβοι τὰ διδόμενα. ὁ δὲ ταῦτα ἀκούσας καὶ ὀξυνθεὶς πέμπει ἐπ' αὐτοὺς ἱππέας ἀπολέοντας. ποταμὸς δέ ἐστι ἐν τῇ χώρῃ ταύτῃ, τῷ θύουσι οἱ τούτων τῶν ἀνδρῶν ἀπ' Ἄργεος ἀπόγονοι σωτῆρι.

„noch einmal so grosz als gewöhnlich“ (=ἑωυτοῦ). Ueber den Genetiv nach dem comparativischen διπλήσιος s. z. c. 86.

2. *τὸν δὲ — ἐσῆλθε.* ἐσελθεῖν wie hier construiert VII 46 ἐσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι, ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος. Anders III 14 αὐτῷ δὲ Καμβύσῃ ἐσελθεῖν οἶκτόν τινα.

3. *φέρειν ἐς* spectare ad aliquid. Vgl. I 9 τοῦτο ἐς αἰσχύνην φέρει. Ebenso III 133. Vgl. auch c. 142. IX 33.

5. *ἀπολαβόντες.* ἀπολαμβάνειν heiszt: Geschuldetes (= ἀπό) in Empfang nehmen. Vgl. im Folg. (8) ἀποδίδωμι und I 2 ἀπαιτέειν.

οὕτω hebt den Begriff von ἀπολαβόντες nachdrücklich hervor. S. z. c. 23.

6. *ἦν γάρ.* Ueber γάρ im vorgeschobenen Satze s. z. c. 5.

κατὰ τὴν καπνοδόκην. κατά steht hier zum Ausdruck der räumlichen Verbreitung in dem Sinne von durch — hin. Aehnlich ob. c. 133.

8. *μισθὸν δέ.* δέ setzt die (ablehnende) Antwort der Forderung entgegen; δέ findet sich häufig im Anfang des Satzes, ohne dasz die adversative Bedeutung dieser Partikel deutlich hervortritt; ähnlich wird ἀλλά gebraucht (c. 77).

δέξας (att. δείξας) ist Zusatz Herodots.

11. *δεκόμεθα.* S. z. c. 115 Anf.

13. *τοῦ ἡλίου* erg. τί. Genetiv von dem unbestimmten Teile eines Ganzen. Vgl. Arist. Nub. 272 ὑδάτων ἀρύεσθε.

138. 15. *σημαίνει τις τῶν παρέδρων.* Die Wortstellung ist ungewöhnlich. S. z. c. 90.

16. *σὺν νόῳ* wie c. 86.

τὰ διδόμενα. S. z. c. 114.

18. *ποταμὸς δέ*, wahrscheinlich einer der Nebenflüsse des Axios, vielleicht der Erigon od. Haliakmon.

19. *ἀπ' Ἄργεος* ist attributivisch

οὗτος, ἐπείτε διέβησαν οἱ Τημενίδαι, μέγας οὕτω ἐρρύη ὥστε τοὺς ἱππέας μὴ οἵους τε γενέσθαι διαβῆναι. οἱ δὲ ἀπικόμενοι ἐς ἄλλην γῆν τῆς Μακεδονίης οἴκησαν πέλας τῶν κήπων τῶν λεγομένων εἶναι Μίδεω τοῦ Γορδίεω, ἐν τοῖσι φύεται αὐτόματα ῥόδα, ἓν ἕκαστον ἔχον ἑξήκοντα φύλλα, ὀδμῇ τε ὑπερφέροντα τῶν ἄλλων. ἐν τούτοισι καὶ ὁ Σιληνὸς τοῖσι κήποισι ἥλω, ὡς λέγεται ὑπὸ Μακεδόνων. ὑπὲρ δὲ τῶν κήπων οὖρος κέεται, Βέρμιον οὔνομα, ἄβατον ὑπὸ χειμῶνος. ἐνθεῦτεν δὲ

mit τούτων τῶν ἀνδρῶν zu verbinden. Zur Sache vgl. c. 137 Anf.

1. μέγας ist prädikativisch an ἐρρύη angefügt.

3. οἴκησαν (= habitarunt) absolut wie IV 105. 108.

πέλας τῶν κήπων — Μίδεω. Der aus der Dionysossage bekannte Midas, der Sohn des Gordias, war ein alter mythischer König der Briger (VII 20. 73), der sein Volk aus Makedonien nach Phrygien geführt haben sollte, wo es den Namen Phryger erhielt (über die frühen Einwanderungen aus Thracien und Macedonien nach Kleinasien und umgekehrt s. z. VII 21); die Rosengärten des Midas bewarten die Erinnerung an seinen Namen. Sie lagen an den Abhängen des Bermiosgebirges (zwischen den Flüssen Ludias und Haliakmon) an den heutigen Turla- und Nitschebergen in einer noch heute durch wunderbare Naturschönheiten und üppige Vegetation ausgezeichneten Gegend (vgl. Abel Macedon. 111 ff.).

5. ἓν ἕκαστον ἔχον ein Participium mit eigenem Subject, das aber mit dem Hauptsubject (ῥόδα) ganz zusammenfällt.

ὑπερφέροντα τῶν ἄλλων. Vgl. IX 96 κάλλεϊ καὶ μεγάθεϊ ὑπερφέρων Περσέων. Auch unt. c. 144.

6. Σιληνός. Silenos, der bekannte Erzieher und stete Begleiter des Dionysos, wurde meist unter der Gestalt eines älteren, stets trunkenen Satyrs vorgestellt, der nächst dem Wein vor allem Musik und Gesang liebt. Er galt als der Erfinder und Vertreter der rauschenden Flötenmusik, die öfter in Gegensatz tritt zu der beruhigenden Saitenmusik, welche in Apollon, dem Meister des Saitenspiels (φόρμιγξ, κίθαρις, λύρα) ihren Beschützer findet. — Nach der Sage hatte sich einst der trunkene Silenos auf dem Zuge des Dionysos durch Thrakien in den Rosengärten des Midas verirrt. Von Landleuten gefangen wurde er vor König Midas geführt. Dieser nahm den weisen Lehrer des Dionysos freundlich auf, unterredete sich lange mit ihm und liesz ihn darauf zum Dionysos zurückführen, welcher den Midas zur Belohnung sich eine Gnade erbitten liesz. Midas wünschte, dasz sich alles, was er berühre, in Gold verwandeln möge, eine Gnade, von der er freilich bald wieder durch den Gott befreit zu werden wünschte (Cic. Tusc. I 48). Nach andrer Sage fieng Midas den Silenus bei der sogenannten Midasquelle in der Nähe von Ankyra (Paus. I 4, 5) oder jenseits des Axios im paionischen Gebiete.

τοῖσι κήποισι gehört zu ἐν τούτοισι. Die Stellung ist ungewöhnlich.

8. Βέρμιον. Ueber das Bermiongebirge s. ob. (3).

οὔνομα ist Accus. des Bezugs.

ὑπὸ χειμῶνος. Ueber die Bedeutung von ὑπό s. z. c. 1. — χειμών Winterwetter (Schnee und Kälte). Die Spitzen der Turlaberge sind mit ewigem Schnee bedeckt.

ἐνθεῦτεν ὁρμεόμενοι. Der anfängliche Ausgangspunct der Temenidenherschaft und das ursprüngliche Stammland der Makedoner (= ἡ Μακεδονίς VII 127) scheint nach

ὁρμεόμενοι, ὡς ταύτην ἔσχον, κατεστρέφοντο καὶ τὴν ἄλλην
Μακεδονίην. Ἀπὸ τούτου δὴ τοῦ Περδίκκεω Ἀλέξανδρος ὧδε 139
ἐγεγόνεε· Ἀμύντεω παῖς ἦν Ἀλέξανδρος, Ἀμύντης δὲ Ἀλκέτεω,
Ἀλκέτεω δὲ πατὴρ ἦν Ἀέροπος, τοῦ δὲ Φίλιππος, Φιλίππου δὲ
Ἀργαῖος, τοῦ δὲ Περδίκκης ὁ κτησάμενος τὴν ἀρχήν.
Ἐγεγόνεε μὲν δὴ ὧδε Ἀλέξανδρος ὁ Ἀμύντεω, ὡς δὲ ἀπί- 140
κετο ἐς τὰς Ἀθήνας ἀποπεμφθεὶς ὑπὸ Μαρδονίου, ἔλεγε τάδε· I
Ἄνδρες Ἀθηναῖοι, Μαρδόνιος τάδε λέγει· Ἐμοὶ ἀγγελίη ἥκει
παρὰ βασιλέος λέγουσα οὕτω· Ἀθηναίοισι τὰς ἁμαρτάδας τὰς
ἐξ ἐκείνων ἐς ἐμὲ γενομένας πάσας μετίημι. νῦν τε ὧδε, Μαρ-
δόνιε, ποίεε. τοῦτο μὲν τὴν γῆν σφι ἀπόδος, τοῦτο δὲ ἄλλην
πρὸς ταύτῃ ἑλέσθων αὐτοί, ἥντινα ἂν ἐθέλωσι, ἐόντες αὐτό-
νομοι. ἱρά τε πάντα σφι, ἢν δὴ βούλωνταί γε ἐμοὶ ὁμολογέειν,
ἀνόρθωσον, ὅσα ἐγὼ ἐνέπρησα. Τούτων δὲ ἀπιγμένων ἀναγ-
καίως ἔχει μοι ποιέειν ταῦτα, ἢν μὴ τὸ ὑμέτερον ἀντίον γένη-
ται. λέγω δὲ ὑμῖν τάδε νῦν· τί μαίνεσθε πόλεμον βασιλέϊ
ἀνταειρόμενοι; οὔτε γὰρ ἂν ὑπερβάλοισθε, οὔτε οἷοί τέ ἐστε
ἀντέχειν τὸν πάντα χρόνον. εἴδετε μὲν γὰρ τῆς Ξέρξεω στρα-
τηλασίης τὸ πλῆθος καὶ τὰ ἔργα, πυνθάνεσθε δὲ καὶ τὴν νῦν
παρ' ἐμοὶ ἐοῦσαν δύναμιν, ὥστε καὶ ἢν ἡμέας ὑπερβάλησθε
καὶ νικήσητε, τοῦπερ ὑμῖν οὐδεμία ἐλπὶς εἴπερ εὖ φρονέετε,
ἄλλη παρέσται πολλαπλησίη. μὴ ὦν βούλεσθε παρισεύμενοι

der hier von Her. erzählten Volkssage die Ebene zwischen Haliakmon, Ludias und Axios gewesen zu sein, deren Hauptstadt das alte *Αἰγαί* (Aegae), später E d e s s a, j. V o d e n a war. Von dort aus (*ἐνθεῦτεν ὁρμεόμενοι* s. z. c. 133) unterwarfen die argeiischen Einwanderer die benachbarten Landschaften und gründeten so allmählich das makedonische Reich (*ἡ Μακεδονίη* V 17), über dessen Umfang V 17 und VII 123 zu vergleichen.

D i e R e d e n d e s A l e x a n d e r u n d d e r s p a r t a n i s c h e n G e s a n d t e n i n A t h e n. A n t w o r t d e r A t h e n e r (c. 140—144).

140 I. 8. *τάδε.* Mit derselben einfachen an die altertümliche Sprache der Bibel erinnernden Eingangsformel wird öfter bei Herod. (III 122) eine Botschaft eingeleitet.

10. *μετίημι. μετιέναι* vom Erlassen einer Schuld VI 59 *τὸν προσοφειλόμενον φόρον μετίει ὁ βασιλεύς.* Unten (S. 107, 3) ist in gleicher Bedeutung *ἀπιέναι* gebraucht.

11. *τοῦτο μὲν — τοῦτο δέ.* S. z. c. 88.

14. *τούτων* „diese Aufträge“.

15. *ἢν μὴ — γένηται* ist eine Höflichkeitsformel: falls ihr nichts dagegen einzuwenden habt.

16. *πόλεμον — ἀνταειρόμενοι.* Vgl. VII 101 *νῦν ὦν μοι τόδε φράσον, εἰ Ἕλληνες ὑπομενέουσι χεῖρας ἐμοὶ ἀνταειρόμενοι.*

17. *ὑπερβάλοισθε. ὑπερβάλλεσθαι* ist weiter unten in derselben Bedeutung mit Accus. verbunden (auch c. 24).

18. *τὸν πάντα χρόνον.* Vgl. VI 123 *ἔφευγον οἱ Ἀλκμαιωνίδαι τὸν πάντα χρόνον τοὺς τυράννους* und IX 27 *ἐν τῷ παντὶ χρόνῳ.*

22. *παρισεύμενοι.* Vgl. IV 166

βασιλέϊ στέρεσθαι μὲν τῆς χώρης, θέειν δὲ αἰεὶ περὶ ὑμέων αὐτῶν, ἀλλὰ καταλύσασθε. παρέχει δὲ ὑμῖν κάλλιστα καταλύσασθαι βασιλέος ταύτῃ ὡρμημένου. ἔστε ἐλεύθεροι, ἡμῖν

II ὁμαιχμίην συνθέμενοι ἄνευ τε δόλου καὶ ἀπάτης. Μαρδόνιος μὲν ταῦτα, ὦ Ἀθηναῖοι, ἐνετείλατό μοι εἰπεῖν πρὸς ὑμέας. ἐγὼ δὲ περὶ μὲν εὐνοίης τῆς πρὸς ὑμέας ἐούσης ἐξ ἐμεῦ οὐδὲν λέξω (οὐ γὰρ ἂν νῦν πρῶτον ἐκμάθοιτε), προσχρηΐζω δὲ ὑμέων πείθεσθαι Μαρδονίῳ. ἐνορέω γὰρ ὑμῖν οὐκ οἵοισί τε ἐσομένοισι τὸν πάντα χρόνον πολεμέειν Ξέρξῃ. εἰ γὰρ ἐνώρεον τοῦτο ἐν ὑμῖν, οὐκ ἄν κοτε ἐς ὑμέας ἦλθον ἔχων λόγους τούσδε· καὶ γὰρ δύναμις ὑπὲρ ἄνθρωπον ἡ βασιλέος ἐστὶ καὶ χεὶρ ὑπερμήκης. ἢν ὦν μὴ αὐτίκα ὁμολογήσητε, μεγάλα προτεινόντων ἐπ' οἷσι ὁμολογέειν ἐθέλουσι, δειμαίνω ὑπὲρ ὑμέων ἐν τρίβῳ τε μάλιστα οἰκημένων τῶν συμμάχων πάντων, αἰεί τε φθειρο-

ὁ δὲ Ἀρυάνδης, τῆς Αἰγύπτου ὕπαρχος ὑπὸ Καμβύσεω κατεστεὼς, ὑστέρῳ χρόνῳ παρισεύμενος Δαρείῳ διεφθάρη.

1. *θέειν δὲ περὶ ὑμέων αὐτῶν.* S. z. c. 74 (περὶ τοῦ παντὸς ἤδη δρόμον θέοντες).

2. *καταλύσασθε*, τῷ βασιλέϊ. Vgl. IX 11 οἱ Ἀθηναῖοι καταλύσονται τῷ Πέρσῃ.

παρέχει ὑμῖν. S. z. c. 8.

3. *βασιλέος ταύτῃ ὁρμημένου.* Vgl. I 158 οἱ Κυμαῖοι ὡρμέατο (= habuerunt in animo) ἐκδιδόναι Πακτύην Πέρσῃσι. *ὁρμεομένου δὲ ταύτῃ τοῦ πλήθεος* Ἀριστόδικος ἔσχε μὴ ποιῆσαι ταῦτα τοὺς Κυμαίους.

4. *ὁμαιχμίην συνθέμενοι.* Vgl. VII 145 οἱ Ἀθηναῖοι ἔπεμψαν ἐς Ἄργος ἀγγέλους ὁμαιχμίην συνθησομένους πρὸς τὸν Πέρσην. Vgl. ob. c. 120 ἄνευ τε δόλου καὶ ἀπάτης. Beachte die Stellung von τὲ (H y p e r b a t o n). Ganz wie hier I 69. Vgl. V 105 Δαρείῳ ὡς ἐξηγγέλθη Σάρδις ἁλούσας ἐμπεπρῆσθαι ὑπό τε Ἀθηναίων καὶ Ἰώνων.

II. 6. *ἐούσης ἐξ ἐμεῦ.* Zum Gebrauche von ἐκ vgl. VI 13 *ὁρέοντες ἐοῦσαν* ἀταξίην πολλὴν ἐκ τῶν Ἰώνων (ἐκ = a u s g e h e n d v o n).

8. *ἐνορέω γὰρ ὑμῖν — ἐσομένοισι.* Die Construction ist ungewöhnlich. Nach Stellen wie I 170. 123. III 53 erwarteten wir etwa: οὐ γὰρ ἐνορέω ὑμῖν τὸ οἵους τε ἔσεσθαι. Statt eines Infinitivsatzes ist die Construction mit dem Participium gewählt und dieses im Casus an ὑμῖν angeschlossen.

9. *τὸν πάντα χρόνον* wie ob. S. 105, 18.

10. *τοῦτο*, τὸ οἵους τε ἔσεσθαι τὸν πάντα χρόνον πολεμέειν Ξέρξῃ.

11. *ὑπὲρ ἄνθρωπον.* Vgl. Plat. Republ. II 359 μείζω ἢ κατ' ἄνθρωπον.

χεὶρ ὑπερμήκης. Vgl. Ovid. Heroid. XVII 16 An nescis longas regibus esse manus, und das griech. Sprichwort μακραὶ τυράννων χεῖρες. Im Deutschen gebrauchen wir A r m in gleichem Sinne.

12. *προτεινόντων*, αὐτῶν (sc. τῶν Περσέων). V 24. VII 161. IX 34 ist das Medium in gleicher Bedeutung gebraucht.

13. *ἐπ' οἷσι.* ἐπί c. dat. = u n t e r d e r B e d i n g u n g. Vgl. I 60 ὁμολογήσαντος *ἐπὶ τούτοισι* Πεισιστράτου. Wie an unserer Stelle I 141 πρὸς τούτους ὅρκιον Κῦρος ἐποιήσατο ἐπ' οἷσί περ ὁ Λυδός und IV 145.

14. *οἰκημένων.* S. z. c. 47.

τῶν συμμάχων πάντων hängt von μάλιστα ab.

*μένων μούνων, ἐξαίρετόν τι μεταίχμιον τὴν γῆν κεκτημένων.
ἀλλὰ πείθεσθε· πολλοῦ γὰρ ὑμῖν ἄξια ταῦτα, εἰ βασιλεύς γε
ὁ μέγας μούνοισι ὑμῖν Ἑλλήνων τὰς ἁμαρτάδας ἀπιεὶς ἐθέλει
φίλος γενέσθαι. Ἀλέξανδρος μὲν ταῦτα ἔλεξε, Λακεδαιμόνιοι* 141
*δέ, πυθόμενοι ἥκειν Ἀλέξανδρον ἐς Ἀθήνας ἐς ὁμολογίην
ἄξοντα τῷ βαρβάρῳ Ἀθηναίους, ἀναμνησθέντες τῶν λογίων
ὥς σφεας χρεών ἐστι ἅμα τοῖσι ἄλλοισι Δωριεῦσι ἐκπίπτειν
ἐκ Πελοποννήσου ὑπὸ Μήδων τε καὶ Ἀθηναίων, κάρτα τε
ἔδεισαν μὴ ὁμολογήσωσι τῷ Πέρσῃ Ἀθηναῖοι, αὐτίκα τέ σφι
ἔδοξε πέμπειν ἀγγέλους. καὶ δὴ συνέπιπτε ὥστε ὁμοῦ σφέων
γίνεσθαι τὴν κατάστασιν. ἐπανέμειναν γὰρ οἱ Ἀθηναῖοι δια-
τρίβοντες, εὖ ἐπιστάμενοι ὅτι ἔμελλον Λακεδαιμόνιοι πεύσεσθαι
ἥκοντα παρὰ τοῦ βαρβάρου ἄγγελον ἐπ' ὁμολογίῃ, πυθόμενοί
τε πέμψειν κατὰ τάχος ἀγγέλους. ἐπίτηδες ὦν ἐποίευν, ἐνδει-
κνύμενοι τοῖσι Λακεδαιμονίοισι τὴν ἑωυτῶν γνώμην. Ὡς δὲ* 142
*ἐπαύσατο λέγων Ἀλέξανδρος, διαδεξάμενοι ἔλεγον οἱ ἀπὸ
Σπάρτης ἄγγελοι· Ἡμέας δὲ ἔπεμψαν Λακεδαιμόνιοι δεησο-
μένους ὑμέων μήτε νεώτερον ποιέειν μηδὲν κατὰ τὴν Ἑλλάδα
μήτε λόγους ἐνδέκεσθαι παρὰ τοῦ βαρβάρου. οὔτε γὰρ δίκαιον*

1. *ἐξαίρετον — κεκτημένων.* Sinn: Euer Land liegt wie ausgesucht zum Kampfplatz offen an der Heerstrasze mitten zwischen den sich bekämpfenden Völkern; auf der einen Seite werdet ihr durch die Perser eingeschlossen, denen ganz Nordgriechenland unterwürfig ist, auf der anderen durch die Peloponnesier, welche ihr Land durch die auf dem Isthmus errichteten Bollwerke abgesperrt haben.

2. *ἀλλὰ πείθεσθε.* Ueber den Gebrauch von *ἀλλά* beim Imperativ s. z. c. 62.

141. 6. *τῶν λογίων = τῶν χρησμῶν* (s. z. c. 20). Gemeint sind die alten Staatsorakel des Musaios und Onomakritos, welche auf der Akropolis zu Athen aufbewart wurden. Durch Kleomenes waren die Spartaner in den Besitz derselben gelangt. Vgl. V 90 (*ἔτι δὲ πρὸς τούτοισι ἐνῆγόν σφεας οἱ χρησμοὶ λέγοντες πολλά τε καὶ ἀνάρσια ἔσεσθαι αὐτοῖσι ἐξ Ἀθηναίων, τῶν πρότερον μὲν ἦσαν ἀδαέες, τότε δὲ Κλεομένεος κομίσαντος ἐς Σπάρτην ἐξέμαθον*).

10. *συνέπιπτε ὥστε.* S. z. c. 15.

11. *τὴν κατάστασιν.* S. z. c. 79.

13. *ἐπ' ὁμολογίῃ. ἐπί* c. dat. zur Bezeichnung der Absicht oder des Zwecks.

14. *κατὰ τάχος.* S. z. c. 115. *ἐπιτηδές* de industria auch VII 44. 168.

142. 16. *διαδεξάμενοι* sc. *τὸν λόγον.*

17. *ἡμέας δέ* im Gegensatz zu Alexander, den Mardonios gesandt hatte.

18. *νεώτερον ποιέειν* od. *πρήσσειν* ist eine im Griechischen sehr häufige Verbindung, die sonst meist Ausdruck für Empörung ist (V 35. 93. VI 74 öft.). Hier hat die Wendung einfach den Sinn: Neuerungen machen.

19. *λόγους ἐνδέκεσθαι.* Vgl. VII 236 *ὁρέω σε ἀνδρὸς ἐνδεκόμενον λόγους, ὅς προδιδοῖ πρήγματα τὰ σά.*

οὐδαμῶς, οὔτε κόσμον φέρον οὔ τί γε ἄλλοισι Ἑλλήνων οὐδαμοῖσι, ὑμῖν δὲ δὴ καὶ διὰ πάντων ἥκιστα πολλῶν εἵνεκεν· ἠγείρατε γὰρ τόνδε τὸν πόλεμον ὑμεῖς οὐδὲν ἡμέων βουλομένων, καὶ περὶ τῆς ὑμετέρης ἀρχῆς ὁ ἀγὼν ἐγένετο· νῦν δὲ φέρει καὶ ἐς πᾶσαν τὴν Ἑλλάδα. ἄλλως τε τούτων ἁπάντων αἰτίους γενέσθαι δουλοσύνης τοῖσι Ἕλλησι Ἀθηναίους οὐδαμῶς ἀνασχετὸν, οἵτινες αἰεὶ καὶ τὸ πάλαι φαίνεσθε πολλοὺς ἐλευθερώσαντες ἀνθρώπων. πιεζομένοισι μέντοι ὑμῖν συναχθόμεθα, καὶ ὅτι καρπῶν ἐστερήθητε διξῶν ἤδη, καὶ ὅτι οἰκοφθόρησθε χρόνον ἤδη πολλόν. ἀντὶ τούτων δὲ ὑμῖν Λακεδαιμόνιοί τε καὶ οἱ σύμμαχοι ἐπαγγέλλονται γυναῖκάς τε καὶ τὰ ἐς πόλεμον ἄχρηστα οἰκετέων ἐχόμενα πάντα ἐπιθρέψειν, ἔστ' ἂν ὁ πόλεμος ὅδε συνεστήκῃ. μηδὲ ὑμέας Ἀλέξανδρος ὁ Μακεδὼν ἀναγνώσῃ, λεήνας τὸν Μαρδονίου λόγον. τούτῳ μὲν γὰρ

1. κόσμον φέρον. S. z. c. 60.

2. διὰ πάντων. S. z. c. 37.

3. ἠγείρατε — πόλεμον. Zur Sache vgl. V 97.

οὐδὲν ἡμέων βουλομένων, vgl. V 49.

4. περὶ τῆς ὑμετέρης ἀρχῆς insofern der Perserkönig die Volksherschaft in Athen hatte stürzen und die Pisistratiden zurückführen wollen (V 96. VI 94—109. VII 6).

5. φέρει, ὁ ἀγών. Ueber die Bedeutung von φερειν ἐς s. z. c. 137.

ἄλλως τε ist eng mit οὐδαμῶς ἀνασχετόν zu verbinden; die Erklärung des ἄλλως ist in dem folgenden Relativsatz gegeben (οἵτινες — ἀνθρώπων).

6. αἰτίους hat doppelte Beziehung, denn es gehört sowol zu τούτων ἁπάντων als zu δουλοσύνης. Vgl. I 137 αἰνέω δὲ καὶ τόνδε νόμον τὸ μὴ τῶν Περσέων μηδένα τῶν ἑωυτοῦ οἰκετέων ἐπὶ μιῇ αἰτίῃ ἀνήκεστον πάθος ἔρδειν, wo μηδένα zu beiden Wörtern gehört, die es einschlieszen, zu dem ersten als Subject, zum zweiten als Objectsaccusativ. Das doppelt bezogene Wort pflegt in diesem Falle in der Mitte zwischen beiden zu stehen, auf die es bezogen ist. Aehnlich III 40. VII 10. 86.

7. τὸ πάλαι in mythischer Zeit. Vgl. IX 27. VI 108. Zum Ausdruck vgl. c. 137.

9. καρπῶν — διξῶν. Die Athener waren doppelter Ernten verlustig gegangen: einmal hatten ihnen die Perser den Ernteertrag des Herbstes (480) geraubt, dann aber hatten sie auch die Aussaat für das folgende Jahr nicht machen können.

12. οἰκετέων ἐχόμενα (eig. das mit den Hausleuten zusammenhängende) ist einfach Umschreibung von οἰκέτας (= τοὺς ἐς πόλεμον ἀχρήστους οἰκέτας). Dieselbe Umschreibung II 77 ὅσα ἢ ὀρνίθων ἢ ἰχθύων ἐστὶ ἐχόμενα; auch III 25. 66. V 49.

13. συνεστήκῃ. Vgl. VII 225 τοῦτο (der Kampf), συνεστήκεε, μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο.— Ueber συστῆναι vom feindlichen Gegenüberstehen in der Schlacht s. z. c. 74.

14. ἀναγνώσῃ, ἀναπείσῃ. S. c. 100. 110.

λεήνας. λεαίνειν od. ἐπιλεαίνειν (VII 10) heiszt glätten, dann in übertragener Bedeutung annehmlicher machen. Vgl. VII 10 Μαρδόνιος μὲν τοσαῦτα ἐπιλεήνας τὴν Ξέρξεω γνώμην ἐπέπαυτο.

ταῦτα ποιητέα ἐστὶ, τύραννος γὰρ ἐὼν τυράννῳ συγκατεργάζεται, ὑμῖν δέ γε οὐ ποιητέα, εἴπερ εὖ τυγχάνετε φρονέοντες, ἐπισταμένοισι ὡς βαρβάροισί ἐστι οὔτε πιστὸν οὔτε ἀληθὲς οὐδέν. Ταῦτα 143
ἔλεξαν οἱ ἄγγελοι. Ἀθηναῖοι δὲ πρὸς μὲν Ἀλέξανδρον ὑπεκρίναντο τάδε· Καὶ αὐτοὶ τοῦτό γε ἐπιστάμεθα, ὅτι πολλαπλησίη ἐστὶ τῷ Μήδῳ δύναμις ἤπερ ἡμῖν, ὥστε οὐδὲν δεῖ τοῦτό γε ὀνειδίζειν. ἀλλ' ὅμως ἐλευθερίης γλιχόμενοι ἀμυνεόμεθα οὕτω, ὅκως ἂν καὶ δυνώμεθα. ὁμολογῆσαι δὲ τῷ βαρβάρῳ μήτε σὺ ἡμέας πείρεο ἀναπείθειν οὔτε ἡμεῖς πεισόμεθα. νῦν δὲ ἀπάγγελλε Μαρδονίῳ, ὡς Ἀθηναῖοι λέγουσι, ἔστ' ἂν ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν ἴῃ τῇ καὶ νῦν ἔρχεται, μήκοτε ὁμολογήσειν ἡμέας Ξέρξῃ· ἀλλὰ θεοῖσί τε συμμάχοισι πίσυνοί μιν ἐπέξιμεν ἀμυνόμενοι καὶ τοῖσι ἥρωσι, τῶν ἐκεῖνος οὐδεμίαν ὄπιν ἔχων ἐνέπρησε τούς τε οἴκους καὶ τὰ ἀγάλματα. σύ τε τοῦ λοιποῦ λόγους ἔχων τοιούσδε μὴ ἐπιφαίνεο Ἀθηναίοισι, μηδὲ δοκέων χρηστὰ ὑπουργέειν ἀθέμιτα ἔρδειν παραίνεε. οὐ γάρ σε βουλόμεθα οὐδὲν ἄχαρι πρὸς Ἀθηναίων παθεῖν, ἐόντα πρόξεινόν τε καὶ φίλον. Πρὸς μὲν Ἀλέξανδρον ταῦτα ὑπεκρίναντο, πρὸς 144
δὲ τοὺς ἀπὸ Σπάρτης ἀγγέλους τάδε· Τὸ μὲν δεῖσαι Λακεδαιμονίους μὴ ὁμολογήσωμεν τῷ βαρβάρῳ κάρτα ἀνθρωπήϊον ἦν. ἀτὰρ αἰσχρῶς γε οἴκατε ἐξεπιστάμενοι τὸ Ἀθηναίων φρόνημα ἀρρωδῆσαι, ὅτι οὔτε χρυσός ἐστι γῆς οὐδαμόθι τοσοῦτος οὔτε χώρη κάλλεϊ καὶ ἀρετῇ μέγα ὑπερφέρουσα, τὰ ἡμεῖς δεξάμενοι ἐθέλοιμεν ἂν μηδίσαντες καταδουλῶσαι τὴν Ἑλλάδα. πολλά τε

143. 6. *ὀνειδίζειν* „in kränkender Weise vorhalten“.

8. *μήτε — οὔτε. μήτε* ist wegen des Imperativs (*πείρεο*) gesetzt.

12. *μιν* gehört zu *ἀμυνόμενοι*.

13. *ὄπιν ἔχειν*. Dieselbe (dichterische) Wendung IX 76.

14. *οἴκους*, dafür unten *οἰκήματα*. Gemeint sind die Tempel, wie das hinzugefügte *τὰ ἀγάλματα* lehrt. Zur Sache vgl. VI 102.

τοῦ λοιποῦ temporal = in posterum. Wie hier III 15; häufiger doch *τὸ λοιπόν* (VII 104).

16. *ἀθέμιτα* nicht: *ἀθέμιστα*. S. z. VII 33.

17. *ἄχαρι παθεῖν* (= *κακόν τι λαβεῖν* VI 9). Ganz wie hier VI 9 *πείσονταί τε ἄχαρι οὐδὲν διὰ τὴν ἀπόστασιν*. Vgl. ob. c. 13.

πρόξεινον. S. z. c. 136.

144. 18. *μέν*, dem entspricht erst weiter unten *μέντοι* (*ὑμέων μέντοι ἀγάμεθα τὴν πρόνοιαν τὴν ἐς ἡμέας ἔχουσαν*).

21. *ἐξεπιστάμενοι*. In *ἐξεπίστασθαι* beachte die Bedeutung von *ἐξ*.

22. *ὅτι — ὑπερφέρουσα*. Dieser Satz gibt die Erläuterung zu *φρόνημα*. Vgl. IX 7, 2.

23. *ἀρετή* von der Güte des Bodens auch VII 4 *Εὐρώπη περικαλλὴς χώρη ἀρετήν τε ἄκρη*.

ὑπερφέρουσα. Vgl. IX 76 *Τιγράνης κάλλεΐ τε καὶ μεγάθεϊ ὑπερφέρων Περσέων*.

γὰρ καὶ μεγάλα ἐστὶ τὰ διακωλύοντα ταῦτα μὴ ποιέειν, μηδ' ἢν ἐθέλωμεν· πρῶτα μὲν καὶ μέγιστα τῶν θεῶν τὰ ἀγάλματα καὶ τὰ οἰκήματα ἐμπεπρησμένα τε καὶ συγκεχωσμένα, τοῖσι ἡμέας ἀναγκαίως ἔχει τιμωρέειν ἐς τὰ μέγιστα μᾶλλον ἤπερ ὁμολογέειν τῷ ταῦτα ἐργασαμένῳ, αὖτις δὲ τὸ Ἑλληνικὸν ἐὸν ὅμαιμόν τε καὶ ὁμόγλωσσον, καὶ θεῶν ἱδρύματά τε κοινὰ καὶ θυσίαι ἤθεά τε ὁμότροπα, τῶν προδότας γενέσθαι Ἀθηναίους οὐκ ἂν εὖ ἔχοι. ἐπίστασθέ τε οὕτω, εἰ μὴ πρότερον ἐτυγχάνετε ἐπιστάμενοι, ἔστ' ἂν καὶ εἷς περιῇ Ἀθηναίων, μηδαμὰ ὁμολογήσοντας ἡμέας Ξέρξῃ. ὑμέων μέντοι ἀγάμεθα τὴν πρόνοιαν τὴν ἐς ἡμέας ἔχουσαν, ὅτι προείδετε ἡμέων οἰκοφθορημένων οὕτω ὥστε ἐπιθρέψαι ἐθέλειν ἡμέων τοὺς οἰκέτας. καὶ ὑμῖν μὲν ἡ χάρις ἐκπεπλήρωται, ἡμεῖς μέντοι λιπαρήσομεν οὕτω, ὅκως ἂν ἔχωμεν, οὐδὲν λυπέοντες ὑμέας. νῦν δὲ, ὡς οὕτω ἐχόντων, στρατιὴν ὡς τάχιστα ἐκπέμπετε. ὡς γὰρ ἡμεῖς εἰκάζομεν, οὐκ ἑκὰς χρόνου παρέσται ὁ βάρβαρος ἐσβαλὼν ἐς τὴν ἡμετέρην, ἀλλ' ἐπεὰν τάχιστα πύθηται τὴν ἀγγελίην ὅτι οὐδὲν ποιήσομεν τῶν ἐκεῖνος ἡμέων προσεδέετο. πρὶν ὦν

1. *μή* nach *διακωλύειν*. S. z. c. 111.

2. *πρῶτα μὲν καὶ μέγιστα* erg. *τὰ διακωλύοντά ἐστι*.

3. *οἰκήματα*. S. z. c. 143 (*οἴκους*).

συγκεχωσμένα. Das Verbum in gleichem Sinne auch IX 13.

4. *ἐς τὰ μέγιστα*, ein adverbieller Ausdruck, eig. bis zum Aeuszersten hin. Vgl. IX 16 *ἀνὴρ λόγιμος ἐς τὰ πρῶτα* (eig. „bis zur höchsten Stufe hin"). Für *ἐς τὰ μέγιστα* steht ob. c. 20 in gleichem Sinn *πρὸς τὰ μέγιστα*.

5. *αὖτις δέ* (= *ἔπειτα δέ*) auch hierzu erg. *τὰ διακωλύοντά ἐστι*.

7. *ἤθεα*. S. z. c. 100 Ende.

8. *ἐπίστασθε*. S. z. c. 5.

11. *τὴν ἐς ἡμέας ἔχουσαν*. *ἔχειν ἐς* (= *φέρειν ἐς* c. 137) in intransitiver Bedeutung auch V 81 *ἔχθρης παλαιῆς ἀναμνησθέντες ἐχούσης ἐς Ἀθηναίους*.

12. *οἰκέτας*. S. z. c. 4.

13. *ἐκπεπλήρωται* „vos quidem benevolentiae officio cumulate satisfecistis".

λιπαρήσομεν. *λιπαρέειν* (= *προσμένειν*) wie hier auch IX 45 mit Particip verbunden.

14. *ὡς οὕτω ἐχόντων* erg. *τούτων*. Vgl. I 126 *ὡς ὦν ἐχόντων ὧδε ἀπίστασθε ἀπ' Ἀστυάγεος τὴν ταχίστην*. Ueber die Bedeutung von *ὡς* in der Meinung, Ueberzeugung dasz s. z. c. 69.

16. *οὐκ ἑκὰς χρόνου* „in nicht ferner Zeit". *ἑκάς* c. genet. in temporaler Bedeutung ist selten.

ἐς τὴν ἡμέρην. Ueber *παρεῖναι ἐς* s. z. c. 60 (*ἐς τὸν Ἰσθμὸν παρέσονται*). Vgl. unten *πρὶν ὦν παρεῖναι ἐκεῖνον ἐς τὴν Βοιωτίην*.

17. *ἀλλ'* erg. *παρέσεται ὁ χρόνος*.

18. *τῶν — προσεδέετο*. *προσδέεσθαι* ist hier mit doppeltem Genetiv verbunden wie V 40 *οὐ προσδεόμεθά σευ τῆς ἐξέσιος γυναικὸς τῆς ἔχεις*. — In der Bedeutung unterscheidet sich *προσδέεσθαι* nicht wesentlich vom einfachen *δέεσθαι*. Vgl. VI 41. 100.

παρεῖναι ἐκεῖνον ἐς τὴν Ἀττικὴν, ἡμέας καιρός ἐστι προβωθῆσαι ἐς τὴν Βοιωτίην. Οἱ μὲν ταῦτα ὑποκριναμένων Ἀθηναίων ἀπαλλάσσοντο ἐς Σπάρτην.

1. ἡμέας näml. Athener und Lakedämonier.

προβωθῆσαι zur Hülfe (für Boiotien) anrücken, um die Perser abzuwehren (πρός). Ueber die Contraction s. z. c. 91.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΕΝΑΤΗ

---

1 ΜΑΡΔΟΝΙΟΣ δὲ, ὥς οἱ ἀπονοστήσας Ἀλέξανδρος τὰ
παρ' Ἀθηναίων ἐσήμηνε, ὁρμηθεὶς ἐκ Θεσσαλίης ἦγε τὴν
στρατιὴν σπουδῇ ἐπὶ τὰς Ἀθήνας· ὅκου δὲ ἑκάστοτε γίνοιτο,
τούτους παρελάμβανε. τοῖσι δὲ Θεσσαλίης ἡγεομένοισι οὔτε
τὰ πρὸ τοῦ πεπρηγμένα μετέμελε οὐδὲν, πολλῷ τε μᾶλλον ἐπῆ-
γον τὸν Πέρσην, καὶ συμπροέπεμψέ τε Θώρηξ ὁ Ληρισαῖος
2 Ξέρξην φεύγοντα, καὶ τότε ἐκ τοῦ φανεροῦ παρῆκε Μαρδόνιον
ἐπὶ τὴν Ἑλλάδα. Ἐπεὶ δὲ πορευόμενος γίνεται ὁ στρατὸς ἐν
Βοιωτοῖσι, οἱ Θηβαῖοι κατελάμβανον τὸν Μαρδόνιον καὶ συνε-

Zweiter Einfall der Perser in Attika unter Mardonios. Die Athener senden von Salamis aus um Hülfe nach Sparta, worauf diese unter Pausanias ausrücken (c. 1—12).

1. 1. *τὰ παρ' Ἀθηναίων* „die Antwort der Athener" (vgl. VIII 143). Zum Gebrauch der Präposition vgl. c. 5 *ὁ δὲ ἀπικόμενος ἐπὶ τὴν βουλὴν ἔλεγε τὰ παρὰ Μαρδονίου.*

3. *ὅκου — γίνοιτο — παρελάμβανε.* Das Imperfectum dem iterativen ὅκου c. opt. entsprechend wie VIII 52. 115.

4. *παρελάμβανε.* Zur Bedeutung von *παραλαμβάνειν* vgl. VII 108 *Ξέρξης ἐπορεύετο ἐπὶ τὴν Ἑλλάδα, τοὺς δὲ αἰεὶ γινομένους ἐμποδὼν συστρατεύεσθαι ἠνάγκαζε.* In gleichem Sinne steht *παραλαμβάνειν* VII 205.

Θεσσαλίης ἡγεομένοισι. Man denke an die Herschergeschlechter Thessaliens, wie z. B. die Aleuaden in Larissa und die Skopaden in Krannon, die sich mit den Persern gegen Griechenland verbunden hatten (VI 127. VII 6).

5. *πρὸ τοῦ* (= *τούτου*) temporal. Der Artikel in ursprünglicher deiktischer Kraft. Wie hier V 55. 75. Vgl. *ἐκ τοῦ* VI 84.

τε einem vorhergehenden *οὔτε* entsprechend. S. z. VIII 26.

ἐπῆγον „multo studiosius (quam antea) inducebant (= instigabant) in Graeciam."

6. *Θώρηξ* ein Aleuade, derselbe welchen Pind. Pyth. X 64 erwähnt. Vgl. unt. c. 58.

7. *ἐκ τοῦ φανεροῦ.* S. z. VIII 126.
παρῆκε. S. z. VIII 15.

2. 9. *κατελάμβανον.* Beachte die Bedeutung des Imperfects. *καταλαμβάνειν* findet sich in der Bedeutung hemmen, zurückhalten auch III 52. 128.

βούλευον αὐτῷ, λέγοντες ὡς οὐκ εἴη χῶρος ἐπιτηδεώτερος ἐνστρατοπεδεύεσθαι ἐκείνου, οὐδὲ ἔων ἰέναι ἑκαστέρω, ἀλλ' αὐτοῦ ἰζόμενον ποιέειν ὅκως ἀμαχητὶ τὴν πᾶσαν Ἑλλάδα καταστρέψεται. κατὰ μὲν γὰρ τὸ ἰσχυρὸν Ἕλληνας ὁμοφρονέοντας, οἵπερ καὶ πάρος ταὐτὰ ἐγίνωσκον, χαλεπὰ εἶναι περιγίνεσθαι καὶ ἅπασι ἀνθρώποισι· εἰ δὲ ποιήσεις τὰ ἡμεῖς παραινέομεν, ἔφασαν λέγοντες, ἕξεις ἀπόνως ἅπαντα τὰ ἐκείνων βουλεύματα. πέμπε χρήματα ἐς τοὺς δυναστεύοντας ἄνδρας ἐν τῇσι πόλισι, πέμπων δὲ τὴν Ἑλλάδα διαστήσεις· ἐνθεῦτεν δὲ τοὺς μὴ τὰ σὰ φρονέοντας ῥηϊδίως μετὰ τῶν στασιωτέων καταστρέψεαι.

Οἱ μὲν ταῦτα συνεβούλευον, ὁ δὲ οὐκ ἐπείθετο, ἀλλά οἱ δεινός 3
τις ἐνέστακτο ἵμερος τὰς Ἀθήνας δεύτερα ἑλεῖν, ἅμα μὲν ὑπ' ἀγνωμοσύνης, ἅμα δὲ πυρσοῖσι διὰ νήσων ἐδόκεε βασιλέϊ δη-

1. ἐνστρατοπεδεύεσθαι. Der Infinitiv nach ἐπιτήδεος auch VI 102 ὁ Μαραθὼν ἐπιτηδεώτατον χωρίον τῆς Ἀττικῆς ἐνιππεῦσαι.

2. οὐδὲ ἔων. οὐκ ἐᾶν = dissuadere wie V 96. VI 109. — Zum folgenden ἀλλ' ist ἐκέλευον aus οὐκ ἔων herauszunehmen. Ganz wie hier VII 143 οἳ οὐκ ἔων ναυμαχίην ἀρτέεσθαι ἀλλ' ἐκλιπόντας χώρην τὴν Ἀττικὴν ἄλλην τινὰ οἰκίζειν.

4. κατὰ τὸ ἰσχυρόν verb. mit περιγίνεσθαι; derselbe adverbialische Ausdruck (= mit Gewalt) auch I 76. In gleichem Sinne steht κατὰ τὸ καρτερόν III 62.

Ἕλληνας ὁμοφρονέοντας. Der Accusativ stimmt nicht zu dem regierenden περιγίνεσθαι, welches den Genetiv erwarten läszt. Der Accusativ ist gesetzt, weil noch aus dem vorhergehenden Satze καταστρέφεσθαι vorschwebt.

5. καὶ πάρος, daher zu erwarten stehe, dasz sie auch jetzt zusammenhalten würden.

ταὐτὰ ἐγίνωσκον. Für ταὐτὰ γινώσκειν ist häufiger ταὐτὰ od. τὰ αὐτὰ φρονέειν (= ὁμοφρονέειν). Vgl. V 72. 117.

χαλεπὰ εἶναι. Zum Plural vgl. die Verbindungen οἷά τέ, δῆλά τέ ἐστι od. γέγονε. Vgl. VI 106 ἀδύνατα δέ σφι ἦν τὸ παραυτίκα ποιέειν ταῦτα. Der Singular IX 106. S. z. VIII 123.

7. ἔφασαν λέγοντες. Eine häufig bei Her. vorkommende pleonastische Verbindung. Vgl. V 18 ἔλεγον φάμενοι, VI 67 εἶπε φάς. Wie hier V 36.

ἕξεις. ἔχειν steht hier in dem Sinne von κατέχειν in seiner Gewalt haben.

8. δυναστεύοντας. Gemeint sind die Fürstengeschlechter in den thessalischen Städten (s. z. c. 1), welche zu Zeiten fast königliche Macht besaszen.

9. πέμπων δέ. Herodot leitet häufig erläuternde Sätze durch das Participium desselben (oder eines sinnverwandten) Verbs, welches Prädicat war, ein. Vgl. c. 11. 19.

τοὺς μὴ τὰ σὰ φρονέοντας. Ueber μή beim Particip s. z. c. 89. Zur Bedeutung des Ausdrucks vgl. c. 99 οἱ Σάμιοι τὰ Ἑλλήνων ἐφρόνεον. Ganz wie hier VII 102.

3. 11. δεινός τις. Ueber die Bedeutung von τὶς s. z. VIII 15.

12. ἐνέστακτο. ἐνστάζειν in übertragener Bedeutung schon bei Hom. Od. II 271 εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ.

δεύτερα. Ueber den Plural s. z. VIII 123.

ὑπ' ἀγνωμοσύνης. Vollständiger VII 9 οἱ Ἕλληνες ἀβουλότατα πολέμους ἵστανται ὑπό τε ἀγνωμοσύνης καὶ σκαιότητος.

13. ἅμα δέ. Ein selbständiger Satz mit δέ einem Casus mit μέν entgegengestellt. Vgl. VI 51 Δημάρητος

λώσειν ἐόντι ἐν Σάρδισι ὅτι ἔχοι Ἀθήνας. ὃς οὐδὲ τότε ἀπι-
κόμενος ἐς τὴν Ἀττικὴν εὗρε τοὺς Ἀθηναίους, ἀλλ' ἔν τε Σα-
λαμῖνι τοὺς πλείστους ἐπυνθάνετο εἶναι ἔν τε τῇσι νηυσὶ,
αἱρέει τε ἐρῆμον τὸ ἄστυ. ἡ δὲ βασιλέος αἵρεσις ἐς τὴν ὑστέ-
4 *ρην τὴν Μαρδονίου ἐπιστρατηΐην δεκάμηνος ἐγένετο. Ἐπεὶ*
δὲ ἐν Ἀθήνῃσι ἐγένετο Μαρδόνιος, πέμπει ἐς Σαλαμῖνα Μου-
ρυχίδην ἄνδρα Ἑλλησπόντιον, φέροντα τοὺς αὐτοὺς λόγους
τοὺς καὶ Ἀλέξανδρος ὁ Μακεδὼν τοῖσι Ἀθηναίοισι διεπόρθμευσε.
ταῦτα δὲ τὸ δεύτερον ἀπέστελλε προέχων μὲν τῶν Ἀθηναίων
οὐ φιλίας γνώμας, ἐλπίσας δέ σφεας ὑπήσειν τῆς ἀγνωμοσύνης
ὡς δοριαλώτου ἐούσης πάσης τῆς Ἀττικῆς χώρης καὶ ἐούσης
ἤδη ὑπ' ἑωυτῷ. τούτων μὲν εἵνεκεν ἀπέπεμψε Μουρυχίδην
5 *ἐς Σαλαμῖνα. Ὁ δὲ ἀπικόμενος ἐπὶ τὴν βουλὴν ἔλεγε τὰ παρὰ*
Μαρδονίου. τῶν δὲ βουλευτέων Λυκίδης εἶπε γνώμην, ὥς οἱ
ἐδόκεε ἄμεινον εἶναι, δεξαμένους τὸν λόγον, τόν σφι Μουρυχί-
δης προφέρει, ἐξενεῖκαι ἐς τὸν δῆμον. ὁ μὲν δὴ ταύτην τὴν
γνώμην ἀπεφαίνετο, εἴτε δὴ δεδεγμένος χρήματα παρὰ Μαρ-

ἣν οἰκίης ὑποδεεστέρης, κατ' ἄλλο μὲν ὑποδεεστέρης, κατὰ πρεσβυγένειαν δέ κως τετίμηται μᾶλλον ἢ Εὐρυσθένεος.

1. οὐδὲ τότε mit Beziehung auf die erste Einnahme Athens unter Xerxes (VIII 51 ff.); da diese im September 480 stattfand (vgl. VIII 65), so muss die zweite unter Mardonios, weil 10 Monate später, in den Juli des Jahres 479 gefallen sein.

4. 8. διαπορθμεύειν hat hier die allgemeine Bedeutung überbringen, wie bei Plat. Sympos. 202 τοῖς θεοῖς τὰ παρ' ἀνθρώπων διαπορθμεύειν. Sonst heiszt das Verbum übersetzen (VIII 130) V 52 τέσσαρας ποταμοὺς πᾶσα ἀνάγκη διαπορθμεῦσαι ἔστι.

9. ταῦτα i. e. τούτους τοὺς λόγους.

προέχων. προέχειν (= πρότερον ἔχειν) steht hier in der (seltenen) Bedeutung von προειδέναι; auch das einfache ἔχειν τὶ (eig. tenere aliquid) hat zuweilen die Bedeutung cognitum habere aliquid. In anderer Bedeutung steht προέχων c. 20.

10. ὑπήσειν — ἀγνωμοσύνης. Vgl. I 156 ὑπιέναι τῆς ὀργῆς.

12. ὑπ' ἑωυτῷ. Ueber die Bedeutung von ὑπό τινι εἶναι s. z. VIII 53.

5. 13. ἐπὶ τὴν βουλήν. Zur Bedeutung von ἐπὶ s. z. VIII 79. Wie hier VI 106 ὁ δὲ ἀπικόμενος ἐπὶ τοὺς ἐφόρους.

τὰ παρὰ Μαρδονίου. S. z. c. 1.

14. ὥς οἱ ἐδόκεε — εἶναι so wie es ihm das Beste schien.

15. δεξαμένους τὸν λόγον. Ohne einen vorausgegangenen Antrag der βουλή fand überhaupt eine Beratung oder Abstimmung von Seiten der Volksversammlung nicht statt.

16. ἐξενεῖκαι ἐς. Für ἐκφέρειν gebraucht Her. in dieser Bedeutung sonst meist ἀναφέρειν (III 71. 80). Wie hier V 79.

17. εἴτε — ἥνδανε. Der Uebergang vom Partic. zum Verbum fin. bei εἴτε — εἴτε findet sich ebenso I 19 πέμπει ἐς Δελφοὺς θεοπρόπους εἴτε δὴ συμβουλεύσαντός τευ, εἴτε καὶ αὐτῷ ἔδοξε πέμψαντα τὸν θεὸν ἐπείρεσθαι περὶ τῆς νούσου. Dieselbe Anakoluthie nach ἅμα μέν — ἅμα δέ VIII 136. S. z. c. 116.

*δονίου, εἴτε καὶ ταῦτά οἱ ἥνδανε, Ἀθηναῖοι δὲ αὐτίκα δεινὸν
ποιησάμενοι, οἵ τε ἐκ τῆς βουλῆς καὶ οἱ ἔξωθεν ὡς ἐπύθοντο,
περιστάντες Λυκίδην κατέλευσαν βάλλοντες, τὸν δὲ Ἑλλησπόν-
τιον Μουρυχίδην ἀπέπεμψαν ἀσινέα. γενομένου δὲ θορύβου
ἐν τῇ Σαλαμῖνι περὶ τὸν Λυκίδην, πυνθάνονται τὸ γινόμενον
αἱ γυναῖκες τῶν Ἀθηναίων, διακελευσαμένη δὲ γυνὴ γυναικὶ
καὶ παραλαβοῦσα ἐπὶ τὴν Λυκίδεω οἰκίην ἤϊσαν αὐτοκελέες,
καὶ κατὰ μὲν ἔλευσαν αὐτοῦ τὴν γυναῖκα, κατὰ δὲ τὰ τέκνα.
Ἐς δὲ τὴν Σαλαμῖνα διέβησαν οἱ Ἀθηναῖοι ὧδε· ἕως μὲν προσ-* 6
*εδέκοντο [τὸν] ἐκ τῆς Πελοποννήσου στρατὸν ἥξειν τιμωρή-
σοντά σφι, οἱ δὲ ἔμενον ἐν τῇ Ἀττικῇ· ἐπεὶ δὲ οἱ μὲν μακρό-
τερά τε καὶ σχολαίτερα ἐποίευν, ὁ δὲ ἐπιὼν καὶ δὴ ἐν τῇ Βοιω-
τίῃ ἐλέγετο εἶναι, οὕτω δὴ ὑπεξεκομίσαντό τε πάντα καὶ αὐτοὶ
διέβησαν ἐς Σαλαμῖνα, ἐς Λακεδαίμονά τε ἔπεμψαν ἀγγέλους,
ἅμα μὲν μεμψομένους τοῖσι Λακεδαιμονίοισι ὅτι περιεῖδον ἐμ-
βαλόντα τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν ἀλλ᾽ οὐ μετά σφεων
ἠντίασαν ἐς τὴν Βοιωτίην, ἅμα δὲ ὑπομνήσοντας ὅσα σφι
ὑπέσχετο ὁ Πέρσης μεταβαλοῦσι δώσειν, προεῖπαί τε ὅτι εἰ
μὴ ἀμυνέουσι Ἀθηναίοισι, ὡς καὶ αὐτοί τινα ἀλεωρὴν εὑρήσον-
ται. Οἱ γὰρ δὴ Λακεδαιμόνιοι ὅρταζόν τε τοῦτον τὸν χρόνον* 7

1. *δεινὸν ποιησάμενοι.* S. z. VIII 15.

2. *οἵ τε ἐκ τῆς βουλῆς.* Ueber die Umschreibung mit *ἐκ* s. z. VIII 88. *ὡς ἐπύθοντο* bezieht sich nur auf die das Rathaus von auszen umstehende Volksmenge.

3. *κατέλευσαν.* Erst etwa 10 Monate vorher hatte ein gewisser Kyrsilos dieselbe Strafe erlitten, weil er den Athenern geraten hatte sich dem Xerxes zu unterwerfen und ihm die Stadt zu übergeben. Vgl. Dem. de Coron. p. 174 u. Cic. de off. III 11.

8. *κατὰ μὲν — κατὰ δέ.* Ueber die Tmesis s. z. VIII 33.

6. 11. *οἱ δέ.* S. z. VIII 40. *οἱ μέν*, *οἱ Πελοποννήσιοι.*

12. *καὶ δή.* S. z. VIII 94.

13. *οὕτω δή* im Nachsatze. S. z. VIII 23.

14. *ἔπεμψαν ἀγγέλους*, an der Spitze der Gesandtschaft standen Kimon und Myronidas. Nach Plutarch (vit. Arist. c. 10) war auch Aristides unter den Gesandten.

15. *περιεῖδον ἐμβαλόντα. περιορᾶν* heiszt (wie unser übersehen) geschehen lassen, zulassen. Mit folgendem Partic. auch VIII 75 und unt. c. 41; mit Inf. VII 16. 168.

18. *μεταβαλοῦσι.* S. z. VIII 109.

προεῖπαι ist von *ἔπεμψαν* (14) abhängig. Es wechselt also die Structur, da *ἔπεμψαν* vorher mit Particip verbunden war (*ἅμα μὲν μεμψομένους — ἅμα δὲ ὑπομνήσοντας*). Vgl. c. 54.

19. *ὡς.* Ganz wie hier nimmt *ὡς* das gleichbedeutende *ὅτι* wieder auf III 71 *ἴστε ὅτι ἢν ὑπερπέσῃ ἡ νῦν ἡμέρη, ὡς αὐτὸς ἐγὼ ταῦτα κατερέω πρὸς τὸν μάγον.* In beiden Stellen ist die Epanalepsis durch einen eingeschobenen hypothetischen Satz veranlaszt.

καί σφι ἦν Ὑακίνθια, περὶ πλείστου δ' ἦγον τὰ τοῦ θεοῦ πορσύνειν. ἅμα δὲ τὸ τεῖχός σφι, τὸ ἐν τῷ Ἰσθμῷ ἐτείχεον, καὶ δὴ ἐπάλξις ἐλάμβανε. ὡς δὲ ἀπίκοντο ἐς τὴν Λακεδαίμονα οἱ ἄγγελοι οἱ ἀπ' Ἀθηνέων, ἅμα ἀγόμενοι ἔκ τε Μεγάρων ἀγγέλους καὶ ἐκ Πλαταιέων, ἔλεγον τάδε ἐπελθόντες ἐπὶ τοὺς
I ἐφόρους· Ἔπεμψαν ἡμέας Ἀθηναῖοι λέγοντες, ὅτι ἡμῖν βασιλεὺς ὁ Μήδων τοῦτο μὲν τὴν χώρην ἀποδιδοῖ, τοῦτο δὲ συμμάχους ἐθέλει ἐπ' ἴσῃ τε καὶ ὁμοίῃ ποιήσασθαι ἄνευ τε δόλου καὶ ἀπάτης, ἐθέλει δὲ καὶ ἄλλην χώρην πρὸς τῇ ἡμετέρῃ διδόναι, τὴν ἂν αὐτοὶ ἑλώμεθα· ἡμεῖς δὲ Δία τε Ἑλλήνιον αἰδεσθέντες καὶ τὴν Ἑλλάδα δεινὸν ποιεύμενοι προδοῦναι οὐ κατανέσαμεν, ἀλλὰ ἀπειπάμεθα, καίπερ ἀδικεόμενοι ὑπ' Ἑλλήνων καὶ καταπροδιδόμενοι ἐπιστάμενοί τε ὅτι κερδαλεώτερόν ἐστι ὁμολογέειν τῷ Πέρσῃ μᾶλλον ἤπερ πολεμέειν· οὐ μὲν οὐδὲ

7. 1. *Ὑακίνθια.* Das ursprünglich wol von den Phöniziern nach dem Eurotastal verpflanzte Naturfest der Hyakinthien war neben den Karneen, dem Abbilde des dorischen Kriegs- und Lagerlebens (s. z. VII 206), das Hauptfest der Spartaner. „Man betrauerte zuerst den Tod des schönen Blumenknaben Hyakinthos, den Apollon liebte, aber unvorsichtiger Weise mit dem Diskos (oder Sonnenscheibe) tödtete, und gieng dann über zu Jubel und heiterer Lust, indem bekränzte Jünglinge und Jungfrauen mit festlichen Aufzügen, Chorgesängen und Reigen dessen Wiedererstehung und Erhöhung in den Himmel feierten, eine symbolische Andeutung des kreisenden Naturlebens, wie sie uns im phönizischen Religionsdienst so häufig begegnet.“ Das Fest dauerte drei Tage und fiel in den att. Monat Hekatombaion (Juli — August).

περὶ πλείστου ἄγειν. Zur Bedeutung von *ἄγειν* vgl. II 172 *ἐν οὐδεμιῇ μοίρῃ μεγάλῃ αὐτὸν ἦγον* I 134 *ἐν τιμῇ ἄγεσθαι.* Auch *ποιέεσθαί τι περὶ πλείστου* ist eine öfter vorkommende, gleichbedeutende Verbindung (VIII 40). — Zur Sache vgl. V 62 *οἱ Λακεδαιμόνιοι τὰ τοῦ θεοῦ πρεσβύτερα ἐποιεῦντο ἢ τὰ τῶν ἀνδρῶν.*

2. *τὸ τεῖχος.* S. VIII 71. *καὶ δή.* S. z. c. 6.

3. *ἐπάλξις.* Der Accus. Plur. der Wörter auf *ις* hat im Dialect des Herodot die Endung *ις.* S. Dial. Bd. I S. 32.

5. *ἐπελθεῖν ἐπί* cum accus. vom Auftreten vor einer Versammlung auch VII 146. Ueber *ἐπί* s. z. VIII 79. — Die Ephoren hatten die Befugnis auswärtige Gesandte vorzulassen oder abzuweisen.

6. *λέγοντες.* Zur Bedeutung von *λέγειν* vgl. unt. c. 18 *πέμψας Μαρδόνιος κήρυκα ἔλεγε τάδε.*

7. *τοῦτο μέν — τοῦτο δέ.* S. z. VIII c. 88.

8. *ἐπ' ἴσῃ τε καὶ ὁμοίῃ* (erg. *μοίρῃ*) ist eine beim Abschlieszen von Verträgen und Bündnissen häufig vorkommende Verbindung, durch welche sich beide Parteien völlige Gleichheit und Selbständigkeit garantieren. Wie hier bei Thuk. I 26.

ἄνευ τε δόλου καὶ ἀπάτης. Zum Hyperbaton vgl. VIII 140. Auch diese bei Bündnissen fast stehende Formel findet sich I 69. VIII 140.

12. *ἀπειπάμεθα. ἀπείπασθαί τι* heiszt: sich von etwas lossagen, dann: etwas verweigern (VI 100. VII 14). An unserer Stelle ist es absolut gebraucht.

14. *μᾶλλον* dient zur Verstärkung des Comparativs. Vgl. VII 144

ὁμολογήσομεν ἑκόντες εἶναι. καὶ τὸ μὲν ἀπ' ἡμέων οὕτω ἀκί-
βδηλον ἐὸν νέμεται ἐπὶ τοὺς Ἕλληνας. Ὑμεῖς δὲ ἐς πᾶσαν ἀρ- II
ρωδίην τότε ἀπικόμενοι μὴ ὁμολογήσωμεν τῷ Πέρσῃ, ἐπείτε
ἐξεμάθετε τὸ ἡμέτερον φρόνημα σαφέως, ὅτι οὐδαμὰ προδώ-
σομεν τὴν Ἑλλάδα, καὶ διότι τεῖχος ὑμῖν διὰ τοῦ Ἰσθμοῦ ἐλαυ-
νόμενον ἐν τέλεϊ ἐστι, καὶ δὴ λόγον οὐδένα τῶν Ἀθηναίων
ποιέεσθε, συνθέμενοί τε ἡμῖν τὸν Πέρσην ἀντιώσεσθαι ἐς τὴν
Βοιωτίην προδεδώκατε, περιείδετέ τε ἐσβαλόντα ἐς τὴν Ἀττι-
κὴν τὸν βάρβαρον. ἐς μέν νυν τὸ παρεὸν Ἀθηναῖοι ὑμῖν μη-
νίουσι· οὐ γὰρ ἐποιήσατε ἐπιτηδέως· νῦν δὲ ὅτι τάχος στρατιὴν
ἅμα ἡμῖν ἐκέλευσαν ὑμέας ἐκπέμπειν, ὡς ἂν τὸν βάρβαρον δε-
κώμεθα ἐν τῇ Ἀττικῇ. ἐπειδὴ γὰρ ἡμάρτομεν τῆς Βοιωτίης,
τῆς γε ἡμετέρης ἐπιτηδεώτατόν ἐστι ἐμμαχέσασθαι τὸ Θριάσιον
πεδίον. Ὡς δὲ ἄρα ἤκουσαν οἱ ἔφοροι ταῦτα, ἀνεβάλλοντο ἐς 8
τὴν ὑστεραίην ὑποκρίνασθαι, τῇ δὲ ὑστεραίῃ ἐς τὴν ἑτέρην.
τοῦτο δὲ καὶ ἐπὶ δέκα ἡμέρας ἐποίευν, ἐξ ἡμέρης ἐς ἡμέρην

ταῦτά σφι ἔγνωσαν αἱρετώτερα εἶναι μᾶλλον ἢ τὰ τῶν χρησμολόγων.

οὐ μὲν οὐδέ. Ueber diese Verbindung s. z. VIII 130.

1. ἑκόντες εἶναι. Ueber den Infin. s. z. VIII 116.

τὸ μὲν ἀπ' ἡμέων eig. „das was von uns ausgeht“ d. h. unsere Handlungsweise. Zum Ausdruck vgl. IV 139 καὶ τὰ ἀπ' ἡμέων ἐς ὑμέας ἐπιτηδέως ὑπηρετέεται. Aehnlich c. 13 τὸ παρ' Ἀθηναίων.

2. ἐς πᾶσαν ἀρρωδίην. S. z. VIII 36.

4. ἐξεμάθετε — φρόνημα. Zur Sache vgl. VIII 144.

5. καὶ διότι ist nicht mit ὅτι — προδώσομεν, sondern mit ἔπειτε ἐξεμάθετε zu verbinden.

6. καὶ δή (= ἤδη), hier beginnt der Nachsatz.

λόγον οὐδένα ποιέεσθαι (τινός) ist eine bei Her. sehr häufige Verbindung (VII 13. 58). Gleichbedeutend ist die Wendung ἐν οὐδενὶ λόγῳ ποιέεσθαί τινα od. τι (VII 57).

7. συνθέμενοι. Vgl. III 157 ἐποίεε τάπερ τῷ Δαρείῳ συνεθήκατο. Aehnlich VIII 120. 140.

τὸν Πέρσην ἀντιώσεσθαι. ἀντιοῦσθαι ist hier regelwidrig mit dem Accus. verbunden, während es sonst stets den Dativ bei sich hat (VII 168. 139. VIII 100. IX 26); vermutlich ist mit Krüger τὸν Πέρσην als Glossem (zu τὸν βάρβαρον) zu streichen, zumal da auch die dem Verbum hinzugefügte locale Bestimmung (ἐς τὴν Βοιωτίην) ein näheres Object auszuschlieszen scheint.

8. προδεδώκατε (erg. ἡμᾶς) deseruistis. Vgl. c. 60.

περιείδετε ἐσβαλόντα. S. z. c. 6.

9. ἐς τὸ παρεόν. S. z. VIII 109.

10. ἐπιτηδέως. Vgl. IV 139 καὶ τὰ ἀπ' ἡμέων ἐς ὑμέας ἐπιτηδέως ὑπηρετέεται.

ὅτι τάχος (= ὡς τάχιστα), dafür ὡς τάχος V 106, κατὰ τάχος V 34.

13. ἐπιτηδεώτατον — ἐμμαχέσασθαι. Zum Infinitiv s. z. c. 2.

τὸ Θριάσιον πεδίον. S. z. VIII 65.

8. 14. ἄρα bezeichnet hier wie c. 9 einfach den Fortschritt der Handlung. Vgl. VII 116.

16. ἐπὶ δέκα ἡμέρας. Zur Bedeutung von ἐπί vgl. V 55 μετὰ ταῦτα ἐτυραννεύοντο Ἀθηναῖοι ἐπ' ἔτεα τέσσερα.

ἀναβαλλόμενοι. ἐν δὲ τούτῳ τῷ χρόνῳ τὸν Ἰσθμὸν ἐτείχεον σπουδὴν ἔχοντες πολλὴν πάντες Πελοποννήσιοι, καί σφι ἦν πρὸς τέλεϊ. οὐδ᾽ ἔχω εἶπαι τὸ αἴτιον, διότι ἀπικομένου μὲν Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐς Ἀθήνας σπουδὴν μεγάλην ἐποιήσαντο μὴ μηδίσαι Ἀθηναίους, τότε δὲ ὤρην ἐποιήσαντο οὐδεμίαν, ἄλλο γε ἢ ὅτι ὁ Ἰσθμός σφι ἐτετείχιστο καὶ ἐδόκεον Ἀθηναίων ἔτι δέεσθαι οὐδέν· ὅτε δὲ ὁ Ἀλέξανδρος ἀπίκετο ἐς τὴν Ἀττικὴν, οὔκω ἀπετετείχιστο, ἐργάζοντο δὲ μεγάλως καταρρωδηκότες τοὺς Πέρσας.
9 Τέλος δὲ τῆς τε ὑποκρίσιος καὶ ἐξόδου τῶν Σπαρτιητέων ἐγένετο τρόπος τοιόσδε· τῇ προτεραίῃ τῆς ὑστάτης καταστάσιος μελλούσης ἔσεσθαι Χίλεος ἀνὴρ Τεγεήτης, δυνάμενος ἐν Λακεδαίμονι μέγιστα ξείνων, τῶν ἐφόρων ἐπύθετο πάντα λόγον, τὸν δὴ οἱ Ἀθηναῖοι ἔλεγον. ἀκούσας δὲ ὁ Χίλεος ἔλεγε ἄρα σφι τάδε· Οὕτω ἔχει, ἄνδρες ἔφοροι· Ἀθηναίων ἡμῖν ἐόντων μὴ ἀρθμίων, τῷ δὲ βαρβάρῳ συμμάχων, καίπερ τείχεος διὰ τοῦ Ἰσθμοῦ ἐληλαμένου κρατεροῦ, μεγάλαι κλισιάδες ἀναπεπτέαται ἐς τὴν Πελοπόννησον τῷ Πέρσῃ. ἀλλ᾽ ἐσακούσατε, πρίν τι ἄλλο Ἀθηναίοισι δόξαι
10 σφάλμα τῇ Ἑλλάδι φέρον. Ὁ μέν σφι ταῦτα συνεβούλευε, οἱ δὲ φρενὶ λαβόντες τὸν λόγον αὐτίκα, φράσαντες οὐδὲν τοῖσι ἀγγέλοισι τοῖσι ἀπιγμένοισι ἀπὸ τῶν πολίων, νυκτὸς ἔτι ἐκπέμπουσι πεντακισχιλίους Σπαρτιητέων [καὶ ἑπτὰ περὶ ἕκαστον τάξαντες τῶν εἱλώτων], Παυσανίῃ τῷ Κλεομβρότου ἐπιτρέψαν-

1. τὸν Ἰσθμὸν ἐτείχεον. Vgl. VIII 71.
2. ἦν πρὸς τέλεϊ, das Subject ist aus ἐτείχεον zu entnehmen.
5. ωρην ἐποιήσαντο οὐδεμίαν. Vgl. III 155 οὐδεμία ἔσται ὤρη ἀπολλυμένης und II 4 μηδεμίαν ὤρην ἔχειν ἁρπασθεισέων γυναικῶν.
6. ἄλλο γε ἤ abhängig von οὐδ᾽ ἔχω εἶπαι τὸ αἴτιον, vgl. I 49 κατὰ δὲ τὴν Ἀμφιάρεω τοῦ μαντηΐου ὑπόκρισιν οὐκ ἔχω εἶπαι ὅτι τοῖσι Λυδοῖσι ἔχρησε ἄλλο γε ἢ ὅτι καὶ τοῦτον ἐνόμισε μαντήϊον ἀψευδὲς κεκτῆσθαι.

9. 11. καταστάσιος. S. z. VIII 79.
14. ἄρα. S. z. c. 8.
οὕτω ἔχει. Dieselbe Formel VII 161.
15. μὴ ἀρθμίων. Ueber μή beim Particip s. z. VIII 9. Zur Bedeutung von ἄρθμιος vgl. VII 101 οἱ Ἕλληνες οὐκ ἀξιόμαχοί εἰσι ἐμὲ ἐπιόντα ὑπομεῖναι, μὴ ἐόντες ἄρθμιοι (Worte des Xerxes). In gleicher Bedeutung steht ἄρθμιος unt. c. 37.
18. ἀλλ᾽. Ueber den Gebrauch von ἀλλά s. z. VIII 62.

10. 20. φρενὶ λαβόντες. S. z. VIII 19.
22. καὶ ἑπτὰ — εἱλώτων. Dieser die Construction störende Zusatz scheint aus c. 28 entnommen zu sein; auch fehlt derselbe in einigen Handschriften.
23. Κλεόμβροτος. Auch er hatte, freilich nur sehr kurze Zeit, die Vormundschaft für den Sohn seines älteren Bruders Leonidas, Pleistarchos, geführt. Zur Genealogie vgl. V 41. VII 205. VIII 71.

τες ἐξάγειν. ἐγίνετο μέν νυν ἡ ἡγεμονίη Πλειστάρχου τοῦ Λεωνίδεω· ἀλλ᾽ ὁ μὲν ἦν ἔτι παῖς, ὁ δὲ τούτου ἐπίτροπός τε καὶ ἀνεψιός. Κλεόμβροτος γὰρ ὁ Παυσανίεω μὲν πατὴρ, Ἀναξανδρίδεω δὲ παῖς, οὐκέτι περιῆν, ἀλλὰ ἀπαγαγὼν ἐκ τοῦ Ἰσθμοῦ τὴν στρατιὴν τὴν τὸ τεῖχος δείμασαν μετὰ ταῦτα οὐ πολλὸν χρόνον τινὰ βιοὺς ἀπέθανε. ἀπῆγε δὲ τὴν στρατιὴν ὁ Κλεόμβροτος ἐκ τοῦ Ἰσθμοῦ διὰ τόδε· θυομένῳ οἱ ἐπὶ τῷ Πέρσῃ ὁ ἥλιος ἀμαυρώθη ἐν τῷ οὐρανῷ. προσαιρέεται δὲ ἑωυτῷ Παυσανίης Εὐρυάνακτα τὸν Δωριέος, ἄνδρα οἰκίης ἐόντα τῆς αὐτῆς. Οἱ μὲν δὴ σὺν Παυσανίῃ ἐξεληλύθεσαν ἔξω 11 Σπάρτης, οἱ δὲ ἄγγελοι, ὡς ἡμέρη ἐγεγόνεε, οὐδὲν εἰδότες περὶ τῆς ἐξόδου ἐπῆλθον ἐπὶ τοὺς ἐφόρους, ἐν νόῳ δὴ ἔχοντες ἀπαλλάσσεσθαι καὶ αὐτοὶ ἐπὶ τὴν ἑωυτοῦ ἕκαστος· ἐπελθόντες δὲ ἔλεγον τάδε· Ὑμεῖς μὲν, ὦ Λακεδαιμόνιοι, αὐτοῦ τῇδε μένοντες Ὑακίνθιά τε ἄγετε καὶ παίζετε, καταπροδόντες τοὺς συμμάχους· Ἀθηναῖοι δὲ ὡς ἀδικεόμενοι ὑπὸ ὑμέων, χήτι τε συμμάχων, καταλύσονται τῷ Πέρσῃ οὕτω, ὅκως ἂν δύνωνται.

7. θυομένῳ οἱ ἐπί. ἐπί c. dat. deutet namentlich bei persönlichen Begriffen die Absicht zu schaden an. Vgl. V 37 ὁ Ἀρισταγόρης ἐκ τοῦ ἐμφανέος ἀπεστήκεε πᾶν ἐπὶ Δαρείῳ μηχανεόμενος. Anders gedacht ist V 44 βασιλέϊ τὰ ἱρὰ οὐ προεχώρεε χρηστὰ θυομένῳ ἐπὶ Κρότωνα (s. z. d. Stelle).

8. ἀμαυρώθη. Wie Zech in seinen astronomischen Untersuchungen bemerkt, ist hier nicht an eine eigentliche Sonnenfinsternis, sondern nur an eine Verdunklung der Sonne durch atmosphärische Ursachen zu denken, da nach astronomischen Berechnungen in diese Zeit (letzte Hälfte des Jahres 480) keine Sonnenfinsternis gefallen sein könne. Indes ist schon zu VII 37 bemerkt, dasz das Resultat derartiger schwieriger Berechnungen durchaus nicht vollständig sicher ist. Was den Ausdruck ἀμαυροῦσθαι anlangt, so kann dieser sehr gut von einer Sonnenfinsternis verstanden werden, obwol Herodot an den beiden anderen Stellen, wo er diese Erscheinung erwähnt, sich anders ausdrückt. Vgl. I 74 τῆς μάχης συνεστεώσης ἡ ἡμέρη ἐξαπίνης νὺξ ἐγένετο und VII 37 ὁρμημένῳ δὲ οἱ ὁ ἥλιος ἐκλιπὼν τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην ἀφανὴς ἦν.

9. Δωριέος. Auch Dorieus (s. z. V 46) war ein Sohn des Anaxandridas. Es waren also Euryanax, Pleistarchos, Pausanias die Söhne der drei Brüder Dorieus, Leonidas, Kleombrotos.

11. 12. ἐπῆλθον ἐπί. Ueber ἐπί s. z. c. 5.

13. καὶ αὐτοί mit Bezugnahme auf den Auszug des Pausanias.

14. αὐτοῦ τῇδε. Häufig so αὐτοῦ ταύτῃ (VII 42); wie hier VII 10. 141. Im Attischen würde αὐτοῦ genügen.

15. Ὑακίνθια. S. z. c. 7.

παίζετε mit Beziehung auf die Festaufzüge, Reigentänze und Chorgesänge, die bei der Feier stattfanden.

16. χήτι, Dativ von dem Substantiv χῆτις „Mangel", das nur im Dat. vorzukommen scheint. Der Dativ eines Substantivs steht hier parallel mit einem Participium, mit welchem es durch τε verbunden ist.

17. καταλύεσθαι τῷ Πέρσῃ. S. z. VIII 140.

καταλυσάμενοι δὲ, δῆλα γὰρ [δὴ] ὅτι σύμμαχοι βασιλέος γινόμεθα, συστρατευσόμεθα ἐπὶ τὴν ἂν ἐκεῖνοι ἐξηγέωνται. ὑμεῖς δὲ τὸ ἐνθεῦτεν μαθήσεσθε, ὁκοῖον ἄν τι ὑμῖν ἐξ αὐτοῦ ἐκβαίνῃ. Ταῦτα λεγόντων τῶν ἀγγέλων οἱ ἔφοροι εἶπαν ἐπ' ὅρκου καὶ δὴ δοκέειν εἶναι ἐν Ὀρεστείῳ στείχοντας ἐπὶ τοὺς ξείνους· ξείνους γὰρ ἐκάλεον τοὺς βαρβάρους. οἱ δὲ ὡς οὐκ εἰδότες ἐπειρώτεον τὸ λεγόμενον, ἐπειρόμενοι δὲ ἐξέμαθον πᾶν τὸ ἐόν, ὥστε ἐν θώματι γενόμενοι ἐπορεύοντο τὴν ταχίστην διώκοντες· σὺν δέ σφι τῶν περιοίκων Λακεδαιμονίων λογάδες πεντακισχίλιοι ὁπλῖται τὠυτὸ τοῦτο ἐποίευν.

12 Οἱ μὲν δὴ ἐς τὸν Ἰσθμὸν ἠπείγοντο, Ἀργεῖοι δὲ ἐπείτε τάχιστα ἐπύθοντο τοὺς μετὰ Παυσανίεω ἐξεληλυθότας ἐκ Σπάρτης, πέμπουσι κήρυκα τῶν ἡμεροδρόμων ἀνευρόντες τὸν ἄριστον ἐς τὴν Ἀττικὴν, πρότερον αὐτοὶ Μαρδονίῳ ὑποδεξάμενοι σχήσειν τὸν Σπαρτιήτην μὴ ἐξιέναι. ὃς ἐπείτε ἀπίκετο ἐς τὰς Ἀθήνας, ἔλεγε τάδε· Μαρδόνιε, ἔπεμψάν με Ἀργεῖοι φράσοντά τοι, ὅτι ἐκ Λακεδαίμονος ἐξελήλυθε ἡ νεότης, καὶ ὡς οὐ δυνατοὶ αὐτὴν ἴσχειν εἰσὶ Ἀργεῖοι μὴ οὐκ ἐξιέναι. πρὸς

13 ταῦτα τύγχανε εὖ βουλευόμενος. Ὁ μὲν δὴ εἴπας ταῦτα ἀπαλλάσσετο ὀπίσω, Μαρδόνιος δὲ οὐδαμῶς ἔτι πρόθυμος ἦν μένειν ἐν τῇ Ἀττικῇ, ὡς ἤκουσε ταῦτα. πρὶν μέν νυν ἢ πυθέσθαι, ἀνεκώχευε ἐθέλων εἰδέναι τὸ παρ' Ἀθηναίων, ὁκοῖόν τι ποιήσουσι, καὶ οὔτε ἐπήμαινε οὔτε ἐσίνετο γῆν τὴν Ἀττικὴν, ἐλπί-

3. *ἐκβαίνῃ.* Vgl. VIII 60 ἢν τὰ οἰκότα ἐκ τοῦ πολέμου ἐκβαίνῃ πολλὸν κρατήσομεν.

4. *ἐπ' ὅρκου* wol nur hier so. Xen. Kyr. II 3, 12 gebraucht dafür σὺν θεῶν ὅρκῳ λέγω.

καὶ δὴ — ξείνους. Verb. στείχοντας (näml. τοὺς ἑωυτοῦ) ἐπὶ τοὺς ξείνους δοκέειν εἶναι καὶ δὴ ἐν Ὀρεστείῳ. Ueber καὶ δή s. z. c. 6.

5. *ἐν Ὀρεστείῳ.* Oresteion, eine Stadt im südlichen Arkadien, lag an der südwestlichen Grenze des Gebietes von Tegea und nördlich vom lakonischen Gebiet unweit den Eurotasquellen.

6. *ξείνους — βαρβάρους.* Vgl. c. 53.

7. *ἐπειρόμενοι δέ.* S. z. c. 2 (πέμπων δέ).

πᾶν τὸ ἐόν. S. z. VIII 68.

8. *τὴν ταχίστην.* S. z. VIII 98.

9. *τῶν περιοίκων.* Ueber die lakedämonischen Periöken s. z. VI 58. Vgl. auch VIII 73.

12. 13. *ἡμεροδρόμων.* Vgl. Liv. XXXI 24 hemerodromos vocant Graeci ingens uno die cursu emetientes spatium. Vgl. VI 105.

14. *ὑποδεξάμενοι.* Vgl. VIII 102 ὑποδέκεται ταῦτα ποιήσειν.

15. *μή.* Ueber μή nach σχήσειν s. z. VIII 111.

18. *μὴ οὐκ.* S. z. VIII 57.

Mardonios verbrennt Athen. Rückzug nach Boiotien. Lager am Asopos. Mardonios in Theben. Prüfung der ins persische Lager gekommenen Phoker (c. 13—18).

13. 22. *τὸ παρ' Ἀθηναίων.* S. z. c. 7 (τὸ ἀπ' ἡμέων).

ζων διὰ παντὸς τοῦ χρόνου ὁμολογήσειν σφέας· ἐπεὶ δὲ οὐκ ἔπειθε, πυθόμενος τὸν πάντα λόγον, πρὶν ἢ τοὺς μετὰ Παυσανίεω ἐς τὸν Ἰσθμὸν ἐμβαλεῖν ὑπεξεχώρεε ἐμπρήσας τε τὰς Ἀθήνας, καὶ εἴ κού τι ὀρθὸν ἦν τῶν τειχέων ἢ τῶν οἰκημάτων ἢ τῶν ἱρῶν, πάντα καταβαλὼν καὶ συγχώσας. ἐξήλαυνε δὲ τῶνδε εἵνεκεν, ὅτι οὔτε ἱππασίμη ἡ χώρη ἦν ἡ Ἀττική, εἴ τε νικῷτο συμβαλών, ἀπάλλαξις οὐκ ἦν, ὅτι μὴ κατὰ στεινόν, ὥστε καὶ ὀλίγους σφέας ἀνθρώπους ἴσχειν. ἐβουλεύετο ὦν ἐπαναχωρήσας ἐς τὰς Θήβας συμβαλεῖν πρὸς πόλι τε φιλίῃ καὶ χώρῃ ἱππασίμῳ. Μαρδόνιος μὲν δὴ ὑπεξεχώρεε, ἤδη δὲ 14
ἐν τῇ ὁδῷ ἐόντι αὐτῷ ἦλθε ἀγγελίη πρόδρομον ἄλλην στρατιὴν ἥκειν ἐς Μέγαρα, Λακεδαιμονίων χιλίους. πυθόμενος δὲ ταῦτα ἐβουλεύετο, ἐθέλων, εἴ κως τούτους πρῶτον ἕλοι. ὑποστρέψας δὲ τὴν στρατιὴν ἦγε ἐπὶ τὰ Μέγαρα· ἡ δὲ ἵππος προελθοῦσα κατιππάσατο χώρην τὴν Μεγαρίδα. ἐς ταύτην δὴ ἑκαστάτω τῆς Εὐρώπης τὸ πρὸς ἡλίου δύνοντος ἡ Περσικὴ αὕτη στρατιὴ ἀπίκετο. Μετὰ δὲ ταῦτα Μαρδονίῳ ἦκε ἀγγελίη, 15
ὡς ἀλέες εἴησαν οἱ Ἕλληνες ἐν τῷ Ἰσθμῷ. οὕτω δὴ ὀπίσω ἐπορεύετο διὰ Δεκελείης. οἱ γὰρ βοιωτάρχαι μετεπέμψαντο

5. *συγχώσας.* Das Verbum steht in gleicher Bedeutung VIII 144.

6. *ἱππασίμη.* Das steinige, überall von Hügelketten durchzogene Bergland Attika hat nur wenige (3) und unbedeutende Ebenen. Vgl. V 63.

εἴ τε. τε entspricht dem vorhergehenden οὔτε (s. z. VIII 26) und gehört eigentlich zu dem Satz ἀπάλλαξις οὐκ ἦν (= οὔτε ἀπάλλαξις ἦν), von welchem der Nebensatz εἰ νικῷτο συμβαλών abhängt.

7. *ὅτι μή* att. πλὴν ἤ nisi. So sehr häufig bei Herodot. Vgl. III 125 ὅτι γὰρ μὴ οἱ Συρακοσίων τύραννοι, οὐδὲ εἷς τῶν ἄλλων ἄξιός ἐστι ἐπιμνησθῆναι.

κατὰ στεινόν. Sowol der östliche Weg, welcher aus Attika nach Boiotien zwischen Parnes und Brilessos hindurch über Dekelea nach Oropos und Tanagra führt, als die westliche Strasse, welche über die Pässe zwischen Parnes und Kithaeron von Attika aus ins Asopostal hinabläuft, ist auf beiden Seiten von Bergen eingeengt.

14. 11. *πρόδρομον.* Die Lakedämonier hatten im Ganzen 5000 Hopliten ausgeschickt (c. 10); die hier erwähnten 1000 Mann bildeten ein vorgeschobenes Corps.

16. *ἑκαστάτω τῆς Εὐρώπης* „extrema haec erat in occidentem versus Europae regio in quam pervenit hic Persarum exercitus". Zum Gebrauch des Superlativs ἑκαστάτω, von welchem der (partitive) Genetiv Εὐρώπης abhängt, vgl. IV 204 οὗτος ὁ Περσέων στρατὸς τῆς Λιβύης ἑκαστάτω ἐς Εὐεσπερίδας ἦλθε.

τὸ πρὸς ἡλίου δύνοντος adverbieller Accusativ = westwärts. Vgl. VII 20 τὸ πρὸς μεσαμβρίης südwärts. In beiden Stellen ist πρός mit dem seltneren Genetiv verbunden. S. z. VIII 130.

15. 19. *διὰ Δεκελείης.* Mardonios zog also von Megara aus durch die thriasische Ebene (c. 7), wandte sich darauf nordöstlich nach Dekelea und zog von hier an den östlichen Abhängen des Parnes vorbei (s. z. c. 13) in das Tal des Asopos

τοὺς προσχώρους τῶν Ἀσωπίων, οὗτοι δὲ αὐτῷ τὴν ὁδὸν ἡγέ-
οντο ἐς Σφενδαλέας, ἐνθεῦτεν δὲ ἐς Τανάγρην. ἐν Τανάγρῃ
δὲ νύκτα ἐναυλισάμενος καὶ τραπόμενος τῇ ὑστεραίῃ ἐς Σκῶ-
λον ἐν γῇ τῇ Θηβαίων ἦν. ἐνθαῦτα δὲ τῶν Θηβαίων καίπερ
μηδιζόντων ἔκειρε τοὺς χώρους, οὔτι κατ᾽ ἔχθος αὐτῶν, ἀλλ᾽
ὑπ᾽ ἀναγκαίης μεγάλης ἐχόμενος, βουλόμενος ἔρυμά τε τῷ στρα-
τοπέδῳ ποιήσασθαι, καὶ ἢν συμβαλόντι οἱ μὴ ἐκβαίνῃ ὁκοῖόν
τι ἐθέλοι, κρησφύγετον τοῦτο ἐποιέετο. παρῆκε δὲ αὐτοῦ τὸ
στρατόπεδον ἀρξάμενον ἀπὸ Ἐρυθρέων παρὰ Ὑσιὰς, κατέτεινε
δὲ ἐς τὴν Πλαταιίδα γῆν, παρὰ τὸν Ἀσωπὸν ποταμὸν τεταγμέ-
νον. οὐ μέντοι τό γε τεῖχος τοσοῦτο ἐποιέετο, ἀλλ᾽ ὡς ἐπὶ
δέκα σταδίους μάλιστά κῃ μέτωπον ἕκαστον. ἐχόντων δὲ τὸν
πόνον τοῦτον τῶν βαρβάρων Ἀτταγῖνος ὁ Φρύνωνος ἀνὴρ Θη-
βαῖος παρασκευασάμενος μεγάλως ἐκάλεε ἐπὶ ξείνια αὐτόν τε
Μαρδόνιον καὶ πεντήκοντα Περσέων τοὺς λογιμωτάτους, κλη-
θέντες δὲ οὗτοι εἵποντο. ἦν δὲ τὸ δειπνὸν ποιεύμενον ἐν Θη-
16 βῃσι. Τάδε δὲ ἤδη τὰ ἐπίλοιπα ἤκουον Θερσάνδρου, ἀνδρὸς
μὲν Ὀρχομενίου, λογίμου δὲ ἐς τὰ πρῶτα ἐν Ὀρχομενῷ. ἔφη
δὲ ὁ Θέρσανδρος κληθῆναι καὶ αὐτὸς ὑπὸ Ἀτταγίνου ἐπὶ τὸ
δεῖπνον τοῦτο, κληθῆναι δὲ καὶ Θηβαίων ἄνδρας πεντήκοντα
καί σφεων οὐ χωρὶς ἑκατέρους κλῖναι, ἀλλὰ Πέρσην τε καὶ

herab; die Anwohner desselben (*οἱ Ἀσώπιοι* od. *Παρασώπιοι*), deren Gebiet die Grenze zwischen Attika und Boiotien bildete, führten darauf das Heer nach Sphendaleai, einem sonst nicht weiter genannten Orte, der an den Nordabhängen des Parnes auf der von Dekelea nach Tanagra führenden Strasse gelegen haben muss.

βοιωτάρχαι hieszen die 11 (später 7) Befehlshaber des boiotischen Bundesheeres; sie hatten auch die Beschlüsse des gemeinsamen Bundesrates, welchen 10 boiotische Gemeinwesen beschickten, zu vollziehen.

3. *Σκῶλον.* Skolos war ein kleiner an den Abhängen des Kithaeron gelegener Ort (*τόπος δυσοίκητος καὶ τραχύς* Strab. p. 408); er lag im Asopostale an der von Tanagra nach Plataeae führenden Strasze.

5. *κατ᾽ ἔχθος.* Zur Bedeutung von *κατά* s. z. VIII 30.

6. *ὑπ᾽ ἀναγκαίης—ἐχόμενος,* wie hier VII 233. Vgl. c. 37 *ἐν τούτῳ τῷ κακῷ ἐχόμενος.*

7. *καὶ—ἐποιέετο.* Zum Uebergange vom Participium (*βουλόμενος*) zum Verb. finit. s. z. VIII 86.

9. *ἀπὸ Ἐρυθρέων παρὰ Ὑσιάς.* Erythrae wie Hysiae lagen an den nördlichen Abhängen des Kithaeron, Erythrae südlich von Skolos, Hysiae noch weiter südwestlich.

11. *τοσοῦτο* näml. *ὅσονπερ τὸ στρατόπεδον παρῆκε.*

12. *μάλιστά κῃ.* Ueber die Verbindung von *ὡς* und *μάλιστά κῃ* s. z. VIII 8.

13. *Ἀτταγῖνος.* Vgl. c. 86. 88.

16. 18. *λογίμου ἐς τὰ πρῶτα.* Ueber den adverbiellen Ausdruck *ἐς τὰ πρῶτα* s. z. VIII 144.

21. *κλῖναι.* Als Subjectsaccusativ schwebt *Ἀτταγῖνον* vor.

Θηβαῖον ἐν κλίνῃ ἑκάστῃ. ὡς δὲ ἀπὸ δείπνου ἦσαν, διαπινόντων τὸν Πέρσην τὸν ὁμόκλινον Ἑλλάδα γλῶσσαν ἱέντα εἴρεσθαι αὐτὸν ὁποδαπός ἐστι, αὐτὸς δὲ ὑποκρίνασθαι ὡς εἴη Ὀρχομένιος. τὸν δὲ εἰπεῖν· Ἐπεὶ νῦν ὁμοτράπεζός τέ μοι καὶ ὁμόσπονδος ἐγένεο, μνημόσυνά τοι γνώμης τῆς ἐμῆς καταλιπέσθαι ἐθέλω, ἵνα καὶ προειδὼς αὐτὸς περὶ σεωυτοῦ βουλεύεσθαι ἔχῃς τὰ συμφέροντα. ὁρᾷς τούτους τοὺς δαινυμένους Πέρσας καὶ τὸν στρατὸν τὸν ἐλίπομεν ἐπὶ τῷ ποταμῷ στρατοπεδευόμενον; τούτων πάντων ὄψεαι ὀλίγου τινὸς χρόνου διελθόντος ὀλίγους τινὰς τοὺς περιγενομένους. Ταῦτά τε ἅμα τὸν Πέρσην λέγειν καὶ μετιέναι πολλὰ τῶν δακρύων. αὐτὸς δὲ θωμάσας τὸν λόγον εἰπεῖν πρὸς αὐτόν· Οὐκῶν Μαρδονίῳ τε ταῦτα χρεών ἐστι λέγειν καὶ τοῖσι μετ' ἐκεῖνον ἐν αἴνῃ ἐοῦσι Περσέων. Τὸν δὲ μετὰ ταῦτα εἰπεῖν· Ξεῖνε, ὅ τι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ· οὐδὲ γὰρ πιστὰ λέγουσι ἐθέλει πείθεσθαι οὐδείς. ταῦτα δὲ Περσέων συχνοὶ ἐπιστάμενοι ἑπόμεθα ἀναγκαίῃ ἐνδεδεμένοι. ἐχθίστη δὲ ὀδύνη ἐστὶ τῶν ἐν ἀνθρώποισι

1. *ἀπὸ δείπνου ἦσαν.* Dieselbe Wendung I 126. Noch häufiger findet sich das gleichbedeutende *ἀπὸ δείπνου γενέσθαι* (II 78).

διαπινόντων, αὐτῶν. Der Subjectsgenetiv ist ebenso zu ergänzen VIII 90, unt. c. 27.

2. *Ἑλλάδα.* S. z. VIII 87 (*Ἑλληνίς*).

γλῶσσαν ἱέναι auch I 57. Vgl. IV 23 (*φωνὴν ἱέναι*).

4. *ὁμόσπονδος* eig. „an derselben Libation teilnehmend."

5. *μνημόσυνα — καταλιπέσθαι.* Vgl. VII 226 *ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα.* Derselbe Ausdruck ist II 148 von einer Pyramide gebraucht. Vgl. auch VI 109 *ἐν σοὶ νῦν, Καλλίμαχε, ἐστὶ ἢ καταδουλῶσαι Ἀθήνας ἢ ἐλευθέρας ποιήσαντα μνημόσυνα λιπέσθαι ἐς τὸν ἅπαντα ἀνθρώπων βίον.*

9. *ὀλίγου τινός.* Auch gleich im Folg. ist *ὀλίγος* mit *τὶς* verbunden. S. z. VIII 86.

10. *τοὺς περιγενομένους. τούς* = solche die.

11. *πολλὰ τῶν δακρύων.* Durch den Artikel werden die Tränen als ein Bestimmtes, generell von anderen Dingen Unterschiedenes gekennzeichnet.

13. *ἐν αἴνῃ ἐοῦσι.* Vgl. III 74 *ὁ Πρηξάσπης ἐν αἴνῃ μεγίστῃ ἦν ἐν Πέρσῃσι. αἴνη* Ansehen ist ein mehr poetisches Wort.

14. *ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ.* Zum Gedanken vgl. I 91 *τὴν πεπρωμένην μοῖραν ἀδύνατά ἐστι ἀποφυγεῖν καὶ θεῷ* und III 43 *ἔμαθε (Ἄμασις) ὅτι ἐκκομίσαι ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκ τοῦ μέλλοντος γίνεσθαι πρήγματος.*

15. *οὐδὲ — ἐθέλει.* Die in *οὐδὲ* (= *καὶ οὐ*) enthaltene Negation gehört nicht zu *πιστὰ λέγουσι*, sondern zu *ἐθέλει.* Ueber die Bedeutung von *ἐθέλειν* (consuesse) s. z. VIII 60. In gleicher Bedeutung wird *φιλέειν* gebraucht (c. 122).

16. *ἀναγκαίῃ ἐνδεδεμένοι.* Dieselbe Wendung, doch activisch I 11 (*ἀναγκαίῃ ἐνδεῖν*). Vgl. VIII 22 *ὑπ' ἀναγκαίης μέζονος κατέζευχθε.* In allen diesen Stellen ist *ἀναγκαίη* von dem selbst von den Göttern unabhängigen Schicksal zu verstehen, dessen zwingender Macht sich jeder fügen muss; ein

αὔτη, πολλὰ φρονέοντα μηδενὸς κρατέειν. Ταῦτα μὲν τοῦ Ὀρχομενίου Θερσάνδρου ἤκουον, καὶ τάδε πρὸς τούτοισι, ὡς αὐτὸς αὐτίκα λέγοι ταῦτα πρὸς ἀνθρώπους πρότερον ἢ γενέσθαι
17 ἐν Πλαταιῇσι τὴν μάχην. Μαρδονίου δὲ ἐν τῇ Βοιωτίῃ στρατοπεδευομένου οἱ μὲν ἄλλοι παρείχοντο ἅπαντες στρατιὴν καὶ συνεσέβαλον ἐς Ἀθήνας, ὅσοιπερ ἐμήδιζον Ἑλλήνων τῶν ταύτῃ οἰκημένων, μοῦνοι δὲ Φωκέες οὐ συνεσέβαλον· ἐμήδιζον γὰρ δὴ σφόδρα καὶ οὗτοι οὐκ ἑκόντες, ἀλλ' ὑπ' ἀναγκαίης. ἡμέρῃσι δὲ οὐ πολλῇσι μετὰ τὴν ἄπιξιν τὴν ἐς Θήβας ὕστερον ἦλθον αὐτῶν ὁπλῖται χίλιοι· ἦγε δὲ αὐτοὺς Ἁρμοκύδης ἀνὴρ τῶν ἀστῶν δοκιμώτατος. ἐπεὶ δὲ ἀπίκατο καὶ οὗτοι ἐς Θήβας, πέμψας ὁ Μαρδόνιος ἱππέας ἐκέλευσέ σφεας ἐπ' ἑωυτῶν ἐν τῷ πεδίῳ ἵζεσθαι. ὡς δὲ ἐποίησαν ταῦτα, αὐτίκα παρῆν ἡ ἵππος ἅπασα, μετὰ δὲ ταῦτα διεξῆλθε μὲν διὰ τοῦ στρατοπέδου τοῦ Ἑλληνικοῦ τοῦ μετὰ Μήδων ἐόντος φήμη ὡς κατακοντιέει σφέας, διεξῆλθε δὲ δι' αὐτῶν Φωκέων τὠυτὸ τοῦτο. ἔνθα δή σφι ὁ στρατηγὸς Ἁρμοκύδης παραίνεε λέγων τοιάδε· Ὦ Φωκέες, πρόδηλα γάρ, ὅτι ἡμέας οὗτοι οἱ ἄνθρωποι μέλλουσι προόπτῳ θανάτῳ δώσειν, διαβεβλημένους ὑπὸ Θεσσαλῶν, ὡς ἐγὼ εἰκάζω, νῦν [ὦν] ἄνδρα πάντα τινὰ ὑμέων χρεών ἐστι γενέσθαι ἀγαθόν. κρέσσον γὰρ ποιεῦντάς τι καὶ ἀμυνομένους

jeder ist gleichsam daran gefesselt (= ἐνδεδεμένος), so dasz er nicht davon loskommen kann. Zum Gedanken vgl. Einl. Bd. I S. 18.

1. *πολλὰ φρονέοντα — κρατέειν* „bei aller Einsicht nichts ausrichten zu können“ näml. gegen das Schicksal.

3. *λέγοι* ist Optativus imperfecti.

4. *τὴν μάχην*. Der Artikel weist hier wie oft auf etwas allgemein Bekanntes hin.

17. 6. *συνεσέβαλον*. Beachte *σύν*. Uebrigens gehört zu diesem Zusatz *καὶ συνεσέβαλον ἐς Ἀθήνας* nicht der eine Gleichzeitigkeit ausdrückende Gen. absol. *Μαρδονίου — στρατοπεδευομένου*, da der Einfall in Attika zeitlich früher fällt als das Feldlager in Boiotien; es hat daher *συνεσέβαλον* in Beziehung auf das mit ihm durch *καί* verbundene *παρείχοντο* die Geltung eines Plusquamperfects.

ἐς Ἀθήνας = *ἐς τὴν Ἀττικήν*. So häufig.

7. *οἰκημένων*. S. z. VIII 47.

8. *σφόδρα* mit *ἐμήδιζον* zu verbinden lässt der Sinn nicht zu, aber auch es zu *οὐκ ἑκόντες* zu ziehen ist hart. Schon Schweighäuser wollte es streichen.

12. *ἐπ' ἑωυτῶν*. Vgl. I 142 *Χῖοι μὲν καὶ Ἐρυθραῖοι κατὰ τωὐτὸ διαλέγονται, Σάμιοι δὲ ἐπ' ἑωυτῶν μοῦνοι* und I 202 *ἡ δὲ Κασπίη θάλασσά ἐστι ἐπ' ἑωυτῆς*. Ebenso unt. c. 38.

19. *διαβεβλημένους ὑπὸ Θεσσάλων*. Thessaler und Phoker lebten seit Alters in Feindschaft. Vgl. VIII 29 ff.

20. *πάντα τινά*. S. z. VIII 86.

21. *ἀγαθόν*. Zur Bedeutung vgl. VI 114 *καὶ ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός*.

τελευτῆσαι τὸν αἰῶνα, ἤπερ παρέχοντας διαφθαρῆναι αἰσχίστῳ
μόρῳ. ἀλλὰ μαθέτω τις αὐτῶν ὅτι ἐόντες βάρβαροι ἐπ' Ἕλλησι
ἀνδράσι φόνον ἔρραψαν. Ὁ μὲν ὦν ταῦτα παραίνεε, οἱ δὲ ἱπ- 18
πέες ἐπείτε σφέας ἐκυκλώσαντο, ἐπήλαυνον ὡς ἀπολέοντες, καὶ
δὴ διετείνοντο τὰ βέλεα ὡς ἀπήσοντες, καί κού τις καὶ ἀπῆκε.
καὶ οἱ ἀντίοι ἔστασαν, πάντη συστρέψαντες ἑωυτοὺς καὶ πυ-
κνώσαντες ὡς μάλιστα. ἐνθαῦτα οἱ ἱππόται ὑπέστρεφον καὶ
ἀπήλαυνον ὀπίσω. οὐκ ἔχω δ' ἀτρεκέως εἰπεῖν οὔτε εἰ ἦλθον
μὲν ἀπολέοντες τοὺς Φωκέας δεηθέντων Θεσσαλῶν, ἐπεὶ δὲ
ὥρεον πρὸς ἀλέξησιν τραπομένους, δείσαντες μὴ καὶ σφίσι γέ-
νηται τρώματα, οὕτω δὴ ἀπήλαυνον ὀπίσω (ὣς γάρ σφι ἐνε-
τείλατο Μαρδόνιος), οὔτ' εἰ αὐτῶν πειρηθῆναι ἠθέλησε εἴ τι
ἀλκῆς μετέχουσι. ὡς δὲ ὀπίσω ἀπήλασαν οἱ ἱππόται, πέμψας
Μαρδόνιος κήρυκα ἔλεγε τάδε· Θαρσέετε, ὦ Φωκέες. ἄνδρες
γὰρ ἐφάνητε ἐόντες ἀγαθοί, οὐκ ὡς ἐγὼ ἐπυνθανόμην. καὶ
νῦν προθύμως φέρετε τὸν πόλεμον τοῦτον· εὐεργεσίῃσι γὰρ
οὐ νικήσετε οὔτε ὦν ἐμὲ οὔτε βασιλέα. Τὰ περὶ Φωκέων μὲν 19
ἐς τοσοῦτο ἐγένετο, Λακεδαιμόνιοι δὲ ὡς ἐς τὸν Ἰσθμὸν ἦλθον,
ἐν τούτῳ ἐστρατοπεδεύοντο. πυνθανόμενοι δὲ ταῦτα οἱ λοιποὶ
Πελοποννήσιοι, τοῖσι τὰ ἀμείνω ἥνδανε, οἱ δὲ καὶ ὁρέοντες

1. *παρέχοντας*. *παρέχω* ist hier in intransitiver Bedeutung gebraucht (= ich biete mich dar) und steht in Gegensatz zu *ποιεῖν τι* und *ἀμύνεσθαι*.

2. *μαθέτω τις*. *τὶς* dem Sinne nach häufig = *ἕκαστος*. S. z. VIII 109. *ἐπ' Ἕλλησι*. Zur Bedeutung von *ἐπί* c. dat. s. z. c. 10.

3. *φόνον ἔρραψαν*. *φόνον ῥάπτειν* ist eine dichterische Wendung. Häufig verbindet so Homer *φόνον*, *θάνατον*, *μόρον*, *κακὰ ῥάπτειν*.

18. 5. *τὰ βέλεα*. *βέλος* hier vom Bogen.

κου (= vermutlich) gebraucht Her. öfter, wenn er mehr eine Vermutung als zuversichtliche Behauptung aussprechen will. Vgl. c. 22. VI 27. 51. 98.

6. *πάντη συστρέψαντες ἑωυτούς*, um von allen Seiten gegen die Uebermacht des Feindes gedeckt zu sein und um nicht umzingelt zu werden.

12. *οὔτ' εἰ*. Auch dieses *οὔτ' εἰ*, welches dem obigen, etwas entfernten *οὔτ' εἰ* (8) entspricht, hängt noch von *οὐκ ἔχω εἰπεῖν* (ebend.) ab.

14. *ἔλεγε*. S. z. c. 7 (*λέγοντες*).

15. *ἐπυνθανόμην*, vermutlich von den Thessalern.

16. *φέρετε*. *πόλεμον φέρειν* „den Krieg betreiben" auch c. 40.

18. *ἐς τοσοῦτο ἐγένετο*. Dieselbe abschlieszende Formel VIII 107. c. 66.

Die vereinigten Peloponnesier und Athener rücken in Boiotien ein. Reitergefecht. Masistios fällt (c. 19—24).

19. 20. *τὰ ἀμείνω ἥνδανε*. VII 142 nennt Her. die patriotisch gesinnten Hellenen *οἱ τὰ ἀμείνω φρονέοντες* im Gegensatz zu den *μηδίζοντες*.

οἱ δέ. Die *λοιποὶ Πελοποννήσιοι* zerfielen teils in solche, *τοῖσι τὰ ἀμείνω ἥνδανε* und die aus diesem Grunde mit ins Feld rückten, teils in solche, welche, als sie die Spartaner ausziehen sahen (*οἱ δὲ καὶ ὁρέοντες*), sich auch nicht ausschlieszen mochten.

ἐξιόντας Σπαρτιήτας, οὐκ ἐδικαίευν λείπεσθαι τῆς ἐξόδου Λακεδαιμονίων. ἐκ δὴ ὦν τοῦ Ἰσθμοῦ καλλιρησάντων τῶν ἱρῶν ἐπορεύοντο πάντες, καὶ ἀπικνέονται ἐς Ἐλευσῖνα· ποιήσαντες δὲ καὶ ἐνθαῦτα ἱρά, ὥς σφι ἐκαλλίρεε, τὸ πρόσω ἐπορεύοντο, Ἀθηναῖοι δὲ ἅμα αὐτοῖσι, διαβάντες μὲν ἐκ Σαλαμῖνος, συμμιγέντες δὲ ἐν Ἐλευσῖνι. ὡς δὲ ἄρα ἀπίκοντο τῆς Βοιωτίης ἐς Ἐρυθράς, ἔμαθόν τε δὴ τοὺς βαρβάρους ἐπὶ τῷ Ἀσωπῷ στρατοπεδευομένους, φρασθέντες δὲ τοῦτο ἀντετάσσοντο ἐπὶ τῆς
20 ὑπωρέης τοῦ Κιθαιρῶνος. Μαρδόνιος δέ, ὡς οὐ κατέβαινον οἱ Ἕλληνες ἐς τὸ πεδίον, πέμπει ἐς αὐτοὺς πᾶσαν τὴν ἵππον, τῆς ἱππάρχεε Μασίστιος εὐδοκιμέων παρὰ Πέρσῃσι, τὸν Ἕλληνες Μακίστιον καλέουσι, ἵππον ἔχων Νισαῖον χρυσοχάλινόν τε καὶ ἄλλως κεκοσμημένον καλῶς. ἐνθαῦτα ὡς προσήλασαν οἱ ἱππόται πρὸς τοὺς Ἕλληνας, προσέβαλον κατὰ τέλεα· προσβαλόντες δὲ κακὰ μεγάλα ἐργάζοντο καὶ γυναῖκάς σφεας ἀπεκά-
21 λεον. Κατὰ συντυχίην δὲ Μεγαρέες ἔτυχον ταχθέντες τῇ τε τὸ ἐπιμαχώτατον ἦν τοῦ χωρίου παντός, καὶ ἡ πρόσοδος μάλιστα ταύτῃ ἐγίνετο τῇ ἵππῳ. προσβαλούσης ὦν τῆς ἵππου οἱ Μεγαρέες πιεζόμενοι ἔπεμπον ἐπὶ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων κήρυκα, ἀπικόμενος δὲ ὁ κῆρυξ πρὸς αὐτοὺς ἔλεγε τάδε· Μεγαρέες λέγουσι· Ἡμεῖς, ἄνδρες σύμμαχοι, οὐ δυνατοί εἰμεν

1. *οὐκ ἐδικαίευν.* Zur Bedeutung von *δικαιοῦν* s. z. VIII 126. *λείπεσθαι τῆς.* Vgl. VII 168 *οὐδεμιῇ κακότητι ἐλείφθησαν τῆς ναυμαχίης.* S. z. VIII 13 (*οὗτος οὐκ ἔφη λείψεσθαι τοῦ βασιλῆος*).

2. *καλλιρησάντων τῶν ἱρῶν.* *καλλιρέειν* heiszt: *καλά, χρηστὰ γίνεσθαι.* Sonst gebraucht Her. dieses Verbum unpersönlich (so gleich unten und c. 38), wobei dann *τὰ ἱρά* zu ergänzen, was hier hinzugetreten ist.

6. *ἄρα.* Ueber den Gebrauch s. z. c. 8.

τῆς Βοιωτίης ist chorographischer Genetiv, der von *Ἐρυθράς* abhängt. Vgl. c. 27. Ueber die Lage von Erythrae s. z. c. 15.

8. *φρασθέντες δέ.* Ueber die Satzverbindung s. z. c. 11 (*ἐπειρόμενος δέ*). *φράζεσθαι* (= *αἰσθάνεσθαι* od. *μανθάνειν*) steht in gleicher Bedeutung c. 107.

20. 10. *πᾶσαν τὴν ἵππον.* *ἵππος* collectiv wie I 80 *ὄπισθε δὲ τοῦ πεζοῦ ἐπέταξε τὴν πᾶσαν ἵππον.*

12. *Νισαῖον.* Ueber die wegen ihrer Grösze, Ausdauer, Schnelligkeit im Altertum berühmten nisaeischen Rosse s. z. VII 40.

14. *κατὰ τέλεα* „schwadronenweise". *τέλεα* sind gröszere Heeresabteilungen jeder Truppenart (vgl. c. 42); doch vorzugsweise wird *τέλος* von Reitergeschwadern gebraucht. Vgl. VII 87. 211. Ueber die distributive Bedeutung von *κατά* s. z. VIII 57.

15. *γυναῖκας ἀπεκάλεον.* Vgl. IX 107.

21. 16. *τῇ τε τὸ ἐπιμαχώτατον — παντός.* *τὸ ἐπιμαχώτατον* „die angreifbarste Stelle". Vgl. VI 133 *τῇ μάλιστα ἦν ἐπίμαχον τοῦ τείχεος.*

18. *ταύτῃ* nach *τῇ.* Uebergang von der relativen Fügung zur selbständigen Satzform. S. z. VIII 62.

τὴν Περσέων ἵππον δέκεσθαι μοῦνοι, ἔχοντες στάσιν ταύτην, ἐς τὴν ἔστημεν ἀρχήν· ἀλλὰ καὶ ἐς τόδε λιπαρίῃ τε καὶ ἀρετῇ ἀντέχομεν καίπερ πιεζόμενοι. νῦν τε εἰ μή τινας ἄλλους πέμψετε διαδόχους τῆς τάξιος, ἴστε ἡμέας ἐκλείψοντας τὴν τάξιν. Ὁ μὲν δή σφι ταῦτα ἀπήγγειλε, Παυσανίης δὲ ἀπεπειρᾶτο τῶν Ἑλλήνων, εἴ τινες ἐθέλοιεν ἄλλοι ἐθελονταὶ ἰέναι τε ἐς τὸν χῶρον τοῦτον καὶ τάσσεσθαι διάδοχοι Μεγαρεῦσι. οὐ βουλομένων δὲ τῶν ἄλλων Ἀθηναῖοι ὑπεδέξαντο, καὶ Ἀθηναίων οἱ τριηκόσιοι λογάδες, τῶν ἐλοχήγεε Ὀλυμπιόδωρος ὁ Λάμπωνος.

22 Οὗτοι ἦσαν οἵ τε ὑποδεξάμενοι καὶ οἱ πρὸ τῶν ἄλλων τῶν παρεόντων Ἑλλήνων ἐς Ἐρυθρὰς ταχθέντες, τοὺς τοξότας προσελόμενοι· μαχομένων δέ σφεων ἐπὶ χρόνον τέλος τοιόνδε ἐγένετο τῆς μάχης· προσβαλούσης τῆς ἵππου κατὰ τέλεα ὁ Μασιστίου προέχων τῶν ἄλλων ἵππος βάλλεται τοξεύματι τὰ πλευρά, ἀλγήσας δὲ ἵσταταί τε ὀρθὸς καὶ ἀποσείεται τὸν Μασίστιον. πεσόντι δὲ αὐτῷ οἱ Ἀθηναῖοι αὐτίκα ἐπεκέατο. τόν τε δὴ ἵππον αὐτοῦ λαμβάνουσι καὶ αὐτὸν ἀμυνόμενον κτείνουσι, κατ᾽ ἀρχὰς οὐ δυνάμενοι. ἐνεσκεύαστο γὰρ οὕτω· ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτόν, κατύπερθε δὲ τοῦ θώρηκος κιθῶνα φοινίκεον ἐνδεδύκεε. τύπτοντες δὲ ἐς τὸν θώρηκα ἐποίευν οὐδέν, πρίν γε δὴ μαθών τις τὸ ποιεύμενον παίει μιν ἐς τὸν ὀφθαλμόν. οὕτω δὴ ἔπεσέ τε καὶ ἀπέθανε. Ταῦτα δέ κως γινόμενα ἐλελήθεε τοὺς ἄλλους ἱππέας· οὔτε γὰρ πεσόντα μιν εἶδον ἀπὸ τοῦ ἵππου ἀποθνήσκοντα, ἀναχωρήσιός τε γινομένης καὶ ὑποστροφῆς οὐκ ἔμαθον τὸ γινόμενον. ἐπείτε δὲ ἔστησαν, αὐτίκα ἐπόθησαν, ὥς σφεας οὐδεὶς ἦν ὁ τάσσων. μαθόντες δὲ τὸ γε-

2. λιπαρίῃ τε καὶ ἀρετῇ. Beide Ausdrücke sind auch IX 70 verbunden.

4. διαδόχους τῆς τάξιος. Zum Ausdruck vgl. I 162 Ἅρπαγος δὲ ἀποθανόντος τούτου κατέβη διάδοχος τῆς στρατηγίης.

5. ἀπεπειρᾶτο. Vgl. VIII 67.

8. ὑπεδέξαντο. S. z. c. 12. — καὶ Ἀθηναίων. καί erklärend = und zwar. Vgl. I 52 τὰ ἔτι καὶ ἀμφότερα ἐς ἐμὲ ἦν κείμενα ἐν Θήβῃσι καὶ Θηβέων ἐν τῷ νηῷ τοῦ Ἰσμηνίου Ἀπόλλωνος.

22. 11. τοὺς τοξότας προσελόμενος zur Abwehr der Reiterei.

13. κατὰ τέλεα wie c. 20.

14. προέχων τῶν ἄλλων. προέχειν (= προελαύνειν) τινός steht in ähnlicher Bedeutung auch IV 120 οἱ Βουδῖνοι ἡμέρης ὁδῷ προέχοντες τῶν Περσέων.

17. κατ᾽ ἀρχάς. S. z. VIII 3.

21. τὸ ποιεύμενον ihr (vergebliches) Beginnen. Vgl. c. 47.

22. κως = κου. S. z. c. 18.

24. ἀναχωρήσιος — ὑποστροφῆς. Der erste Reiterangriff der Perser war also von den Griechen abgeschlagen (vgl. c. 25); die persischen Reitergeschwader lösten sich auf und wandten sich zur Flucht, ohne zu wissen, dasz ihr Anführer fehlte.

25. ἔστησαν ist Aor. II.

26. ἐπόθησαν erg. αὐτόν.

γονὸς, διακελευσάμενοι ἤλαυνον τοὺς ἵππους πάντες, ὡς ἂν
23 τόν γε νεκρὸν ἀνελοίατο. Ἰδόντες δὲ οἱ Ἀθηναῖοι οὐκέτι κατὰ τέλεα προσελαύνοντας τοὺς ἱππέας ἀλλ' ἅμα πάντας, τὴν ἄλλην στρατιὴν ἐπεβώσαντο. ἐν ᾧ δὲ ὁ πεζὸς ἅπας ἐβώθεε, ἐν τούτῳ μάχη ὀξέα περὶ τοῦ νεκροῦ γίνεται. ἕως μέν νυν μοῦνοι ἦσαν οἱ τριηκόσιοι, ἑσσοῦντό τε πολλὸν καὶ τὸν νεκρὸν ἀπέλιπον· ὡς δέ σφι τὸ πλῆθος ἐπεβώθησε, οὕτω δὴ οὐκέτι οἱ ἱππόται ὑπέμενον, οὐδέ σφι ἐξεγένετο τὸν νεκρὸν ἀνελέσθαι, ἀλλὰ πρὸς ἐκείνῳ ἄλλους προσαπώλεσαν τῶν ἱππέων. ἀποστήσαντες ὦν ὅσον τε δύο στάδια ἐβουλεύοντο ὅ τι χρεὼν εἴη ποιέειν· ἐδόκεε δέ σφι ἀναρχίης ἐούσης ἀπελαύνειν παρὰ
24 Μαρδόνιον. Ἀπικομένης δὲ τῆς ἵππου ἐς τὸ στρατόπεδον πένθος ἐποιήσαντο Μασιστίου πᾶσά τε ἡ στρατιὴ καὶ Μαρδόνιος μέγιστον, σφέας τε αὐτοὺς κείροντες καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια, οἰμωγῇ τε χρεόμενοι ἀπλέτῳ. ἅπασαν γὰρ τὴν Βοιωτίην κατεῖχε ἠχὼ ὡς ἀνδρὸς ἀπολομένου μετά γε Μαρδόνιον λογιμωτάτου παρά τε Πέρσῃσι καὶ βασιλέϊ.

25 Οἱ μέν νυν βάρβαροι τρόπῳ τῷ σφετέρῳ ἀποθανόντα ἐτίμεον Μασίστιον, οἱ δὲ Ἕλληνες ὡς τὴν ἵππον ἐδέξαντο προσβαλοῦσαν καὶ δεξάμενοι ὤσαντο, ἐθάρσησαν πολλῷ μᾶλλον. καὶ πρῶτα μὲν ἐς ἅμαξαν ἐσθέντες τὸν νεκρὸν παρὰ τὰς

1. διακελευσάμενοι. Zur Bedeutung von διά vgl. III 7 οἱ δὲ ἑπτὰ τῶν Περσέων διακελευσάμενοι καὶ σπασάμενοι τὰ ἐγχειρίδια συγκεντέουσι τοὺς μάγους.
ὡς ἄν. S. z. VIII 7.

23. 4. ἐπεβώσαντο. Ueber die Contraction in ἐβώσαντο wie in ἐβώθεε s. z. VIII 92.

6. ἑσσοῦντο att. ἡττῶντο.

7. οὕτω δή. S. z. VIII 23.

8. ἐξεγένετο = ἐξῆν. So häufig bei Herodot. Vgl. V 51.

9. ἀποστήσαντες erg. τοὺς ἵππους, was Hom. Il. V 755 hinzugetreten ist (ἔνθ' ἵππους στήσασα θεὰ λευκώλενος Ἥρη), dagegen Odyss. VII 4 (Παλλὰς Ἀθήνη στῆσεν ἄρ' ἐν προθύροισι näml. τοὺς ἡμιόνους), wie an unserer Stelle aus dem Zusammenhange ergänzt werden muss. — ἀπό in ἀποστήσαντες ist hier in ähnlich adverbieller Weise gebraucht wie πρό in προέχων (c. 4).

10. ὅσον fere. Vgl. c. 51. 57.

11. ἀναρχίης ἐούσης, da Masistios gefallen.

24. 16. κατεῖχε ἠχώ, eine der vielen dichterischen Wendungen, die sich vorzugsweise in diesem Buche finden.

17. παρά. Zur Bedeutung von παρά c. dat. vgl. I 33 οὗτος παρ' ἐμοί (= me judice) τὸ οὔνομα τοῦτο, ὦ βασιλεῦ, δίκαιός ἐστι φέρειν und III 160 Ζωπύρου δὲ οὐδεὶς ἀγαθοεργίην Περσέων ὑπερεβάλετο παρὰ Δαρείῳ κριτῇ.

Die Hellenen verändern ihre Stellung. Aufstellung an der Gargaphiaquelle. Streit der Athener und Tegeaten um den Vorrang. Aufzählung der hellenischen und persischen Truppenteile (c. 25—32).

τάξις ἐκόμιζον· ὁ δὲ νεκρὸς ἦν ϑέης ἄξιος μεγάϑεος εἵνεκεν καὶ κάλλεος. τῶν δὲ εἵνεκεν καὶ ταῦτα ἐποίευν· ἐκλείποντες τὰς τάξις ἐφοίτεον ϑησόμενοι Μασίστιον. μετὰ δὲ ἔδοξέ σφι ἐπικαταβῆναι ἐς Πλαταιάς· ὁ γὰρ χῶρος ἐφαίνετο πολλῷ ἐὼν ἐπιτηδεώτερός σφι ἐνστρατοπεδεύεσθαι ὁ Πλαταιικὸς τοῦ Ἐρυθραίου τά τε ἄλλα καὶ εὐυδρότερος. ἐς τοῦτον δὴ τὸν χῶρον καὶ ἐπὶ τὴν κρήνην τὴν Γαργαφίην τὴν ἐν τῷ χώρῳ τούτῳ ἐοῦσαν ἔδοξέ σφι χρεὼν εἶναι ἀπικέσθαι καὶ διαταχθέντας στρατοπεδεύεσθαι. ἀναλαβόντες δὲ τὰ ὅπλα ἤϊσαν διὰ τῆς ὑπωρέης τοῦ Κιθαιρῶνος παρὰ Ὑσιὰς ἐς τὴν Πλαταιίδα γῆν, ἀπικόμενοι δὲ ἐτάσσοντο κατ᾽ ἔθνεα πλησίον τῆς τε κρήνης τῆς Γαργαφίης καὶ τοῦ τεμένεος τοῦ Ἀνδροκράτεος τοῦ ἥρωος

25. 1. *μεγάϑεος εἵνεκεν καὶ κάλλεος.* Auch an anderen Stellen findet sich bei Her. Schönheit und Grösze zusammengestellt. Vgl. III 1 ἦν Ἀπρίεω τοῦ προτέρου βασιλέος ϑυγάτηρ κάρτα μεγάλη τε καὶ εὐειδής.

2. *ταῦτα* bezieht sich auf das Folgende. Sonst bezieht sich meist *ὅδε* auf das Folgende, *οὗτος* auf das Vorhergehende. Doch ist der Gebrauch nicht fest. Vgl. VII 87 ἱππεύει δὲ ταῦτα τὰ ἔϑνεα, wo wir wegen der Beziehung auf das Folgende ebenfalls τάδε erwarteten.

3. *ϑησόμενοι.* Vgl. Hom. Il. XXII 369 περίδραμον υἷες Ἀχαιῶν, οἳ καὶ ϑηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν Ἕκτορος.

μετὰ δέ entspricht dem πρῶτα μέν (S. 128, 21).

4. *ἐπικαταβῆναι.* Die Bedeutung beider Präpositionen ist in der Uebersetzung auszudrücken.

5. *ἐπιτηδεώτερος — ἐνστρατοπεδεύεσϑαι.* S. z. c. 2.

6. *τά τε ἄλλα καὶ εὐυδρότερος* erg. ἦν. Durch die Anfügung eines selbständigen Satzes wird die Wichtigkeit des Gedankens weit nachdrücklicher hervorgehoben, als wenn mit einem etwa durch ὅτι eingeleiteten Satze fortgefahren wäre. Wir erwarteten eigentlich: Das plataeische Feld war sowol aus anderen Gründen (τά τε ἄλλα) zu einem Lagerplatze weit geeigneter als das erythraeische, als insbesondere auch deshalb, weil dort mehr Wasser war. Die hier gewählte selbständige Satzform ist nach τά τε ἄλλα sehr häufig. Vgl. V 62 οἱ Ἀλκμαιονίδαι τὸν νηὸν τὸν ἐν Δελφοῖσι ἐξεργάσαντο τοῦ παραδείγματα κάλλιον τά τε ἄλλα καὶ συγκείμενόν σφι πωρίνου λίϑου ποιέειν τὸν νηὸν Παρίου τὰ ἔμπροσϑε αὐτοῦ ἐξεποίησαν.

7. *Γαργαφίη.* Der gargaphische Quell lag in einer Entfernung von etwa 20 Stadien nordöstlich von Plataeae (c. 52); heute ist in dieser Gegend ein Quell, auf den Herodots Angaben passten, nicht mehr nachzuweisen. In der Nähe dieses wasserreichen Quells stellten sich die Hellenen auf, nachdem sie ihre bisherige Stellung an den Abhängen des Kithaeron bei Erythrae und Hysiae aufgegeben hatten und mehr westwärts in die Feldmark des zerstörten Plataeae gezogen waren. Ihre Schlachtlinie reichte jetzt in dieser neuen Stellung nordwärts bis zum Asopos hin. Jenseits des Asopos auf thebaeischem Gebiet stand das dreifach stärkere Heer. Ueber die Aufstellung im Einzelnen vgl. c. 28.

11. *κατ᾽ ἔϑνεα.* Zur Bedeutung von κατά s. z. 20. Zur Sache vgl. c. 28.

12. *Ἀνδροκράτεος.* Androkrates war ein alter Landesheros von Plataeae, der vor der Stadt ein Heiligtum hatte.

26 διὰ ὄχθων τε οὐκ ὑψηλῶν καὶ ἀπέδου χωρίου. Ἐνθαῦτα ἐν τῇ διατάξι ἐγένετο λόγων πολλὸς ὠθισμὸς Τεγεητέων τε καὶ Ἀθηναίων. ἐδικαίευν γὰρ αὐτοὶ ἑκάτεροι ἔχειν τὸ ἕτερον κέρας, καὶ καινὰ καὶ παλαιὰ παραφέροντες ἔργα. τοῦτο μὲν οἱ Τεγεῆται ἔλεγον τάδε· Ἡμεῖς αἰεί κοτε ἀξιεύμεθα ταύτης τῆς τάξιος ἐκ τῶν συμμάχων ἁπάντων, ὅσαι ἤδη ἔξοδοι κοιναὶ ἐγένοντο Πελοποννησίοισι καὶ τὸ παλαιὸν καὶ τὸ νέον, ἐξ ἐκείνου τοῦ χρόνου ἐπείτε Ἡρακλεῖδαι ἐπειρέοντο μετὰ τὸν Εὐρυσθέος θάνατον κατιόντες ἐς Πελοπόννησον. τότε εὑρόμεθα τοῦτο διὰ πρῆγμα τοιόνδε· ἐπεὶ μετὰ Ἀχαιῶν καὶ Ἰώνων τῶν τότε ἐόντων ἐν Πελοποννήσῳ ἐκβωθήσαντες ἐς τὸν Ἰσθμὸν ἱζόμεθα ἀντίοι τοῖσι κατιοῦσι, τότε ὦν λόγος Ὕλλον ἀγορεύσασθαι ὡς χρεὼν εἴη τὸν μὲν στρατὸν τῷ στρατῷ μὴ ἀνακινδυνεύειν συμβάλλοντα, ἐκ δὲ τοῦ Πελοποννησίου στρατοπέδου τὸν ἂν σφέων αὐτῶν κρίνωσι εἶναι ἄριστον, τοῦτόν οἱ μουνομαχῆσαι ἐπὶ δια-

1. διὰ ὄχθων „per colles". διά c. gen. steht in gleicher Bedeutung c. 59.

26. 2. λόγων ὠθισμός. ὠθισμός heiszt in erster Bedeutung Schachtgedränge (VII 225), hier in übertragener Bedeutung wie III 76 ὠθίζεσθαι (ὠθιζομένων δὲ αὐτῶν ἐφάνη ἰρήκων ἑπτὰ ζεύγεα).

3. ἐδικαίευν. Ueber die Bedeutung von δικαιοῦν s. z. VIII 126.

4. τοῦτο μέν. Es entspricht kein vollständiges τοῦτο δέ, sondern einfach δέ (c. 27 Anf.). Vgl. VIII 60, wo τοῦτο δέ einem einfachen μέν correspondierte.

7. τὸ νέον findet sich in der hier geforderten Bedeutung von τὸ νῦν wol nur an dieser Stelle; der Parallelismus zu τὸ παλαιόν erklärt die Neubildung.

8. Εὐρυσθέος θάνατον. Eurystheus fiel durch Hyllos Hand.

9. κατιόντες. πειρᾶσθαι mit Particip verbunden auch c. 33. Oefter. — κατιέναι ist stehender Ausdruck von denen, welche aus der Verbannung in die Heimat zurückkehren. Vgl. V 62 τοῖσι Ἀθηναίων φυγάσι πειρεομένοισι κατὰ τὸ ἰσχυρὸν οὐ προεχώρεε κάτοδος, ἀλλὰ προσέπταιον μεγάλως πειρεόμενοι κατιέναι τε καὶ ἐλευθεροῦν Ἀθήνας. τοῦτο, τὸ ἔχειν τὸ ἕτερον κέρας.

10. τότε ἐόντων ἐν Πελοποννήσῳ. Die Ioner wohnten damals an der Nordküste des Peloponnes in Aigialos (I 146. VII 94), von wo sie später durch die Achaeer vertrieben wurden. S. auch z. VIII 73.

11. ἐκβωθήσαντες. ἐκβωθέειν zum Kampf ausrücken, um Hülfe zu bringen. Wie hier VI 16.

ἱζόμεθα ἄντιοι. Vom feindlichen Gegenüberlagern in der Schlacht auch VI 77.

12. τότε ὦν. ὦν (= also) findet sich öfter wie hier nach einem längeren Satze epanaleptisch gebraucht. Vgl. V 99. VI 77.

ἀγορεύσασθαι. ἀγορεύεσθαι (od. ἀγορεύειν) vom Reden in öffentlicher Versammlung auch VII 10, 4. VIII 5.

13. ἀνακινδυνεύειν. S. z. VIII 68.

15. ἐπὶ διακειμένοισι „unter festgestellten Bedingungen". Sonst ist dafür fast feste Formel ἐπὶ ῥητοῖσι. Vgl. III 158 κατὰ τὰ συγκείμενα und ähnlich unt. c. 52. — Zur Bedeutung von ἐπί c. dat. vgl. ob. c. 7 ἐπ' ἴσῃ τε καὶ ὁμοίῃ (erg. μοίρῃ) und gleich im Folg. ἐπὶ λόγῳ τοιῷδε (= unter der Be-

κειμένοισι. ἔδοξέ τε τοῖσι Πελοποννησίοισι ταῦτα εἶναι ποιητέα, καὶ ἔταμον ὅρκια ἐπὶ λόγῳ τοιῷδε, ἢν μὲν Ὕλλος νικήσῃ τὸν Πελοποννησίων ἡγεμόνα, κατιέναι Ἡρακλείδας ἐπὶ τὰ πατρώϊα, ἢν δὲ νικηθῇ, τὰ ἔμπαλιν Ἡρακλείδας ἀπαλλάσσεσθαι καὶ ἀπάγειν τὴν στρατιὴν ἑκατόν τε ἐτέων μὴ ζητῆσαι κάτοδον ἐς Πελοπόννησον. προεκρίθη τε δὴ ἐκ πάντων συμμάχων ἐθελοντὴς Ἔχεμος ὁ Ἠερόπου τοῦ Φηγέος στρατηγός τε ἐὼν καὶ βασιλεὺς ἡμέτερος, καὶ ἐμουνομάχησέ τε καὶ ἀπέκτεινε Ὕλλον. ἐκ τούτου τοῦ ἔργου εὑρόμεθα ἐν Πελοποννησίοισι τοῖσι τότε καὶ ἄλλα γέρεα μεγάλα, τὰ διατελέομεν ἔχοντες, καὶ τοῦ κέρεος τοῦ ἑτέρου αἰεὶ ἡγεμονεύειν κοινῆς ἐξόδου γινομένης. ὑμῖν μέν νυν, ὦ Λακεδαιμόνιοι, οὐκ ἀντιεύμεθα, ἀλλὰ διδόντες αἵρεσιν ὁκοτέρου βούλεσθε κέρεος ἄρχειν παρίεμεν, τοῦ δὲ ἑτέρου φαμὲν ἡμέας ἱκνέεσθαι ἡγεμονεύειν, κατάπερ ἐν τῷ πρόσθε χρόνῳ. χωρίς τε τούτου τοῦ ἀπηγημένου ἔργου ἀξιονικότεροί εἰμεν Ἀθηναίων ταύτην τὴν τάξιν ἔχειν. πολλοὶ μὲν γὰρ καὶ εὖ ἔχοντες πρὸς ὑμέας ἡμῖν, ἄνδρες Σπαρτιῆται, ἀγῶνες ἀγωνίδαται, πολλοὶ δὲ καὶ πρὸς ἄλλους. οὕτω ὦν ἡμέας δίκαιον ἔχειν τὸ ἕτερον κέρας ἤπερ Ἀθηναίους. οὐ γάρ σφί ἐστι ἔργα

dingung) und *ἐπὶ τοῖσι αὐτοῖσι λόγοισι* (IX 33).

2. *ἔταμον ὅρκια.* *τάμνειν ὅρκιον* eig. das Eidesopfer schlachten, dann in übertragenem Sinne = foedus icere. Häufig so bei Homer. Bei Her. noch IV 201.

4. *τὰ ἔμπαλιν* im Gegenteil. Vgl. c. 56.

5. *ἑκατόν τε ἐτέων.* Derselbe unabhängige Genetiv, der in Verbindung mit Cardinalzahlen den Zeitbetrag ausdrückt (= innerhalb) auch III 115 *αὐτὸν δέ σε καὶ τοὺς συμπλόους τριῶν ἡμερέων προαγορεύω ἐκ τῆς ἐμῆς γῆς ἐς ἄλλην τινὰ μετορμίζεσθαι.*

7. *Φηγέος.* Nach Pausanias VIII 4, 7 und VIII 5, 1, der die Genealogie vollständig giebt, hiesz der Vater des Aeropos nicht Phegeus, wie Herodot hier angiebt, sondern Kepheus, weshalb Negris auch an unserer Stelle *Κηφέος* herstellen wollte. Vielleicht entstand *Φηγέος* durch einen Hörfehler aus *Κηφέος.*

9. *ἐκ* in Folge.

13. *παρίεμεν.* Vgl. VII 161 *Λακεδαιμονίοισι μὲν ἡγέεσθαι βουλομένοισι οὐκ ἀντιτείνομεν, ἄλλῳ δὲ παρήσομεν οὐδενὶ ναναρχέειν.*

14. *ἡμέας ἱκνέεσθαι* (= *ἀνήκειν*). Dieselbe Construction (*ἱκνέεται ἐμὲ* ohne *ἐς*) auch II 36 *τοῖσι ἄλλοισι ἀνθρώποισι νόμος ἅμα κεκάρθαι τὰς κεφαλὰς τοὺς μάλιστα ἱκνέεται.* Mit *ἐς* VI 57.

15. *ἀπηγημένος* in passiver Bedeutung auch I 207 *χωρὶς δὲ τοῦ ἀπηγημένου αἰσχρὸν καὶ οὐκ ἀνασχετόν ἐστι.* Vgl. im Folgenden (17) *ἀγωνίδαται.*

17. *ἀγῶνες ἀγωνίδαται.* Figura etymologica. Zur Form vgl. I 140 *κεχωρίδαται.* S. Bd. I Dial. § 6 II 1. Zur Sache vgl. I 65 *ἐπὶ γὰρ Λέοντος βασιλεύοντος καὶ Ἡγησικλέος ἐν Σπάρτῃ τοὺς ἄλλους πολέμους εὐτυχέοντες οἱ Λακεδαιμόνιοι πρὸς Τεγεήτας μούνους προσέπταιον.* Vgl. I 68.

19. *ἤπερ.* Wahrscheinlich ist *μᾶλλον* vor *ἤπερ* ausgefallen. Vgl. c. 27.

οὐ γάρ σφι — ἡμῖν κατεργασμένα. Dativ beim Passiv.

27 οἷάπερ ἡμῖν κατεργασμένα, οὔτ᾽ ὦν καινὰ οὔτε παλαιά. Οἱ μὲν ταῦτα ἔλεγον, Ἀθηναῖοι δὲ πρὸς ταῦτα ὑπεκρίναντο τάδε· Ἐπιστάμεθα μὲν σύνοδον τήνδε μάχης εἵνεκεν συλλεγῆναι πρὸς τὸν βάρβαρον, ἀλλ᾽ οὐ λόγων· ἐπεὶ δὲ ὁ Τεγεήτης προέθηκε παλαιὰ καὶ καινὰ λέγειν, τὰ ἑκατέροισι ἐν τῷ παντὶ χρόνῳ κατέργασται χρηστὰ, ἀναγκαίως ἡμῖν ἔχει δηλῶσαι πρὸς ὑμέας, ὅθεν ἡμῖν πατρώϊόν ἐστι ἐοῦσι χρηστοῖσι αἰεὶ πρώτοισι εἶναι μᾶλλον ἢ Ἀρκάσι. Ἡρακλείδας, τῶν οὗτοί φασι ἀποκτεῖναι τὸν ἡγεμόνα ἐν Ἰσθμῷ, τούτους πρότερον, ἐξελαυνομένους ὑπὸ πάντων τῶν Ἑλλήνων ἐς τοὺς ἀπικοίατο φεύγοντες δουλοσύνην πρὸς Μυκηναίων, μοῦνοι ὑποδεξάμενοι τὴν Εὐρυσθέος ὕβριν κατείλομεν, σὺν ἐκείνοισι μάχῃ νικήσαντες τοὺς τότε ἔχοντας Πελοπόννησον. τοῦτο δὲ Ἀργείους τοὺς μετὰ Πολυνείκεος ἐπὶ Θήβας ἐλάσαντας, τελευτήσαντας τὸν αἰῶνα καὶ ἀτάφους κειμένους, στρατευσάμενοι ἐπὶ τοὺς Καδμείους ἀνελέσθαι τε τοὺς νεκρούς φαμεν καὶ θάψαι τῆς ἡμετέρης ἐν Ἐλευσῖνι. ἔστι δὲ ἡμῖν ἔργον εὖ ἔχον καὶ ἐς Ἀμαζονίδας τὰς ἀπὸ Θερμώδοντος ποταμοῦ ἐσβαλούσας κοτὲ ἐς γῆν τὴν Ἀττι-

27. 4. *προέθηκε — λέγειν.* Ueber die Bedeutung von *προτιθέναι* s. z. VIII 49.

5. *ἐν τῷ παντὶ χρόνῳ.* S. z. VIII 140.

6. *χρηστά, ἀγαθά.* In gleicher Bedeutung steht *χρηστός* im Folgenden (*χρηστοῖσι αἰεὶ ἐοῦσι*).

7. *ὅθεν — Ἀρκάσι.* Verb. *ὅθεν* (= durch welche Taten) *ἡμῖν, ἐοῦσι αἰεὶ χρηστοῖσι, μᾶλλον πατρώϊόν ἐστι πρώτοισι εἶναι* (= *πρωτεύειν*) *ἢ Ἀρκάσι* (näml. *πατρώϊόν ἐστι*).

12. *κατείλομεν. καταιρέειν* wird in bildlicher Bedeutung häufig so mit *δύναμιν* verbunden (IV 137. V 36).

μάχῃ νικήσαντες. Die Athener und Herakliden siegten über Eurystheus bei den skironischen Felsen (s. z. VIII 71).

13. *τοῦτο δέ* ohne vorangegangenes *τοῦτο μέν*, was wir ob. 8 erwarteten (*τοῦτο μὲν Ἡρακλείδας κτλ.*). S. z. VIII 60.

14. *τελευτᾶν τὸν αἰῶνα* auch I 32.

15. *Καδμείους, Θηβαίους.*

16. *τοὺς νεκρούς* nimmt das allgemeinere, von seinem Verbum (*ἀνελέσθαι*) durch mehrere Zwischensätze getrennte Object *Ἀργείους* in bestimmter gefasster Form wieder auf. — Zur Bedeutung von *ἀνελέσθαι* vgl. c. 22. 23.

τῆς ἡμετέρης ist chorographischer, von *ἐν Ἐλευσῖνι* abhängiger Genetiv. Vgl. c. 19. Nach attischer Sage war es Theseus, welcher die Gebeine der Argeier in Eleusis bestatten liesz, wo man noch spät die Grabdenkmäler zeigte.

17. *εὖ ἔχον* steht in gleicher Bedeutung oben S. 131, 17 (*πολλοὶ μὲν καὶ εὖ ἔχοντες πρὸς ὑμέας ἡμῖν ἀγῶνες ἀγωνίδαται*).

18. *Θερμώδοντος.* Thermōdon, Fluss in der pontischen Landschaft Themiskȳra, j. Termeh. Vgl. IV 86. Nach der Sage sollte Theseus die Amazonenkönigin Antiope (od. Hippolyte) entführt haben, worauf die Amazonen, die ihren Hauptsitz am Thermodon hatten, in Attika einfielen, aber von den Athenern unter Theseus in der nächsten Nähe von Athen vollständig geschlagen wurden. Vgl. Plut. Thes. c. 26 ff.

*κήν. καὶ ἐν τοῖσι Τρωϊκοῖσι πόνοισι οὐδαμῶν ἐλειπόμεθα.-
ἀλλ' οὐ γάρ τι προέχει τούτων ἐπιμεμνῆσθαι· καὶ γὰρ ἂν χρη-
στοὶ τότε ἐόντες ὡυτοὶ νῦν ἂν εἶεν φλαυρότεροι, καὶ τότε ἐόν-
τες φλαῦροι νῦν ἂν εἶεν ἀμείνονες. παλαιῶν μέν νυν ἔργων
ἅλις ἔστω. ἡμῖν δὲ εἰ μηδὲν ἄλλο ἐστὶ ἀποδεδεγμένον, ὥσπερ
ἐστὶ πολλά τε καὶ εὖ ἔχοντα εἰ τέοισι καὶ ἄλλοισι Ἑλλήνων,
ἀλλὰ καὶ ἀπὸ τοῦ ἐν Μαραθῶνι ἔργου ἄξιοί εἰμεν τοῦτο τὸ
γέρας ἔχειν καὶ ἄλλα πρὸς τούτῳ, οἵτινες μοῦνοι Ἑλλήνων δὴ
μουνομαχήσαντες τῷ Πέρσῃ καὶ ἔργῳ τοσούτῳ ἐπιχειρήσαντες
περιεγενόμεθα καὶ ἐνικήσαμεν ἔθνεα ἓξ τε καὶ τεσσεράκοντα.
ἆρ' οὐ δίκαιοί εἰμεν ἔχειν ταύτην τὴν τάξιν ἀπὸ τούτου μού-
νου τοῦ ἔργου; ἀλλ' οὐ γὰρ ἐν τῷ τοιῷδε τάξιος εἵνεκεν στα-
σιάζειν πρέπει, ἄρτιοί εἰμεν πείθεσθαι ὑμῖν, ὦ Λακεδαιμόνιοι,
ἵνα δοκέει ἐπιτηδεώτατον ἡμέας εἶναι ἑστάναι καὶ κατ' οὕστι-
νας· πάντῃ γὰρ τεταγμένοι πειρησόμεθα εἶναι χρηστοί. ἐξη-
γέεσθε δὲ ὡς πεισομένων. Οἱ μὲν ταῦτα ἀμείβοντο, Λακεδαι-* 28
*μονίων δὲ ἀνέβωσε ἅπαν τὸ στρατόπεδον Ἀθηναίους ἀξιονικο-
τέρους εἶναι ἔχειν τὸ κέρας ἤπερ Ἀρκάδας. οὕτω δὴ ἔσχον οἱ
Ἀθηναῖοι καὶ ὑπερεβάλοντο τοὺς Τεγεήτας.*

1. *οὐδαμῶν ἐλειπόμεθα. λείπεσθαί τινος* hinter jemandem zurückbleiben auch VII 8 *ἐφρόντιζον ὅκως μὴ λείψομαι τῶν πρότερον γενομένων βασιλέων* (Worte des Xerxes).

2. *ἀλλ' οὐ γάρ.* Ueber das elliptische *ἀλλὰ γάρ* s. z. VIII 8.

προέχει. προέχειν hier in der (seltenen) Bedeutung weiterbringen, fördern.

5. *ἡμῖν* Dativ beim Passiv.

ἀποδεδεγμένον. Zur Bedeutung von *ἀποδείκνυσθαι* vgl. c. 72 *οὐδέν ἐστί οἱ ἀποδεδεγμένον ἔργον ἑωυτοῦ ἄξιον.* In activer Bedeutung VIII 17. 89. IX 17. 51.

6. *ἐστὶ* erg. *ἀποδεδεγμένα.*

εὖ ἔχοντα in gleichem Sinne ob. S. 132, 17 (*ἔργον εὖ ἔχον*).

εἰ τέοισι καὶ ἄλλοισι Ἑλλήνων, das hinzuzudenkende Praedikat ergänzt man leicht aus dem Vorhergehenden. — Ueber die Form *τέοισι* vgl. Dial. Bd. I S. 34. — *καί* auch ist hier in ähnlicher Weise zu *εἴ τις ἄλλος* gesetzt, wie es öfter zu *ὅσον, οἷα, ὥσπερ* in den Relativsatz tritt, während wir im Deutschen es dem verglichenen Begriff hinzufügen. Vgl. I 92 *θώματα δὲ γῆ ἡ Λυδίη ἐς συγγραφὴν οὐ μάλα ἔχει οἷά τε καὶ ἄλλη χώρη.* So ist auch an unserer Stelle das *καί* vor *ἄλλοισι* auf ein zu ergänzendes correlates *ἡμῖν* zu beziehen, denn der Sinn ist: Wenn je ein Hellenenvolk sich ausgezeichnet hat, so haben auch wir es getan. S. z. VI 69.

10. *ἓξ — τεσσεράκοντα.* Die Zahl trifft zu, wenn man die Völker, welche im Landheer des Xerxes dienten, zusammenzählt. Vgl. VII 60 ff.

12. *ἀλλ'* verb. mit *ἄρτιοί εἰμεν.*

14. *καί* verbindet *κατ' οὕστινας* mit *ἵνα.* Zur Bedeutung von *κατά* s. z. VIII 85.

15. *χρηστοί, ἀγαθοί.* S. z. S. 132, 6.

16. *πεισομένων* näml. *ἡμῶν.* Zur Ergänzung vgl. c. 15.

17. *ἀνέβωσε.* Ueber die Contraction s. z. VIII 92.

Μετὰ δὲ ταῦτα ἐτάσσοντο ὧδε οἵ ἐπιφοιτέοντές τε καὶ οἵ ἀρχὴν ἐλθόντες Ἑλλήνων· τὸ μὲν δεξιὸν κέρας εἶχον Λακεδαιμονίων μύριοι· τούτων δὲ τοὺς πεντακισχιλίους ἐόντας Σπαρτιήτας ἐφύλασσον ψιλοὶ τῶν εἱλωτέων πεντακισχίλιοι καὶ τρισμύριοι, περὶ ἄνδρα ἕκαστον ἑπτὰ τεταγμένοι. προσεχέας δέ σφι εἵλοντο ἑστάναι οἵ Σπαρτιῆται τοὺς Τεγεήτας καὶ τιμῆς εἵνεκεν καὶ ἀρετῆς. τούτων δ' ἦσαν ὁπλῖται χίλιοι καὶ πεντακόσιοι. μετὰ δὲ τούτους ἵσταντο Κορινθίων πεντακισχίλιοι, παρὰ δέ σφι εὕροντο παρὰ Παυσανίεω ἑστάναι Ποτιδαιητέων τῶν ἐκ Παλλήνης τοὺς παρεόντας τριηκοσίους. τούτων δὲ ἐχόμενοι ἵσταντο Ἀρκάδες Ὀρχομένιοι ἑξακόσιοι, τούτων δὲ Σικυώνιοι τρισχίλιοι. τούτων δὲ εἴχοντο Ἐπιδαυρίων ὀκτακόσιοι. παρὰ δὲ τούτους Τροιζηνίων ἐτάσσοντο χίλιοι, Τροιζηνίων δὲ ἐχόμενοι Λεπρεητέων διηκόσιοι, τούτων δὲ Μυκηναίων καὶ Τιρυνθίων τετρακόσιοι, τούτων δὲ ἐχόμενοι Φλιάσιοι χίλιοι· παρὰ δὲ τούτους ἕστασαν Ἑρμιονέες τριηκόσιοι. Ἑρμιονέων δὲ ἐχόμενοι ἵσταντο Ἐρετριέων τε καὶ Στυρέων ἑξακόσιοι, τούτων δὲ Χαλκιδέες τετρακόσεοι, τούτων δὲ Ἀμπρακιητέων πεντακόσιοι. μετὰ δὲ τούτους Λευκαδίων καὶ Ἀνακτορίων ὀκτακόσιοι ἕστασαν, τούτων δὲ ἐχόμενοι Παλέες οἵ ἐκ Κεφαλληνίης διηκόσιοι. μετὰ δὲ τούτους Αἰγινητέων πεντακόσιοι ἐτάχθησαν. παρὰ δὲ τούτους ἐτάσσοντο Μεγαρέων τρισχίλιοι. εἴχοντο δὲ τούτων Πλαταιέες ἑξακόσιοι. τελευταῖοι δὲ καὶ πρῶτοι Ἀθη-

28\. 3. *Σπαρτιήτας.* Die anderen 5000 waren Periöken.

4\. *ἐφύλασσον.* Auch die Heloten gebrauchte der Staat im Kriege; worin ihre Dienstleistungen bestanden, ist zu VII 229 angegeben. Der Ausdruck *φυλάσσειν* bezieht sich speciell darauf, dasz sie den spartiatischen Hopliten als Schildknappen zugeordnet waren.

5\. *προσεχής* (= *ἐχόμενος*) auch c. 102.

7\. *εἵνεκεν* kann sowol den Zweck als den Grund bezeichnen: in Beziehung auf *τιμῆς* hat es die erstere, in Beziehung auf *ἀρετῆς* die letztere Bedeutung.

9\. *Ποτιδαιητέων.* Die auf der Halbinsel Pallene gelegene Stadt Potidaea war eine Colonie der Korinthier. Vgl. VII 123.

10\. *τούτων—ἐχόμενοι.* *ἔχεσθαι* c. gen. „an etwas stoszen, sich an etwas anschlieszen" ist der eigentl. Ausdruck in der Taktik sowol (VI 8. 109 öft.) wie in der Länderbeschreibung und -aufzählung (V 49).

14\. *Λεπρεητέων.* Lepreon lag südlich von Pylos in der eleischen Landschaft Triphylien. Vgl. IV 148.

16\. *Ἑρμιονέες* aus Hermione. S. z. VIII 73.

17\. *Ἐρετριέων.* Sie waren also nicht alle nach Susa abgeführt (VI 119).

Στυρέων. Ueber sie s. z. VIII 1.

19\. *Λευκαδίων καὶ Ἀνακτορίων.* Ueber die Städte Leukas und Anaktorion s. z. VIII 45.

20\. *Παλέες.* Eine der vier kephallenischen Städte hiesz Pale.

23\. *πρῶτοι* vom linken Flügel ab gerechnet.

ναῖοι ἐτάσσοντο κέρας ἔχοντες τὸ εὐώνυμον ὀκτακισχίλιοι,
ἐστρατήγεε δ' αὐτῶν Ἀριστείδης ὁ Λυσιμάχου. Οὗτοι, πλὴν 29
τῶν ἑπτὰ περὶ ἕκαστον τεταγμένων Σπαρτιήτῃσι, ἦσαν ὁπλῖται, συνάπαντες ἐόντες ἀριθμὸν τρεῖς τε μυριάδες καὶ ὀκτὼ χιλιάδες καὶ ἑκατοντάδες ἑπτά. ὁπλῖται μὲν οἱ πάντες συλλεγέντες ἐπὶ τὸν βάρβαρον ἦσαν τοσοῦτοι, ψιλῶν δὲ πλῆθος ἦν τόδε· τῆς μὲν Σπαρτιητικῆς τάξιος πεντακισχίλιοι καὶ τρισμύριοι ἄνδρες ὡς ἐόντων ἑπτὰ περὶ ἕκαστον ἄνδρα, καὶ τούτων πᾶς τις παράρτητο ὡς ἐς πόλεμον, οἱ δὲ τῶν λοιπῶν Λακεδαιμονίων καὶ Ἑλλήνων ψιλοί, ὡς εἷς περὶ ἕκαστον ἐὼν ἄνδρα, πεντακόσιοι καὶ τετρακισχίλιοι καὶ τρισμύριοι ἦσαν. ψιλῶν μὲν δὴ τῶν ἁπάντων μαχίμων ἦν τὸ πλῆθος ἕξ τε μυριάδες
καὶ ἐννέα χιλιάδες καὶ ἑκατοντάδες πέντε, τοῦ δὲ σύμπαντος 30
Ἑλληνικοῦ τοῦ συνελθόντος ἐς Πλαταιὰς σύν τε ὁπλίτῃσι καὶ ψιλοῖσι τοῖσι μαχίμοισι ἕνδεκα μυριάδες ἦσαν, μιῆς χιλιάδος, πρὸς δὲ ὀκτακοσίων ἀνδρῶν καταδέουσαι. σὺν δέ Θεσπιέων τοῖσι παρεοῦσι ἐξεπληροῦντο αἱ ἕνδεκα μυριάδες. παρῆσαν γὰρ καὶ Θεσπιέων ἐν τῷ στρατοπέδῳ οἱ περιεόντες, ἀριθμὸν ἐς ὀκτακοσίους καὶ χιλίους· ὅπλα δὲ οὐδ' οὗτοι εἶχον.

Οὗτοι μέν νυν ταχθέντες ἐπὶ τῷ Ἀσωπῷ ἐστρατοπεδεύ- 31
οντο, οἱ δ' ἀμφὶ Μαρδόνιον βάρβαροι ὡς ἀπεκήδευσαν Μασίστιον, παρῆσαν, πυθόμενοι τοὺς Ἕλληνας εἶναι ἐν Πλαταιῇσι, καὶ αὐτοὶ ἐπὶ τὸν Ἀσωπὸν τὸν ταύτῃ ῥέοντα. ἀπικόμενοι δὲ ἀντετάσσοντο ὧδε ὑπὸ Μαρδονίου· κατὰ μὲν Λακεδαιμονίους

29. 9. *παράρτητο.* παραρτέεσθαι = παρασκευάζεσθαι auch VIII 76 öft.

11. *πεντακόσιοι—τρισμύριοι ἦσαν.* Herodot hat sich verrechnet. Nach Abzug der 5000 Spartiaten von der Gesammtzahl der Hopliten (38700) bleiben 33700 Hopl. übrig mit ebensoviel Leichtbewaffneten (ὡς εἷς περὶ ἕκαστον ἐὼν ἄνδρα); es können also nicht auf 33700 Hopliten 34500 Leichtbewaffnete gerechnet werden, wenn wir nicht annehmen wollen, dasz bei einem oder dem anderen hellenischen Volke mehr als ein ψιλός auf den ὁπλίτης gekommen sei. — Ueber Rechenfehler bei Herodot vgl. Einl. Bd. I S. 21.

30. 16. *πρὸς δέ* adverbial. S. z. VIII 29.

17. *αἱ ἕνδεκα μυριάδες.* Der Artikel mit Bezugnahme auf die eben erwähnte Gesammtsumme. Ganz wie hier VIII 82.

18. *οἱ περιεόντες.* Vgl. VII 202. 222. 226.

ἀριθμόν Accus. des Bezugs.

19. *ὅπλα*, hier κατ' ἐξοχήν von den Waffen der schwerbewaffneten Hopliten, Schild und Speer, zu verstehen.

οὐδ' οὗτοι ebenso wenig wie die ψιλοί.

31. 21. *ἀπεκήδευσαν.* Zur Bedeutung von ἀπό vgl. II 40 ἐπεὰν δὲ ἀποτύψωνται, δαῖτα προτιθέαται, wo Hesychius erklärt: ἐπεὰν δὲ παύσωνται (ἀπό) τύπτεσθαι.

ἔστησε Πέρσας. καὶ δὴ πολλὸν γὰρ περιῆσαν πλήθεϊ οἱ Πέρσαι, ἐπί τε τάξις πλεῦνας ἐκεκοσμέατο καὶ ἐπεῖχον τοὺς Τεγεήτας. ἔταξε δὲ οὕτω· ὅ τι μὲν ἦν αὐτοῦ δυνατώτατον πᾶν ἀπολέξας ἔστησε ἀντίον Λακεδαιμονίων, τὸ δὲ ἀσθενέστερον παρέταξε κατὰ τοὺς Τεγεήτας. ταῦτα δ' ἐποίεε φραζόντων τε καὶ διδασκόντων Θηβαίων. Περσέων δὲ ἐχομένους ἔταξε Μήδους· οὗτοι δὲ ἐπέσχον Κορινθίους τε καὶ Ποτιδαιήτας καὶ Ὀρχομενίους τε καὶ Σικυωνίους. Μήδων δὲ ἐχομένους ἔταξε Βακτρίους· οὗτοι δὲ ἐπέσχον Ἐπιδαυρίους τε καὶ Τροιζηνίους καὶ Λεπρεήτας τε καὶ Τιρυνθίους καὶ Μυκηναίους τε καὶ Φλιασίους. μετὰ δὲ Βακτρίους ἔστησε Ἰνδούς· οὗτοι δὲ ἐπέσχον Ἑρμιονέας τε καὶ Ἐρετριέας καὶ Στυρέας τε καὶ Χαλκιδέας. Ἰνδῶν δὲ ἐχομένους Σάκας ἔταξε, οἳ ἐπέσχον Ἀμπρακιήτας τε καὶ Ἀνακτορίους καὶ Λευκαδίους καὶ Παλέας καὶ Αἰγινήτας. Σακέων δὲ ἐχομένους ἔταξε ἀντία Ἀθηναίων τε καὶ Πλαταιέων καὶ Μεγαρέων Βοιωτούς τε καὶ Λοκροὺς καὶ Μηλιέας καὶ Θεσσαλοὺς καὶ Φωκέων τοὺς χιλίους. οὐ γὰρ ὦν ἅπαντες οἱ Φωκέες ἐμήδισαν, ἀλλά τινες αὐτῶν καὶ τὰ Ἑλλήνων αὖξον περὶ τὸν Παρνησὸν κατειλημένοι, καὶ ἐνθεῦτεν ὁρμεόμενοι ἔφερόν τε καὶ ἦγον τήν τε Μαρδονίου στρατιὴν καὶ τοὺς μετ' αὐτοῦ ἐόντας Ἑλλήνων. ἔταξε δὲ καὶ Μακεδόνας τε καὶ τοὺς περὶ Θεσσαλίην οἰκημένους κατὰ τοὺς Ἀθηναίους.

32 Ταῦτα μὲν τῶν ἐθνέων τὰ μέγιστα οὐνόμασται τῶν ὑπὸ Μαρδονίου ταχθέντων, τάπερ ἐπιφανέστατά τε ἦν καὶ λόγου πλείστου. ἐνῆσαν δὲ καὶ ἄλλων ἐθνέων ἄνδρες ἀναμεμιγμένοι, Φρυγῶν τε καὶ Θρηΐκων καὶ Μυσῶν τε καὶ Παιόνων καὶ τῶν ἄλλων, ἐν δὲ καὶ Αἰθιόπων τε καὶ Αἰγυπτίων οἵ τε Ἑρμοτύβιες

2. *ἐπί τε τάξις πλεῦνας.* Zur Bedeutung von *ἐπί* vgl. VI 111 *τὸ μὲν τοῦ στρατοπέδου μέσον ἐγίνετο ἐπὶ τάξις ὀλίγας* (d. h. wenige Mann hoch). Die persische Schlachtlinie hat also eine weit gröszere Tiefe in den Gliedern als die lakedaemonische; aber auch in der Ausdehnung der Front überragte sie die lakedaemonische, so dasz sie auch noch die Front der Tegeaten gleichsam deckte (=*ἐπεῖχε*). Ueber die Bedeutung von *ἐπέχειν* s. z. VIII 32.

6. *ἐχομένους.* S. z. c. 28.

7. *ἐπέσχον.* S. ob. 2 (*ἐπεῖχε*).

18. *τὰ Ἑλλήνων αὖξον*, ebenso VIII 30.

20. *ἔφερον καὶ ἦγον.* *φέρειν* und *ἄγειν* von Her. oft verbunden: das erste wird von den Gegenständen gesagt, die fortgetragen, das zweite geht auf die lebenden Wesen (Vieh, Sklaven), die fortgeführt werden. Vgl. I 88. III 39. VI 90. — Ueber die Bedeutung von *ἐνθεῦτεν ὁρμεόμενοι* s. z. VIII 133.

32. 24. *λόγου πλείστου.* Vgl. III 146 *τοὺς λόγου πλείστου ἐόντας ἔκτεινον.*

27. *Ἑρμοτύβιες.* Genaueres z. II 164.

καὶ οἱ Καλασίριες καλεόμενοι μαχαιροφόροι, οἵπερ εἰσὶ Αἰγυπτίων μοῦνοι μάχιμοι. τούτους δὲ ἔτι ἐὼν ἐν Φαλήρῳ ἀπὸ τῶν νεῶν ἀπεβιβάσατο ἐόντας ἐπιβάτας· οὐ γὰρ ἐτάχθησαν ἐς τὸν πεζὸν τὸν ἅμα Ξέρξῃ ἀπικόμενον ἐς τὰς Ἀθήνας Αἰγύπτιοι. τῶν μὲν δὴ βαρβάρων ἦσαν τριήκοντα μυριάδες, ὡς καὶ πρότερον δεδήλωται, τῶν δὲ Ἑλλήνων τῶν Μαρδονίου συμμάχων οἶδε μὲν οὐδεὶς ἀριθμόν (οὐ γὰρ ὦν ἠριθμήθησαν), ὡς δὲ ἐπεικάσαι, ἐς πέντε μυριάδας συλλεγῆναι εἰκάζω. οὗτοι οἱ παραταχθέντες πεζοὶ ἦσαν, ἡ δὲ ἵππος χωρὶς ἐτέτακτο.

Ὡς δὲ ἄρα πάντες οἱ ἐτετάχατο κατά τε ἔθνεα καὶ κατὰ 33
τέλεα, ἐνθαῦτα τῇ δευτέρῃ ἡμέρῃ ἐθύοντο καὶ ἀμφότεροι. Ἕλλησι μὲν Τισαμενὸς Ἀντιόχου ἦν ὁ θυόμενος. οὗτος γὰρ δὴ εἵπετο τῷ στρατεύματι τούτῳ μάντις· τὸν ἐόντα Ἠλεῖον καὶ γένεος τοῦ Ἰαμιδέων Λακεδαιμόνιοι ἐποιήσαντο λεωσφέτερον. Τισαμενῷ γὰρ μαντευομένῳ ἐν Δελφοῖσι περὶ γόνου ἀνεῖλε ἡ Πυθίη ἀγῶνας τοὺς μεγίστους ἀναιρήσεσθαι πέντε. ὁ μὲν δὴ ἁμαρτὼν τοῦ χρηστηρίου προσεῖχε τοῖσι γυμνασίοισι ὡς ἀναιρησόμενος γυμνικοὺς ἀγῶνας, ἀσκέων δὲ πεντάεθλον παρ' ἓν

3. *ἐόντας ἐπιβάτας.* Landtruppen hatten die Aegypter überhaupt nicht gestellt. Vgl. VII 34. 69. 89.

ἐτάχθησαν ἐς τὸν πεζόν. Ueber die Wendung s. z. VIII 1.

7. *ὡς ἐπεικάσαι,* in gleicher absoluter Bedeutung steht *ὡς εἰκάσαι* I 34. S. z. VIII 30.

Opfer vor der Schlacht. Geschichte der beiden Seher Tisamenos und Hegesistratos (c. 33—37).

33. 10. *ἄρα.* Ueber den Gebrauch s. z. c. 8.

κατὰ ἔθνεα καὶ κ. τέλεα. Vgl. c. 20. 25.

11. *καὶ ἀμφότεροι.* In dieser Verbindung hat *καί* erklärende Kraft (= alle beide). Häufig so. Vgl. VII 16.

14. *Ἰαμιδέων.* Das Seher- und Priestergeschlecht der Iamiden in Olympia war hochberühmt. Vgl. Cic. de divin. I 41: Elis in Peloponneso familias duas certas habet, Iamidarum unam, alteram Clytidarum, haruspicinae nobilitate praestantes. Vgl. Pind. Olymp. VI 71 *πολύκλειτον καθ' Ἕλλανας γένος Ἰαμιδᾶν.* S. auch z. VIII 134.

λεωσφέτερον „Volksangehörigen". Dieses nur hier vorkommende Compositum erklärt Her. weiter unt. (S. 138, 7): *πολιήτην σφέτερον.*

15. *ἀνεῖλε. ἀναιρέειν* ist stehender Ausdruck vom Antwort erteilen des Orakels. Vgl. VI 52. 69 öft.

16. *ἀγῶνας—ἀναιρήσεσθαι. ἀναιρέειν* od. *ἀναιρέεσθαι* sagte man zunächst von den Kampfpreisen (Hom. Il. XXIII 736), dann auch vom (Preis davontragenden) Kampfe selbst. Wie hier V 102 (*στεφανηφόρους ἀγῶνας ἀναραιρηκώς*). Auch *νίκην ἀναιρέεσθαι* IX 64.

17. *ἁμαρτὼν τοῦ χρηστηρίου.* Vgl. IV 164 *ἁμαρτὼν τοῦ χρησμοῦ ἐξέπλησε μοῖραν τὴν ἑωυτοῦ.*

18. *ἀσκέων πεντάεθλον.* Wie hier VI 92. Vgl. unt. c. 105 *ἀνὴρ παγκράτιον ἐπασκήσας* und c. 75 (*Εὐρυβάτης πεντάεθλος ἀνήρ*).

παρ' ἓν πάλαισμα. παρά ist hier zu fassen wie in den Verbindungen *παρ' ὀλίγον, μικρόν* (= um

πάλαισμα ἔδραμε νικᾶν ὀλυμπιάδα, Ἱερωνύμῳ τῷ Ἀνδρίῳ ἐλθὼν ἐς ἔριν. Λακεδαιμόνιοι δὲ μαθόντες οὐκ ἐς γυμνικοὺς ἀλλ' ἐς ἀρηΐους ἀγῶνας φέρον τὸ Τισαμενοῦ μαντήϊον, μισθῷ ἐπειρέοντο πείσαντες Τισαμενὸν ποιέεσθαι ἅμα Ἡρακλειδέων τοῖσι βασιλεῦσι ἡγεμόνα τῶν πολέμων. ὁ δὲ ὁρέων περὶ πολλοῦ ποιευμένους Σπαρτιήτας φίλον αὐτὸν προσθέσθαι, μαθὼν τοῦτο ἀνετίμα, σημαίνων σφι, ὡς ἤν μιν πολιήτην σφέτερον ποιήσωνται τῶν πάντων μεταδιδόντες, ποιήσει ταῦτα, ἐπ' ἄλλῳ μισθῷ δ' οὔ. Σπαρτιῆται δὲ πρῶτα μὲν ἀκούσαντες δεινὰ ἐποιεῦντο καὶ μετίεσαν τῆς χρησμοσύνης τὸ παράπαν, τέλος δὲ δείματος μεγάλου ἐπικρεμαμένου τοῦ Περσικοῦ τούτου στρατεύματος καταίνεον μετιόντες. ὁ δὲ γνοὺς τετραμμένους σφέας οὐδ' οὕτω ἔτι ἔφη ἀρκέεσθαι τούτοισι μούνοισι, ἀλλὰ δεῖν ἔτι καὶ τὸν ἀδελφεὸν ἑωυτοῦ Ἡγίην γίνεσθαι Σπαρτιήτην

ein weniges, d. h. es fehlte wenig daran). Vgl. Thuk. VIII 76 παρ' ἐλάχιστον ἦλθε Σαμίων ἡ πόλις ἀφελέσθαι τῆς θαλάττης τὸ κράτος Ἀθηναίους. Tisamenos siegte also in sämmtlichen übrigen Kampfarten des Pentathlon (Sprung, Lauf, Diskos- und Speerwurf), nur im Ringkampf allein unterlag er seinem Gegner; der Sieg im Ringkampf allein fehlte ihm daran (= παρ' ἓν πάλαισμα), um den Siegeskranz im πένταθλον zu empfangen. Zur Sache vgl. Pausan. III 11, 6 Τισάμενος πένταθλον Ὀλυμπιάσιν ἀσκήσας ἀπῆλθεν ἡττηθείς· καίτοι τὰ δύο (?) γε ἦν πρῶτος· καὶ γὰρ δρόμῳ τε ἐκράτει καὶ πηδήματι Ἱερώνυμον Ἄνδριον· καταπαλαισθεὶς δὲ ὑπ' αὐτοῦ καὶ ἁμαρτὼν τῆς νίκης συνίησι τοῦ χρησμοῦ, διδόναι οἱ τὸν θεὸν μαντευομένῳ πέντε ἀγῶνας πολέμῳ κρατῆσαι. Merkwürdig ist nur, dasz Pausanias den Speer- und Diskoswurf mit keiner Silbe erwähnt.

1. ἔδραμε. Ueber den Gebrauch von τρέχειν in ähnlichen Verbindungen s. z. VIII 74.

νικᾶν ὀλυμπιάδα gebildet nach νικᾶν νίκην (figura etymologica). Nach den Substantiven gleichen Stammes fügte die Sprache fortschreitend dann auch sinnverwandte zu den Verbis. Vgl. Thuk. I 126 Ὀλύμπια νενικηκότι und in noch freierer Verbindung bei Her. selbst ὀλυμπιάδα ἀνελόμενος VI 125. S. z. V 102.

3. φέρον. Ueber φέρειν ἐς s. z. VIII 100.

4. Ἡρακλειδέων τοῖσι βασιλεῦσι „den von den Herakliden entstammten Königen". Ἡρακλειδέων ist Genetiv der Angehörigkeit.

5. περὶ πολλοῦ ποιευμένους. S. z. VIII 40.

6. μαθὼν τοῦτο, nimmt variierend ὁρέων wieder auf.

8. ἐπ' ἄλλῳ μισθῷ. Ueber die Bedeutung von ἐπί s. z. c. 26 (ἐπὶ διακειμένοις).

9. δεινὰ ἐποιεῦντο. S. z. VIII 15.

10. μετίεσαν τῆς χρησμοσύνης „sie standen von ihrem Verlangen ab". χρησμοσύνη ist von χρηΐζειν abzuleiten. — μετιέναι τινά (gleich im Folgenden) heiszt eigentlich jemandem nachgehen, dann jemanden holen. Vgl. III 15 τὸν μὲν δὴ παῖδα εὗρον οἱ μετιόντες οὐκέτι περιεόντα.

12. τετραμμένους. Vgl. VII 18 ἐγὼ μὲν αὐτὸς τράπομαι καὶ τὴν γνώμην μετατίθεμαι.

13. οὐδ' οὕτω d. h. wiewol man auf seine Forderungen eingegangen sei; näher erklärt werden die Worte durch das gleich folgende τούτοισι μούνοισι.

ἐπὶ τοῖσι αὐτοῖσι λόγοισι τοῖσι καὶ αὐτὸς γίνεται. Ταῦτα δὲ 34
λέγων οὗτος ἐμιμέετο Μελάμποδα, ὡς εἰκάσαι βασιληΐην τε καὶ πολιτηΐην αἰτεόμενον. καὶ γὰρ δὴ καὶ Μελάμπους τῶν ἐν Ἄργεϊ γυναικῶν μανεισέων, ὥς μιν οἱ Ἀργεῖοι ἐμισθοῦντο ἐκ Πύλου παῦσαι τὰς σφετέρας γυναῖκας τῆς νούσου, μισθὸν προετείνετο τῆς βασιληΐης τὸ ἥμισυ. οὐκ ἀνασχομένων δὲ τῶν Ἀργείων, ἀλλ' ἀπιόντων, ὡς ἐμαίνοντο [πολλῷ] πλεῦνες τῶν γυναικῶν, οὕτω δὴ ὑποστάντες τὰ ὁ Μελάμπους προετείνετο ἤϊσαν δώσοντές οἱ ταῦτα. ὁ δὲ ἐνθαῦτα δὴ ἐπορέγεται ὁρέων αὐτοὺς τετραμμένους, φάς, ἢν μὴ καὶ τῷ ἀδελφεῷ Βίαντι μεταδῶσι τὸ τριτημόριον τῆς βασιληΐης, οὐ ποιήσειν τὰ βούλονται. οἱ δὲ Ἀργεῖοι ἀπειληθέντες ἐς στεινὸν καταινέουσι καὶ ταῦτα.

1. *ἐπὶ τοῖσι αὐτοῖσι λόγοισι.* Ueber die Bedeutung von *ἐπὶ* s. z. c. 26.

τοῖσι statt *ἐπ' οἷσι*; doch wird im Griech. die dem demonstrativen und relativen Satze gemeinschaftliche Präposition meistens im Relativsatz nicht wiederholt, wenn der demonstrative Satz vorangeht und der relative bei gleichem Casus attributartig nachfolgt. Vgl. I 141 *ἐθέλοντες ἐπὶ τοῖσι αὐτοῖσι εἶναι τοῖσι καὶ Κροίσῳ ἦσαν κατήκοοι.*

34. 2. *Μελάμποδα.* Ueber den berühmten Seher Melampus s. z. II 49.

ὡς εἰκάσαι — αἰτεόμενον. αἰτεόμενον hängt von *εἰκάσαι*, die beiden Accusative von *αἰτεόμενον* ab. Derselbe Infinitiv mit *ὡς* in gleicher Bedeutung bei Thuk. IV 36 *ὡς μικρὸν μεγάλῳ εἰκάσαι* = quantum licet magnis componere parva. Bei Her. vgl. noch IV 99 *λέγω δὲ ὡς εἶναι (= ἐξεῖναι) ταῦτα σμικρὰ μεγάλοισι συμβαλεῖν.*

3. *τῶν — μανεισέων.* Die Krankheit war von den drei Töchtern des tirynthischen Königs Proetos, den Proetiden, ausgegangen, welche mit Raserei und Aussatz gestraft waren, weil sie die Weihen des Dionys verschmäht und das Heiligtum der Hera verspottet hatten. Nachdem sie auch die übrigen argeiischen Frauen verführt und zu dem gleichen Frevel veranlasst hatten, irrten sie rastlos in den Wäldern und Bergen Arkadiens umher, bis der berühmte pylische (= *ἐκ Πύλου*) Seher Melampus, der um Hülfe angegangen war, dem Uebel Einhalt tat. Als Lohn mussten sie ihm wie seinem Bruder Bias und zwar einem jeden ein Dritteil der Herschaft zugestehen. Nach „Preller Mythol. II 56."

4. *ἐμισθοῦντο.* Das Imperf. bezeichnet häufig die begonnene (= de conatu), aber entweder gar nicht oder erst später zur Ausführung gekommene Handlung. Vgl. I 68 *ἐμισθοῦτο παρ' οὐκ ἐκδιδόντος αὐλήν.*

6. *προετείνετο. προτείνεσθαι* (od. *προτείνειν*) eig. vorschlagen (V 24. VII 6. VIII 140). Die hier geforderte Bedeutung verlangen entwickelt sich leicht aus der ursprünglichen.

8. *οὕτω δή.* S. z. VIII 23.

ὑποστάντες. Zur Bedeutung von *ὑποστῆναι* vgl. III 128 *τῶν δὲ ἄνδρες τριήκοντα ὑπέστησαν ποιέειν ταῦτα.* Vgl. auch unt. c. 94.

9. *ἐπορέγεται.* Beachte *ἐπί.*

10. *τετραμμένους.* S. z. c. 33.

11. *τριτημόριον.* Früher hatte er die Hälfte der Herschaft verlangt, jetzt forderte er zwei Drittel, für sich und seinen Bruder je ein Drittel.

12. *ἀπειληθέντες ἐς στεινόν.* S. z. VIII 109.

35 Ὡς δὲ καὶ Σπαρτιῆται, ἐδέοντο γὰρ δεινῶς τοῦ Τισαμενοῦ, πάντα συνεχώρεόν οἱ. συγχωρησάντων δὲ καὶ ταῦτα τῶν Σπαρτιητέων, οὕτω δὴ πέντε σφι μαντευόμενος ἀγῶνας τοὺς μεγίστους Τισαμενὸς ὁ Ἠλεῖος γενόμενος Σπαρτιήτης συγκαταιρέει. μοῦνοι δὲ δὴ πάντων ἀνθρώπων ἐγένοντο οὗτοι Σπαρτιήτῃσι πολιῆται. οἱ δὲ πέντε ἀγῶνες οἵδε ἐγένοντο· εἷς μὲν καὶ πρῶτος οὗτος ὁ ἐν Πλαταιῇσι, ἐπὶ δὲ ὁ ἐν Τεγέῃ πρὸς Τεγεήτας τε καὶ Ἀργείους γενόμενος, μετὰ δὲ ὁ ἐν Διπαιεῦσι πρὸς Ἀρκάδας πάντας πλὴν Μαντινέων, ἐπὶ δὲ ὁ Μεσσηνίων ὁ πρὸς Ἰθώμῃ, ὕστατος δὲ ὁ ἐν Τανάγρῃ πρὸς Ἀθηναίους τε καὶ Ἀργείους γενόμενος. οὗτος δὲ ὕστατος κατεργάσθη τῶν πέντε ἀγώνων.

36 Οὗτος δὴ τότε τοῖσι Ἕλλησι ὁ Τισαμενὸς ἀγόντων τῶν Σπαρτιητέων ἐμαντεύετο ἐν τῇ Πλαταιίδι. Τοῖσι μέν νυν Ἕλλησι καλὰ ἐγίνετο τὰ ἱρὰ ἀμυνομένοισι, διαβᾶσι δὲ τὸν Ἀσω-
37 πὸν καὶ μάχης ἄρχουσι οὔ, Μαρδονίῳ δὲ προθυμεομένῳ μάχης ἄρχειν οὐκ ἐπιτήδεα ἐγίνετο τὰ ἱρὰ, ἀμυνομένῳ δὲ καὶ τούτῳ καλά. καὶ γὰρ οὗτος Ἑλληνικοῖσι ἱροῖσι ἐχρᾶτο, μάντιν ἔχων Ἡγησίστρατον ἄνδρα Ἠλεῖόν τε καὶ τῶν Τελλιαδέων ἐόντα λογιμώτατον, τὸν δὴ πρότερον τούτων Σπαρτιῆται λαβόντες ἔδησαν ἐπὶ θανάτῳ ὡς πεπονθότες πολλά τε καὶ ἀνάρσια ὑπ' αὐτοῦ. ὁ δὲ ἐν τούτῳ τῷ κακῷ ἐχόμενος, ὥστε τρέχων περὶ

35. 3. *συγκαταιρέειν ἀγῶνας τοὺς μεγίστους* „die gröszten Kampfpreise mit gewinnen helfen". Vgl. VII 50 *μεγάλα πρήγματα μεγάλοισι κινδύνοισι ἐθέλει καταιρέεσθαι.*

7. *ἐπὶ δέ* adverbial. S. z. VIII 29.

8. *πρὸς Τεγεήτας, — πρὸς Ἀρκάδας.* Von beiden Kämpfen ist uns im Einzelnen nichts Genaueres überliefert; der als vierter hier erwähnte Kampf gegen die Messenier ist der sogen. dritte messenische Krieg (465—455 v. Chr.). Der fünfte Kampf, welchen Tisamenos mitgewann, ist der Sieg bei Tanagra (457). Die Spartaner hatten, um sich einen Anhalt in Hellas zu verschaffen, der Tetrapolis Dorica Hülfe gegen Phokis gesandt, worauf ihnen die Athener den Krieg erklärten; sie suchten den Spartanern und den mit ihnen verbundenen Argeiern, welche aus Boiotien nach dem Peloponnes zurückkehren wollten, den Rückzug abzuschneiden, wurden aber bei Tanagra vollständig geschlagen.

36. 15. *ἀμυνομένοισι.* Gegens. *διαβᾶσι τὸν Ἄσωπον καὶ μάχης ἄρχουσι.*

37. 19. *Τελλιαδέων.* Ueber die Seherfamilie der Telliaden s. z. VIII 27.

21. *ἔδησαν ἐπὶ θανάτῳ.* In den beiden vollständig gleichen Stellen III 119 und V 72 steht noch *τὴν* (näml. *δέσιν*) vor *ἐπὶ*, was wahrscheinlich nur durch ein Versehen der Abschreiber hier ausgefallen ist. — *ἔδησαν τὴν* (i. e. *δέσιν*) ist durch die figura etymologica zu erklären.

22. *ἐχόμενος* passivisch. S. z. VIII 52.

ὥστε τρέχων. Ueber *ὥστε* mit Particip s. z. VIII 69. — Ueber die

τῆς ψυχῆς πρό τε τοῦ θανάτου πεισόμενος πολλά τε καὶ λυγρὰ, ἔργον ἐργάσατο μέζον λόγου. ὡς γὰρ δὴ ἐδέδετο ἐν ξύλῳ σιδηροδέτῳ, ἐσενειχθέντος κως σιδηρίου ἐκράτησε, αὐτίκα δὲ ἐμηχανᾶτο ἀνδρηϊώτατον ἔργον πάντων τῶν ἡμεῖς ἴδμεν. σταθμωσάμενος γὰρ ὅκως ἐξελεύσεταί οἱ τὸ λοιπὸν τοῦ ποδὸς, ἀπέταμε τὸν ταρσὸν ἑωυτοῦ. ταῦτα δὲ ποιήσας, ὥστε φυλασσόμενος ὑπὸ φυλάκων, διορύξας τὸν τοῖχον ἀπέδρη ἐς Τεγέην, τὰς μὲν νύκτας πορευόμενος, τὰς δὲ ἡμέρας καταδύνων ἐς ὕλην καὶ αὐλιζόμενος, οὕτω ὥστε Λακεδαιμονίων πανδημεὶ διζημένων τρίτῃ εὐφρόνῃ γενέσθαι ἐν Τεγέῃ, τοὺς δὲ ἐν θώματι μεγάλῳ ἐνέχεσθαι τῆς τε τόλμης, ὁρέοντας τὸ ἡμίτομον τοῦ ποδὸς κείμενον, κἀκεῖνον οὐ δυναμένους εὑρεῖν. τότε μὲν οὕτω διαφυγὼν Λακεδαιμονίους καταφεύγει ἐς Τεγέην ἐοῦσαν οὐκ ἀρθμίην Λακεδαιμονίοισι τοῦτον τὸν χρόνον. ὑγιὴς δὲ γενόμενος καὶ προσποιησάμενος ξύλινον πόδα κατεστήκεε ἐκ τῆς ἰθέης Λακεδαιμονίοισι πολέμιος. οὐ μέντοι ἔς γε τέλος οἱ συνήνεικε τὸ ἔχθος τὸ ἐς Λακεδαιμονίους συγκεκρημένον· ἥλω γὰρ μαντευόμενος ἐν Ζακύνθῳ ὑπ' αὐτῶν καὶ ἀπέθανε. 38
Ὁ μέν νυν θάνατος ὁ Ἡγησιστράτου ὕστερον ἐγένετο τῶν Πλαταιικῶν, τότε δ' ἐπὶ τῷ Ἀσωπῷ Μαρδονίῳ μεμισθωμένος οὐκ ὀλίγου ἐθύετό τε καὶ προεθυμέετο κατά τε τὸ ἔχθος τὸ Λακεδαιμονίων καὶ κατὰ τὸ κέρδος. ὡς δὲ οὐκ ἐκαλλίρεε ὥστε

Bedeutung von τρέχειν περί s. z. VIII 74 περὶ τοῦ παντὸς ἤδη θέοντες.

2. μέζον λόγου = μέζον ἢ ὥστε λέγειν. Wie hier VII 147.

ξύλον Fuszblock auch VI 75.

3. κως wie c. 18.

4. σταθμωσάμενος. Ueber die Bedeutung von σταθμοῦσθαι s. z. VIII 130.

6. ὥστε φυλασσόμενος. S. ob. S. 140, 22 (ὥστε τρέχων).

10. θώματι ἐνέχεσθαι. S. z. VIII 135.

14. ἀρθμίην. Zur Bedeutung von ἄρθμιος s. z. c. 9.

15. ἐκ τῆς ἰθέης. S. z. VIII 126 (ἐκ τοῦ φανεροῦ).

17. συνήνεικε. S. z. VIII 87.

συγκεκρημένον. Das Verbum ist wie hier vom ἔχθος so IV 152. VII 151 von φιλία gebraucht. Vgl. IV 152 Κυρηναίοισι δὲ ἐς Σαμίους ἀπὸ τούτου τοῦ ἔργου πρῶτα φιλίαι μεγάλαι συνεκρήθησαν.

Streifzug der persischen Reiterei. Kriegsrat im persischen Lager. Mardonios, die Weissagungen misverstehend, beschlieszt den Kampf. (c. 38—43).

38. 20. Μαρδονίῳ μεμισθωμένος οὐκ ὀλίγου. Μαρδονίῳ ist der Dativ beim Passiv, ὀλίγου gen. pretii.

21. κατὰ τὸ ἔχθος τὸ Λακεδαιμονίων. S. z. VIII 30 (κατὰ τὸ ἔχθος τὸ Θεσσαλῶν).

22. ἐκάλλιρεε ist an unserer Stelle mit ὥστε c. inf., dagegen VI 76 mit einfachem Infinitiv verbunden (οὐ γὰρ οὐδαμῶς ἐκαλλίρεε διαβαίνειν τὸν ποταμόν). — Ueber die Bedeutung des unpersönlichen καλλιρέειν s. z. c. 19.

μάχεσθαι οὔτε αὐτοῖσι Πέρσῃσι οὔτε τοῖσι μετ' ἐκείνων ἐοῦσι
Ἑλλήνων (εἶχον γὰρ καὶ οὗτοι ἐπ' ἑωυτῶν μάντιν Ἱππόμαχον
Λευκάδιον ἄνδρα), ἐπιρρεόντων δὲ τῶν Ἑλλήνων καὶ γινομέ-
νων πλεύνων Τιμηγενίδης ὁ Ἕρπυος ἀνὴρ Θηβαῖος συνεβού-
λευσε Μαρδονίῳ τὰς ἐκβολὰς τοῦ Κιθαιρῶνος φυλάξαι, λέγων
ὡς ἐπιρρέουσι οἱ Ἕλληνες αἰεὶ ἀνὰ πᾶσαν ἡμέρην καὶ ὡς ἀπο-
39 λάμψοιτο συχνούς. Ἡμέραι δέ σφι ἀντικατημένοισι ἤδη ἐγε-
γόνεσαν ὀκτώ, ὅτε ταῦτα ἐκεῖνος συνεβούλευε Μαρδονίῳ. ὁ
δὲ μαθὼν τὴν παραίνεσιν εὖ ἔχουσαν, ὡς εὐφρόνη ἐγένετο,
πέμπει τὴν ἵππον ἐς τὰς ἐκβολὰς τὰς Κιθαιρωνίδας, αἳ ἐπὶ
Πλαταιέων φέρουσι, τὰς Βοιωτοὶ μὲν Τρεῖς κεφαλὰς καλέουσι,
Ἀθηναῖοι δὲ Δρυὸς κεφαλάς. πεμφθέντες δὲ οἱ ἱππόται οὐ
μάτην ἀπίκοντο. ἐσβάλλοντα γὰρ ἐς τὸ πεδίον λαμβάνουσι
ὑποζύγιά τε πεντακόσια, σιτία ἄγοντα ἀπὸ Πελοποννήσου ἐς
τὸ στρατόπεδον, καὶ ἀνθρώπους, οἳ εἵποντο τοῖσι ζεύγεσι.
ἑλόντες δὲ ταύτην τὴν ἄγρην οἱ Πέρσαι ἀφειδέως ἐφόνευον,
οὐ φειδόμενοι οὔτε ὑποζυγίου οὐδενὸς οὔτε ἀνθρώπου. ὡς δὲ
ἄδην εἶχον κτείνοντες, τὰ λοιπὰ αὐτῶν ἤλαυνον περιβαλλόμε-
40 νοι παρά τε Μαρδόνιον καὶ ἐς τὸ στρατόπεδον. Μετὰ δὲ τοῦτο
τὸ ἔργον ἑτέρας δύο ἡμέρας διέτριψαν, οὐδέτεροι βουλόμενοι
μάχης ἄρξαι. μέχρι μὲν γὰρ τοῦ Ἀσωποῦ ἐπήϊσαν οἱ βάρβα-
ροι, πειρεόμενοι τῶν Ἑλλήνων, διέβαινον δὲ οὐδέτεροι. ἡ
μέντοι ἵππος ἡ Μαρδονίου αἰεὶ προσεκέετό τε καὶ ἐλύπεε τοὺς
Ἕλληνας· οἱ γὰρ Θηβαῖοι, ἅτε μηδίζοντες μεγάλως, προθύμως

2. ἐπ' ἑωυτῶν für sich allein. S. z. c. 17.

4. Τιμηγενίδης. Vgl. c. 86.

5. τὰς ἐκβολὰς τοῦ Κιθαιρῶνος die aus dem Kithaeron herausführenden Pässe. — Durch die Besetzung dieser Pässe schnitt Mardonios dem Heere die Verbindung mit der Peloponnes und die Zufuhr ab.

6. ἀνὰ πᾶσαν ἡμέρην. Wie hier VI 61. Vgl. VII 106 ἀνὰ πᾶν ἔτος.

ἀπολάμψοιτο. ἀπολαμβάνειν (= intercludere) steht in gleicher Bedeutung auch VIII 11. — Ueber die unattische Form s. z. VIII 10.

39. 7. ἀντικατημένοισι — ἐγεγόνεσαν. Bei Zeitangaben wird häufig der Dativ des Particips in Verbindung mit εἶναι und γίγνεσθαι gesetzt. Vgl. c. 41.

11. Τρεῖς κεφαλάς. Der Pass der drei Kuppen (j. Pass von Gifto Kastro) führt durch die wildesten Bergpartien des Kithaeron; er hatte seinen Namen von den drei hervorragenden Bergkuppen, die man, wie ein neuerer Reisender (Vischer) berichtet, von der boiotischen Seite aus schon aus sehr weiter Ferne deutlich unterscheiden kann; die Athener nannten den Pass nach den Eichenwäldern, die seine Kuppen bedeckten, Δρυὸς κεφαλαί.

18. περιβαλλόμενοι. S. z. VIII 8.

ἔφερον τὸν πόλεμον καὶ αἰεὶ κατηγέοντο μέχρι μάχης, τὸ δὲ ἀπὸ τούτου παραδεκόμενοι Πέρσαι τε καὶ Μῆδοι μάλα ἔσκον οἳ ἀπεδείκνυντο ἀρετάς.

41 *Μέχρι μέν νυν τῶν δέκα ἡμερέων οὐδὲν ἐπὶ πλέον ἐγίνετο τούτων, ὡς δὲ ἑνδεκάτη ἐγεγόνεε ἡμέρη ἀντικατημένοισι ἐν Πλαταιῇσι, οἵ τε δὴ Ἕλληνες πολλῷ πλεῦνες ἐγεγόνεσαν, καὶ Μαρδόνιος περιημέκτεε τῇ ἕδρῃ. ἐνθαῦτα ἐς λόγους ἦλθον Μαρδόνιός τε ὁ Γωβρύεω καὶ Ἀρτάβαζος ὁ Φαρνάκεος, ὃς ἐν ὀλίγοισι Περσέων ἦν ἀνὴρ δόκιμος παρὰ Ξέρξῃ. βουλευομένων δὲ αἵδε ἦσαν αἱ γνῶμαι, ἡ μὲν Ἀρταβάζου, ὡς χρεὸν εἴη ἀναζεύξαντας τὴν ταχίστην πάντα τὸν στρατὸν ἰέναι ἐς τὸ τεῖχος τὸ Θηβαίων, ἔνθα σῖτόν τέ σφι ἐσενηνεῖχθαι πολλὸν καὶ χόρτον τοῖσι ὑποζυγίοισι, κατ' ἡσυχίην τε ἱζομένους διαπρήσσεσθαι ποιεῦντας τάδε. ἔχειν γὰρ χρυσὸν πολλὸν μὲν ἐπίσημον, πολλὸν δὲ καὶ ἄσημον, πολλὸν δὲ καὶ ἄργυρόν τε καὶ ἐκπώματα· τούτων φειδομένους μηδενὸς διαπέμπειν ἐς τοὺς Ἕλληνας, Ἑλλήνων δὲ μάλιστα ἐς τοὺς προεστεῶτας ἐν τῇσι πόλισι, καὶ ταχέως σφέας παραδώσειν τὴν ἐλευθερίην, μηδὲ ἀνακινδυνεύειν συμβάλλοντας. τούτου μέν νυν ἡ αὐτὴ ἐγίνετο καὶ Θηβαίων γνώμη, ὡς προειδότος πλέον τι καὶ τού-*

40. 1. *ἔφερον τὸν πόλεμον.* S. z. c. 18.

κατηγέοντο erg. *τῇ τῶν Περσέων ἵππῳ.*

τὸ ἀπὸ τούτου hat temporale Bedeutung. Vgl. *τὸ νῦν, τὸ πρῶτον.* Wie hier I 4. 130. 199.

2. *παραδεκόμενοι, τοὺς Θηβαίους. παραδέκεσθαί τινα* jemanden ablösen (excipere).

ἔσκον. Beachte die Bedeutung der Iterativform.

3. *ἀπεδείκνυντο — ἀρετάς.* Zur Bedeutung von *ἀποδείκνυσθαι* vgl. VIII 17. 89. 91. IX 27. 71. 155.

41. 4. *τῶν* der eben erwähnten. Vgl. c. 39. 40. Der Artikel in gleicher Bedeutung auch sonst.

ἐπὶ πλέον = πλεόνως. So häufig bei Herod. Vgl. V 51. VI 42. IX 122. — *τούτων* im Folg. hängt von *οὐδέν* ab. Ganz wie hier VI 42 *κατὰ τὸ ἔτος τοῦτο ἐκ τῶν Περσέων οὐδὲν ἐπὶ πλέον ἐγένετο τοῦτο ἐς νεῖκος φέρον Ἴωσι.*

5. *ἑνδεκάτη — ἀντικατημένοισι.* Ueber d. Bedeutung s. z. c. 39.

7. *περιημέκτεε* (= aegre ferebat). Das Verbum auch VIII 109.

8. *Ἀρτάβαζος.* Vgl. VIII 126.

9. *ἐν ὀλίγοισι.* Vgl. IV 52 *Ὕπανις ἐὼν ποταμὸς ἐν ὀλίγοισι μέγας.*

11. *ἀναζεύξαντας.* S. z. VIII 60, 1.

12. *ἔνθα — ἐσενηνεῖχθαι.* Ueber den Infin. s. z. VIII 94.

14. *ἔχειν γάρ.* Ueber *γάρ* im vorgeschobenen Satze s. z. VIII 5. Hier begründet *γάρ* erst den weiter unten folgenden Satz: *τούτων φειδομένους μηδενὸς — διαπέμπειν,* welcher den Inhalt des *τάδε* (in *ποιεῦντας τάδε*) ausführt.

16. *διαπέμπειν.* Beachte *διά.*

17. *τοὺς προεστεῶτας.* Vgl. IV 79 *εἵποντο τῶν Σκυθέων οἱ προεστεῶτες.*

19. *μηδέ* verbindet *ἀνακινδυνεύειν* mit *διαπέμπειν.* — Ueber die Bedeutung von *ἀνακινδυνεύειν* s. z. VIII 68.

20. *τῶν Θηβαίων.* S. c. 2.

ὡς προειδότος — τούτου „da

του, Μαρδονίου δὲ ἰσχυροτέρη τε καὶ ἀγνωμονεστέρη καὶ οὐδαμῶς συγγινωσκομένη. δοκέειν τε γὰρ πολλῷ κρέσσονα εἶναι τὴν σφετέρην στρατιὴν τῆς Ἑλληνικῆς, συμβάλλειν τε τὴν ταχίστην μηδὲ περιορᾶν συλλεγομένους ἔτι πλεῦνας τῶν συλλελεγμένων, τά τε σφάγια τὰ Ἡγησιστράτου ἐᾶν χαίρειν μηδὲ βιάζεσθαι, ἀλλὰ νόμῳ τῷ Περσέων χρεομένους συμβάλλειν.

42 Τούτου δὲ οὕτω δικαιεῦντος ἀντέλεγε οὐδείς, ὥστε ἐκράτεε τῇ γνώμῃ· τὸ γὰρ κράτος εἶχε τῆς στρατιῆς οὗτος ἐκ βασιλέος, ἀλλ' οὐκ Ἀρτάβαζος. μεταπεμψάμενος ὦν τοὺς ταξιάρχους τῶν τελέων καὶ τῶν μετ' ἑωυτοῦ ἐόντων Ἑλλήνων τοὺς στρατηγοὺς εἰρώτα, εἴ τι εἰδεῖεν λόγιον περὶ Περσέων ὡς διεφθαρέονται ἐν τῇ Ἑλλάδι. σιγεόντων δὲ τῶν ἐπικλήτων, τῶν μὲν οὐκ εἰδότων τοὺς χρησμούς, τῶν δὲ εἰδότων μέν, ἐν ἀδείῃ δὲ οὐ ποιευμένων τὸ λέγειν, αὐτὸς Μαρδόνιος ἔλεγε· Ἐπεὶ τοίνυν ὑμεῖς ἢ ἴστε οὐδὲν ἢ οὐ τολμᾶτε λέγειν, ἀλλ' ἐγὼ ἐρέω ὡς εὖ ἐπιστάμενος. ἔστι λόγιον ὡς χρεών ἐστι Πέρσας ἀπικομένους ἐς τὴν Ἑλλάδα διαρπάσαι τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, μετὰ δὲ τὴν διαρπαγὴν ἀπολέσθαι πάντας. ἡμεῖς τοίνυν αὐτὸ τοῦτο ἐπιστάμενοι οὔτε ἴμεν ἐπὶ τὸ ἱρὸν τοῦτο οὔτε ἐπιχειρήσομεν διαρπάζειν, ταύτης τε εἵνεκεν τῆς αἰτίης οὐκ ἀπολεόμεθα. ὥστε

auch dieser (wie die Thebaner) weit besser (=πλέον τι) die kommenden Dinge (προ) voraussah (als Mardonios)".

1. οὐδαμῶς συγγινωσκομένη erg. τῇ Ἀρταβάζου γνώμῃ. συγγινώσκεσθαι heiszt bei Her. nie „verzeihen", sondern stets bei sich erkennen, eingestehen, dann beipflichten. Wie hier V 86. 94. VI 61. 140.

2. δοκέειν τε γάρ. Uebergang zur oratio obliqua. Der Infin. hängt von einem aus γνώμη ἐγίνετο zu ergänzenden ἔφη ab. In ähnlicher Weise ist c. 48 der Infin. νικᾶν von einem vorschwebenden λέγομεν abhängig, welches aus dem vorhergehenden ἄρχομεν τούτου τοῦ λόγου zu entnehmen ist. — In Beziehung auf den ersten Infin. (κρέσσονα εἶναι) heiszt δοκέειν scheinen, in Beziehung auf den zweiten (συμβάλλειν) gut scheinen. Vgl. VIII 113.

4. περιορᾶν συλλεγομένους. S. z. c. 6.

5. ἐᾶν χαίρειν=περιορᾶν. Vgl. VI 23 ἀναπείθει τοῖσι Σαμίοισι ὡς χρέων εἴη Καλὴν μὲν ἀκτὴν, ἐπ' ἣν ἔπλεον, ἐᾶν χαίρειν, τὴν δὲ Ζάγκλην σχεῖν ἐοῦσαν ἐρῆμον ἀνδρῶν.

6. βιάζεσθαι τὰ σφάγια heiszt: „günstige Vorzeichen erzwingen".

42. 7. δικαιεῦντος. Ueber die Bedeutung von δικαιοῦν s. z. VIII 126. Ueber die Construction vgl. Dial. Bd. I S. 38.

10. τῶν τελέων. Ueber die Bedeutung von τέλεα s. z. c. 20.

12. ἐπικλήτων. Vgl. VIII 101.

13. ἐν ἀδείῃ — ποιευμένων. Vgl. die ähnlichen Umschreibungen ἐν κέρδεϊ ποιέεσθαι VI 13, ἐν ὁμοίῳ (erg. μέρει) ποιέεσθαι VIII 109, ἐν οὐδενὶ λόγῳ ποιέεσθαι VII 57.

15. ἀλλ' ἐγώ. ἀλλά dient hier zur Hervorhebung des Nachsatzes wie sonst das δὲ ἀποδοτική. S. z. VIII 22. Wie hier auch unt. c. 48.

ὑμέων ὅσοι τυγχάνουσι εὖνοοι ἐόντες Πέρσῃσι, ἥδεσθε τοῦδε εἵνεκεν, ὡς περιεσομένους ἡμέας Ἑλλήνων. Ταῦτά σφι εἴπας δεύτερα ἐσήμηνε παραρτέεσθαί τε πάντα καὶ εὐκρινέα ποιέεσθαι ὡς ἅμα ἡμέρῃ τῇ ἐπιούσῃ συμβολῆς ἐσομένης. Τοῦτον 43
δ' ἔγωγε τὸν χρησμὸν, τὸν Μαρδόνιος εἶπε ἐς Πέρσας ἔχειν, ἐς Ἰλλυριούς τε καὶ τὸν Ἐγχέλεων στρατὸν οἶδα πεποιημένον, ἀλλ' οὐκ ἐς Πέρσας. ἀλλὰ τὰ μὲν Βάκιδί ἐστι ἐς ταύτην τὴν μάχην πεποιημένα,

Τὴν δ' ἐπὶ Θερμώδοντι καὶ Ἀσωπῷ λεχεποίῃ
Ἑλλήνων σύνοδον καὶ βαρβαρόφωνον ἰϋγὴν,
Τῇ πολλοὶ πεσέονται ὑπὲρ Λάχεσίν τε μόρον τε
Τοξοφόρων Μήδων, ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ.

ταῦτα μὲν καὶ παραπλήσια τούτοισι ἄλλα Μουσαίῳ ἔχοντα οἶδα ἐς Πέρσας. ὁ δὲ Θερμώδων ποταμὸς ῥέει μεταξὺ Τανάγρης τε καὶ Γλίσαντος. Μετὰ δὲ τὴν ἐπειρώτησιν τῶν χρη- 44
σμῶν καὶ παραίνεσιν τὴν ἐκ Μαρδονίου νύξ τε ἐγίνετο καὶ ἐς

2. ὡς περιεσομένους ἡμέας. Ein sogen. Accusativus absolutus, der hier gewählt scheint wegen der nahe liegenden Beziehung auf ein verbum sentiendi (ἥδεσθε ὡς = ἥδεσθε ἡγούμενοι ἡμέας περιέσεσθαι), welches man um so leichter zu ἥδεσθε ergänzt als der Begriff eines solchen Verbs auch durch ὡς angeregt wird. Ueber die Bedeutung von ὡς, welches im Folg. (ὡς συμβολῆς ἐσομένης) in demselben Sinne gebraucht ist, s. z. VIII 144.

3. παραρτέεσθαι = παρασκευάζεσθαι wie c. 29.

43. 5. ἔχειν ἐς = φέρειν ἐς. Vgl. c. 33 μαντήιον ἐς γυμνικοὺς ἀγῶνας φέρον. Wie hier VI 19 χρηστήριον ἐς Ἀργείους ἔχον.

6. Ἐγχέλεων. „Die Enchelier, ein Volk Illyriens, kommen fast nur in den Kadmeer-Mythen vor. Nach der Sage wanderte der altthebanische Heros Kadmos mit seiner Gattin Harmonia nach Illyrien zu den Encheliern; eben dorthin wandten sich die von den Epigonen besiegten Kadmeer. An diese mythische Uebersiedelung der Urahnen Thebens nach Illyrien konnte sich leicht die Vorstellung eines als Rückwirkung von dorther zu erwartenden Enchelierzugs nach Theben anknüpfen.“ Vgl. V 61.

7. τὰ μὲν (= ἃ μέν) entspricht im Folgenden dem ταῦτα μέν (13).

Βάκιδι. Ueber Bakis s. z. VIII 20.

9. τὴν — σύνοδον. Die Accusative hängen von einem vorangegangenen Verbum ab, welches sich nicht näher bestimmen lässt.

11. ὑπὲρ — μόρον eig. „über das Schicksal hinaus“ d. h. mehr als das Schicksal anfänglich bestimmte.

13. Μουσαίῳ. S. z. VIII 20.

14. Θερμώδων. Er entsprang auf dem Hypatos (j. Siamata), an dessen Abhang das im Folg. erwähnte, etwa 2 Meilen nordöstlich von Theben gelegene Glisas lag, welches schon Homer kennt (Il. II 504). — Ein anderer Thermodon ist c. 27 erwähnt.

Der Makedoner Alexander im Lager der Hellenen. Athener und Spartaner wechseln die Standplätze. Rückkehr zur ursprünglichen Stellung. Hohn des Mardonios. Die Hellenen, von Mardonios bedrängt, beschlieszen eine neue Aufstellung. Nächtlicher Abzug. Streit des Pausanias und Amompharetos (c. 44—57).

φυλακὰς ἐτάσσοντο. ὡς δὲ πρόσω τῆς νυκτὸς προελήλατο, καὶ ἡσυχίη ἐδόκεε εἶναι ἀνὰ τὰ στρατόπεδα καὶ μάλιστα οἱ ἄνθρωποι εἶναι ἐν ὕπνῳ, τηνικαῦτα προσελάσας ἵππῳ πρὸς τὰς φυλακὰς τὰς Ἀθηναίων Ἀλέξανδρος ὁ Ἀμύντεω, στρατηγός τε ἐὼν καὶ βασιλεὺς Μακεδόνων, ἐδίζητο τοῖσι στρατηγοῖσι ἐς λόγους ἐλθεῖν. τῶν δὲ φυλάκων οἱ μὲν πλεῦνες παρέμενον, οἱ δ᾽ ἔθεον ἐπὶ τοὺς στρατηγούς, ἐλθόντες δὲ ἔλεγον, ὡς ἄνθρωπος ἥκοι ἐπ᾽ ἵππου ἐκ τοῦ στρατοπέδου τοῦ Μήδων, ὃς ἄλλο μὲν οὐδὲν παραγυμνοῖ ἔπος, στρατηγοὺς δὲ οὐνομάζων
45 ἐθέλειν φησὶ ἐς λόγους ἐλθεῖν. Οἱ δὲ ἐπεὶ ταῦτα ἤκουσαν, αὐτίκα εἵποντο ἐς τὰς φυλακάς. ἀπικομένοισι δὲ ἔλεγε Ἀλέξανδρος τάδε· Ἄνδρες Ἀθηναῖοι, παραθήκην ὑμῖν τὰ ἔπεα τάδε τίθεμαι, ἀπόρρητα ποιεύμενος πρὸς μηδένα λέγειν ὑμέας ἄλλον ἢ Παυσανίην, μή με καὶ διαφθείρητε· οὐ γὰρ ἂν ἔλεγον, εἰ μὴ μεγάλως ἐκηδόμην συναπάσης τῆς Ἑλλάδος. αὐτός τε γὰρ Ἕλλην γένος εἰμὶ τὠρχαῖον, καὶ ἀντ᾽ ἐλευθέρης δεδουλωμένην οὐκ ἂν ἐθέλοιμι ὁρᾶν τὴν Ἑλλάδα. λέγω δὲ ὦν ὅτι Μαρδονίῳ τε καὶ τῇ στρατιῇ τὰ σφάγια οὐ δύναται καταθύμια γενέσθαι· πάλαι γὰρ ἂν ἐμάχεσθε· νῦν δέ οἱ δέδοκται τὰ μὲν σφάγια ἐᾶν χαίρειν, ἅμα ἡμέρῃ δὲ διαφωσκούσῃ συμβολὴν ποιέεσθαι. καταρρώδηκε γὰρ μὴ πλεῦνες συλλεχθῆτε, ὡς ἐγὼ εἰκάζω. πρὸς ταῦτα ἑτοιμάζεσθε. ἢν δὲ ἄρα ὑπερβάληται τὴν

44. 1. *προελήλατο* ist unpersönlich zu fassen. Zum Ausdruck vgl. Sal. Iug. c. 21 ubi plerumque noctis processit, invadunt milites Iugurthini castra hostium. Bei Her. vgl. II 121, 4 ὡς πρόσω ἦν τῆς νυκτός.

4. *Ἀλέξανδρος*. Ueber Alexander von Makedonien s. z. VIII 121. — Ueber die Aufstellung der Makedoner im persischen Heere vgl. c. 31.

9. *παραγυμνοῦν* steht in gleicher Bedeutung VIII 19.

45. 12. *παραθήκην* als Unterpfand d. h. als Beweis meiner Treue und Besorgnis um euch. παραθήκη auch VI 73.

13. *ἀπόρρητα ποιεύμενος* = ἀπαγορεύων. Dieselbe Umschreibung noch unt. c. 94. In gleichem Sinne gebraucht Xen. Anab. VII 6, 43 ἐν ἀπορρήτῳ ποιεῖσθαί τι eig. aus etwas ein Geheimnis machen, dann = verbieten (etwas weiter zu sagen).

πρὸς μηδένα. μηδείς nach einem Verb (ἀπόρρητα ποιεῖσθαι), dessen Begriff eine Verneinung enthält. S. z. VIII 111.

14. *οὐ γὰρ ἂν ἔλεγον.* γάρ begründet παραθήκην (s. o.).

16. *Ἕλλην γένος.* Vgl. V 22 Ἀλέξανδρος δὲ ἐπειδὴ ἀπέδεξε ὡς εἴη Ἀργεῖος, ἐκρίθη εἶναι Ἕλλην. S. z. d. Stelle.

τὠρχαῖον. Dieselbe Krasis wie in τὠληθές, τὠπό. Wie hier I 173. Vgl. τὸ παλαιόν, τὸ νῦν, τὸ λοιπόν.

18. *καταθύμια.* Das Adjectiv καταθύμιος bei Herodot nur hier und V 39.

20. *ἐᾶν χαίρειν.* S. z. c. 41.

ἅμα ἡμέρῃ διαφωσκούσῃ wie III 86.

συμβαλὴν Μαρδόνιος καὶ μὴ ποιέηται, λιπαρέετε μένοντες· ὀλίγων γάρ σφι ἡμερέων λείπεται σιτία. ἢν δὲ ὑμῖν ὁ πόλεμος ὅδε κατὰ νόον τελευτήσῃ, μνησθῆναί τινα χρὴ καὶ ἐμεῦ ἐλευθερώσιος πέρι, ὃς Ἑλλήνων εἵνεκεν οὕτω ἔργον παράβολον ἔργασμαι ὑπὸ προθυμίης, ἐθέλων ὑμῖν δηλῶσαι τὴν διάνοιαν τὴν Μαρδονίου, ἵνα μὴ ἐπιπέσωσι ὑμῖν [ἐξαίφνης] οἱ βάρβαροι μὴ προσδεκομένοισί κω. εἰμὶ δὲ Ἀλέξανδρος ὁ Μακεδών. Ὁ μὲν ταῦτα εἴπας ἀπήλαυνε ὀπίσω ἐς τὸ στρατόπεδον καὶ τὴν ἑωυτοῦ τάξιν, οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων ἐλθόντες ἐπὶ τὸ 46
δεξιὸν κέρας ἔλεγον Παυσανίῃ τάπερ ἤκουσαν Ἀλεξάνδρου. ὁ δὲ τούτῳ τῷ λόγῳ καταρρωδήσας τοὺς Πέρσας ἔλεγε τάδε· Ἐπεὶ τοίνυν ἐς ἠῶ ἡ συμβολὴ γίνεται, ὑμέας μὲν χρεών ἐστι τοὺς Ἀθηναίους στῆναι κατὰ τοὺς Πέρσας, ἡμέας δὲ κατὰ τοὺς Βοιωτούς τε καὶ τοὺς κατ' ὑμέας τεταγμένους Ἑλλήνων, τῶνδε εἵνεκεν· ὑμεῖς ἐπίστασθε τοὺς Μήδους καὶ τὴν μάχην αὐτῶν ἐν Μαραθῶνι μαχεσάμενοι, ἡμεῖς δὲ ἄπειροί τέ εἰμεν καὶ ἀδαέες τούτων τῶν ἀνδρῶν· Σπαρτιητέων γὰρ οὐδεὶς πεπείρηται Μήδων. ἡμεῖς δὲ Βοιωτῶν καὶ Θεσσαλῶν ἔμπειροί εἰμεν. ἀλλ' ἀναλαβόντας τὰ ὅπλα χρεών ἐστι ἰέναι ὑμέας μὲν ἐς τόδε τὸ κέρας, ἡμέας δὲ ἐς τὸ εὐώνυμον. Πρὸς δὲ ταῦτα εἶπαν οἱ Ἀθηναῖοι τάδε· Καὶ αὐτοῖσι ἡμῖν πάλαι ἀπ' ἀρχῆς, ἐπείτε εἴδομεν κατ' ὑμέας τασσομένους τοὺς Πέρσας, ἐν νόῳ ἐγένετο εἰπεῖν ταῦτα, τάπερ ὑμεῖς φθάντες προφέρετε· ἀλλὰ γὰρ ἀρρωδέομεν μὴ ὑμῖν οὐκ ἡδέες γένωνται οἱ λόγοι. ἐπεὶ δ' ὦν αὐτοὶ ἐμνήσθητε, καὶ ἡδομένοισι ἡμῖν οἱ λόγοι γεγόνασι καὶ

3. *τινά.* S. z. VIII 109. | *ἐμεῦ ἐλευθερώσιος πέρι.* Sein Land seufzte unter dem Druck der persischen Fremdherschaft.

4. *οὕτω ἔργον παράβολον.* Zur Stellung von *οὕτω* vgl. VII 46 *ἐν γὰρ οὕτω βραχεῖ βίῳ οὐδεὶς οὕτω ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκε τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐκ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζώειν.*

46. 12. *ἐς ἠῶ. ἐς* in temporaler Bedeutung bezeichnet eigentlich die Grenzbestimmung, bis zu welcher eine Handlung stattgefunden haben muss (= bis), bezeichnet dann aber auch den Zeitpunkt selbst (= an, zu). Vgl. I 77 *ἔπεμπε κήρυκας προερέονται ἐς πεμπτὸν μῆνα συλλέγεσθαι.* Vgl. unten c. 52 *ἐς τὴν συνεκέετό σφι ἀπαλλάσσεσθαι.*

13. *κατά* steht in gleicher Bedeutung auch c. 31.

15. *μάχη* Kampfesart auch V 49.

17. *Σπαρτιητέων οὐδείς,* denn von den Spartiaten, welche bei Thermopylae gekämpft, war niemand mehr am Leben auszer dem einzigen Aristodemos, welcher die Schlacht selbst nicht mitgemacht hatte. Vgl. VII 219. IX 71.

19. *ἀλλά χρεών ἐστι ἰέναι.* Ueber den Gebrauch von *ἀλλά* s. z. VIII 62.

23. *ἀλλὰ γάρ.* Ueber das elliptische *ἀλλὰ γάρ* s. z. VIII 8.

25. *ἡδομένοισι ἡμῖν — γεγόνασι.* Ueber *ἡδομένοισι* s. z. VIII 10.

47 ἑτοῖμοί εἰμεν ποιέειν ταῦτα. Ὡς δ' ἤρεσκε ἀμφοτέροισι ταῦτα,
ἠώς τε διέφαινε καὶ διαλλάσσοντο τὰς τάξις. γνόντες δὲ οἱ
Βοιωτοὶ τὸ ποιεύμενον ἐξαγορεύουσι Μαρδονίῳ. ὁ δ' ἐπείτε
ἤκουσε, αὐτίκα μετιστάναι καὶ αὐτὸς ἐπειρᾶτο παράγων τοὺς
Πέρσας κατὰ τοὺς Λακεδαιμονίους. ὡς δὲ ἔμαθε τοῦτο τοι-
οῦτο γενόμενον ὁ Παυσανίης, γνοὺς ὅτι οὐ λανθάνει, ὀπίσω
ἦγε τοὺς Σπαρτιήτας ἐπὶ τὸ δεξιὸν κέρας· ὡς δ' αὔτως καὶ
48 ὁ Μαρδόνιος ἐπὶ τοῦ εὐωνύμου. Ἐπεὶ δὲ κατέστησαν ἐς τὰς
ἀρχαίας τάξις, πέμψας ὁ Μαρδόνιος κήρυκα ἐς τοὺς Σπαρτιή-
τας, ἔλεγε τάδε· Ὦ Λακεδαιμόνιοι, ὑμεῖς δὴ λέγεσθε εἶναι
ἄνδρες ἄριστοι ὑπὸ τῶν τῇδε ἀνθρώπων, ἐκπαγλεομένων ὡς
οὔτε φεύγετε ἐκ πολέμου οὔτε τάξιν ἐκλείπετε, μένοντές τε ἢ
ἀπόλλυτε τοὺς ἐναντίους ἢ αὐτοὶ ἀπόλλυσθε. τῶν δ' ἄρ' ἦν
οὐδὲν ἀληθές. πρὶν γὰρ ἢ συμμῖξαι ἡμέας ἐς χειρῶν τε νόμον
ἀπικέσθαι, καὶ δὴ φεύγοντας καὶ τάξιν ἐκλείποντας ὑμέας εἴ-
δομεν, ἐν Ἀθηναίοισί τε τὴν πρόπειραν ποιευμένους αὐτούς
τε ἀντία δούλων τῶν ἡμετέρων τασσομένους. ταῦτα οὐδαμῶς
ἀνδρῶν ἀγαθῶν ἔργα. ἀλλὰ πλεῖστον δὴ ἐν ὑμῖν ἐψεύσθημεν.
προσδεκόμενοι γὰρ κατὰ κλέος ὡς δὴ πέμψετε ἐς ἡμέας κήρυκα
προκαλεόμενοι καὶ βουλόμενοι μούνοισι Πέρσῃσι μάχεσθαι,
ἄρτιοι ἐόντες ποιέειν ταῦτα οὐδὲν τοιοῦτο λέγοντας ὑμέας εὕ-
ρομεν, ἀλλὰ πτώσσοντας μᾶλλον. νῦν ὦν ἐπειδὴ οὐκ ὑμεῖς
ἤρξατε τούτου τοῦ λόγου, ἀλλ' ἡμεῖς ἄρχομεν. τί δὴ οὐ πρὸ

47. 2. *ἠώς τε διέφαινε καί.* Parataxis. Vgl. VII 12 *μετὰ δὲ εὐφρόνη τε ἐγένετο καὶ Ξέρξην ἔκνιζε ἡ Ἀρταβάνου γνώμη.* Ebenso VII 217.

7. *ὡς δ' αὔτως καὶ ὁ Μαρδόνιος* (erg. *ἦγε τοὺς Πέρσας*) *ἐπὶ τοῦ εὐωνύμου* (= in der Richtung nach dem linken Flügel zu). *ἐπί* c. gen. in der Auffassung verschieden von *ἐπί* c. accus. (*ἦγε τοὺς Σπαρτιήτας ἐπὶ τὸ δεξιὸν κέρας*).

48. 11. *ἐκπαγλεομένων ὡς οὔτε φεύγετε.* Zur Sache vgl. die Worte des Demarat VII 101—104.

13. *ἄρα* steht hier in gleicher Bedeutung wie VIII 57. S. z. VIII 8.

14. *ἐς χειρῶν νόμον.* S. z. VIII 89.

16. *ἐν Ἀθηναίοισι — πρ. ποιεύμενος.* Zum Gebrauch von *ἐν* in Verbindung mit den Ausdrücken des Versuchens vgl. Xen. Anab. V 8, 7 *ἐν ἐμαυτῷ οὖν πεῖραν λαβών* „nachdem ich mit (od. an) mir selbst den Versuch angestellt hatte".

19. *κατά* causal wie ob. c. 38.

23. *ἀλλ'.* Ueber den Gebrauch von *ἀλλά* s. z. c. 42.

τὶ δὴ οὐ — ἐμαχεσάμεθα. *τί δή* findet sich häufig so verbunden bei einem lebhaften Uebergang zu einer Schlussfolgerung (vgl. VI 138. VII 56. 135), welche durch die Fragform *τί οὐ* eingeleitet, zugleich eine dringende Aufforderung enthält. Der Aoristus wird in solchen unwilligen und vorwurfsvollen Fragen gesetzt, um die Handlung als eine solche zu bezeichnen, die schon längst hätte geschehen müssen.

μὲν τῶν Ἑλλήνων ὑμεῖς, ἐπείτε δεδόξωσθε εἶναι ἄριστοι, πρὸ
δὲ τῶν βαρβάρων ἡμεῖς, ἴσοι πρὸς ἴσους ἀριθμὸν ἐμαχεσά-
μεθα; καὶ ἢν μὲν δοκέῃ καὶ τοὺς ἄλλους μάχεσθαι, οἱ δ' ὦν
μετέπειτεν μαχέσθων ὕστεροι· εἰ δὲ καὶ μὴ δοκέοι, ἀλλ' ἡμέας
μούνους ἀποχρᾶν, ἡμεῖς δὲ διαμαχεσόμεθα· ὁκότεροι δ' ἂν
ἡμέων νικήσωσι, τούτους τῷ ἅπαντι στρατοπέδῳ νικᾶν. Ὁ 49
μὲν ταῦτα εἴπας τε καὶ ἐπισχὼν χρόνον, ὥς οἱ οὐδὲν ὑπεκρί-
νετο, ἀπαλλάσσετο ὀπίσω, ἀπελθὼν δὲ ἐσήμαινε Μαρδονίῳ τὰ
καταλαβόντα. ὁ δὲ περιχαρὴς γενόμενος καὶ ἐπαερθεὶς ψυχρῇ
νίκῃ ἐπῆκε τὴν ἵππον ἐπὶ τοὺς Ἕλληνας. ὡς δὲ ἐπήλασαν οἱ
ἱππόται, ἐσίνοντο πᾶσαν τὴν στρατιὴν τὴν Ἑλληνικὴν ἐσακον-
τίζοντές τε καὶ ἐστοξεύοντες ὥστε ἱπποτοξόται τε ἐόντες καὶ
προσφέρεσθαι ἄποροι. τήν τε κρήνην τὴν Γαργαφίην, ἀπ'
ἧς ὑδρεύετο πᾶν τὸ στράτευμα τὸ Ἑλληνικὸν, συνετάραξαν
καὶ συνέχωσαν. ἦσαν μὲν ὦν κατὰ τὴν κρήνην Λακεδαιμόνιοι
τεταγμένοι μοῦνοι, τοῖσι δὲ ἄλλοισι Ἕλλησι ἡ μὲν κρήνη πρό-
σω ἐγίνετο, ὡς ἕκαστοι ἔτυχον τεταγμένοι, ὁ δὲ Ἀσωπὸς ἀγχοῦ·
ἐρυκόμενοι δὲ ἀπὸ τοῦ Ἀσωποῦ οὕτω δὴ ἐπὶ τὴν κρήνην ἐφοί-
τεον· ἀπὸ τοῦ ποταμοῦ γάρ σφι οὐκ ἐξῆν ὕδωρ φορέεσθαι ὑπό
τε τῶν ἱππέων καὶ τοξευμάτων.

Τούτου δὲ τοιούτου γινομένου οἱ τῶν Ἑλλήνων στρατη- 50
γοὶ, ἅτε τοῦ τε ὕδατος στερηθείσης τῆς στρατιῆς καὶ ὑπὸ τῆς
ἵππου ταρασσομένης, συνελέχθησαν περὶ αὐτῶν τε τούτων καὶ
ἄλλων, ἐλθόντες παρὰ Πανσανίην ἐπὶ τὸ δεξιὸν κέρας. ἄλλα
γὰρ τούτων τοιούτων ἐόντων μᾶλλόν σφεας ἐλύπεε· οὔτε γὰρ
σιτία εἶχον ἔτι, οἵ τέ σφεων ὀπέονες ἀποπεμφθέντες ἐς Πελο-
πόννησον ὡς ἐπισιτιεύμενοι ἀποκεκλέατο ὑπὸ τῆς ἵππου, οὐ
δυνάμενοι ἀπικέσθαι ἐς τὸ στρατόπεδον. Βουλευομένοισι δὲ 51

2. *ἴσοι πρὸς ἴσους.* Vgl. Soph. Antig. 140 ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις ταχθέντες ἴσοι πρὸς ἴσους ἔλιπον Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη.

3. *οἱ δέ.* Ueber δέ in apodosi s. z. VIII 22. — *ὦν*, also, weist auf das Vorhergehende (τοὺς ἄλλους) zurück.

6. *νικᾶν* erg. λέγομεν. S. z. c. 41.

49. 7. *χρόνον* aliquamdiu. Vgl. I 175.

8. *τὰ καταλαβόντα*, τά μιν κατέλαβε. Ueber die Bedeutung von καταλαμβάνειν τινά s. z. VIII 6.

9. *ψυχρός* heiszt in übertragener Bedeutung eitel, nichtig. Vgl. VI 108 καὶ ὑμῖν τοιήδε τις γίνοιτ' ἂν ἐπικουρίη ψυχρή.

13. *προσφέρεσθαι ἄποροι.* Vgl. IV 46 (οἱ Σκύθαι) ἄμαχοι καὶ ἄπορα προσμίσγειν.

Γαργαφίην. S. z. c. 25.

50. 21. *τούτου — γινομένου.* Dieselbe Wendung V 114.

25. *οὔτε — τέ.* S. z. VIII 26.

τοῖσι στρατηγοῖσι ἔδοξε, ἢν ὑπερβάλωνται ἐκείνην τὴν ἡμέρην οἱ Πέρσαι συμβολὴν μὴ ποιεύμενοι, ἐς τὴν νῆσον ἰέναι. ἡ δέ ἐστι ἀπὸ τοῦ Ἀσωποῦ καὶ τῆς κρήνης τῆς Γαργαφίης, ἐπ' ᾗ ἐστρατοπεδεύοντο τότε, δέκα σταδίους ἀπέχουσα, πρὸ τῆς Πλαταιέων πόλιος. νῆσος δὲ οὕτω ἂν εἴη ἐν ἠπείρῳ· σχιζόμενος ὁ ποταμὸς ἄνωθεν ἐκ τοῦ Κιθαιρῶνος ῥέει κάτω ἐς τὸ πεδίον, διέχων ἀπ' ἀλλήλων τὰ ῥέεθρα ὅσονπερ τρία στάδια, καὶ ἔπειτεν συμμίσγει ἐς τὠυτό· οὔνομα δέ οἱ Ὠερόη. θυγατέρα δὲ ταύτην λέγουσι εἶναι Ἀσωποῦ οἱ ἐπιχώριοι. ἐς τοῦτον δὴ τὸν χῶρον ἐβουλεύσαντο μεταναστῆναι, ἵνα καὶ ὕδατι ἔχωσι χρᾶσθαι ἀφθόνῳ, καὶ οἱ ἱππέες σφέας μὴ σινοίατο, ὥσπερ κατιθὺ ἐόντων. μετακινέεσθαί τε ἐδόκεε τότε, ἐπεὰν τῆς νυκτὸς

51. 1. ἢν ὑπερβάλωνται — μὴ ποιεύμενοι „wenn sie diesen Tag hingehen lieszen, ohne eine Schlacht zu liefern".

2. τὴν νῆσον. Der Artikel, weil die (im Folg. näher beschriebene) Flussinsel der Oeroë bei den Eingeborenen νῆσος hiesz. Heute ist eine solche in dieser Gegend nicht mehr nachweisbar, vermutlich, weil die Quellbäche, welche noch heute von den nordöstlichen Ausläufern des Kithaeron, an die sich Plataeae lehnte, herabkommen und darauf sich vereinigend ein Flüsschen bilden (die alte Oeroë), ihren Lauf verändert haben. In früherer Zeit werden die jetzt getrennt flieszenden Bäche oben im Kithaerongebirge ein einziges Gewässer gebildet haben, welches sich beim Eintritt in die Ebene in zwei Arme teilte, die sich später wieder vereinigten und so zwischen sich ein Flusseiland einschlossen.

5. οὕτω gegen die Regel auf das Folgende bezogen, wo wir ὧδε erwarteten. Wie hier VII 175.

σχιζόμενος ὁ ποταμός. Gemeint ist die Oeroë (s. u. 8).

7. ὅσονπερ τρία στάδια erg. ἐστι „ebenso viel wie drei Stadien ausmachen".

8. συμμίσγει erg. τὰ ῥέεθρα. Vgl. VII 125 πέντε ποταμοὶ προσυμμίσγοντες τὸ ὕδωρ πάντες ἐς τὠυτό.

θυγατέρα — Ἀσώπου. Nach griechischer Vorstellung war der Hauptfluss eines Landes der Vater aller übrigen Gewässer der Gegend und demgemäsz heiszt hier der Asopus der Vater der Flussnymphe Oeroë. — Ueber den Lauf der Oeroë vgl. Pausan. IX 4 § 3 ἐκ Πλαταίας δὲ ἰοῦσιν ἐς Θήβας ποταμός ἐστιν Ὠερόη. Die Oeroë floss wenig nördlich von Plataeae in südwestlicher Richtung und ergoss sich in eine Bucht des halkyonischen Busens; heute verläuft sich das träge dahinflieszende Gewässer unweit der Küste im Steingeröll. — In gerade entgegengesetzter Richtung (von Norden nach Osten) flieszt der Asopos, der wenig südwestlich von Plataeae in der Ebene entspringt und in den Euripos unweit Delphinion, dem Hafenort von Oropus, mündet.

10. ἵνα — ἔχωσι — σινοίατο. Derselbe Moduswechsel im Finalsatze VIII 76.

11. ὥσπερ κατιθὺ ἐόντων. Erkläre: ὥσπερ σφέας ἐσίναντο κατιθὺ ἐόντας τοῖσι ἱππεῦσι. Der Genetivus absolutus ist gewählt, um die Bestimmung der Zeit schärfer hervortreten zu lassen; zu ἐόντων ist hier wie oft der entsprechende Subjectsgenetiv zu ergänzen. Ganz wie hier c. 58.

ἡ δευτέρη φυλακή, ὡς ἂν μὴ ἰδοίατο οἱ Πέρσαι ἐξορμεομένους
καί σφεας ἑπόμενοι ταράσσοιεν οἱ ἱππόται. ἀπικομένων δὲ ἐς
τὸν χῶρον τοῦτον, τὸν δὴ ἡ Ἀσωπὶς Ὠερόη περισχίζεται ῥέουσα
ἐκ τοῦ Κιθαιρῶνος, ὑπὸ τὴν νύκτα ταύτην ἐδόκεε τοὺς ἡμίσεας
ἀποστέλλειν τοῦ στρατοπέδου πρὸς τὸν Κιθαιρῶνα, ὡς ἀναλά-
βοιεν τοὺς ὀπέονας τοὺς ἐπὶ τὰ σιτία οἰχομένους· ἦσαν γὰρ
ἐν τῷ Κιθαιρῶνι ἀπολελαμμένοι. Ταῦτα βουλευσάμενοι ἐκεί- 52
νην μὲν τὴν ἡμέρην πᾶσαν προσκειμένης τῆς ἵππου εἶχον πό-
νον ἄτρυτον. ὡς δὲ ἥ τε ἡμέρη ἔληγε καὶ οἱ ἱππέες ἐπέπαυντο,
νυκτὸς δὴ γινομένης καὶ ἐούσης τῆς ὥρης ἐς τὴν δὴ συνεκέετό
σφι ἀπαλλάσσεσθαι, ἐνθαῦτα ἀερθέντες οἱ πολλοὶ ἀπαλλάσσοντο,
ἐς μὲν τὸν χῶρον ἐς τὸν συνεκέετο οὐκ ἐν νόῳ ἔχοντες, οἱ δὲ
ὡς ἐκινήθησαν, ἔφευγον ἄσμενοι τὴν ἵππον πρὸς τὴν Πλαταιέ-
ων πόλιν, φεύγοντες δὲ ἀπικνέονται ἐπὶ τὸ Ἡραῖον. τὸ δὲ πρὸ
τῆς πόλιός ἐστι τῆς Πλαταιέων, εἴκοσι σταδίους ἀπὸ τῆς κρή-
νης τῆς Γαργαφίης ἀπέχον. ἀπικόμενοι δὲ ἔθεντο πρὸ τοῦ
ἱροῦ τὰ ὅπλα. Καὶ οἱ μὲν περὶ τὸ Ἡραῖον ἐστρατοπεδεύοντο, 53
Πανσανίης δὲ ὁρέων σφέας ἀπαλλασσομένους ἐκ τοῦ στρατο-
πέδου παρήγγελλε καὶ τοῖσι Λακεδαιμονίοισι ἀναλαβόντας τὰ
ὅπλα ἰέναι κατὰ τοὺς ἄλλους τοὺς προϊόντας, νομίσας αὐτοὺς

1. δευτέρη φυλακή. Die erste Nachtwache umfasste die Zeit vom Eintritt der Dunkelheit bis zur Mitternacht, die zweite dauerte von da bis zum Anbruch der Morgenröte, die dritte reichte bis zum Eintritt des hellen Tages.

ὡς ἄν. S. z. VIII 7.

3. τὸν — περισχίζεται. Der Accus. mit περισχίζεσθαι verbunden wie IV 180 mit περιάγειν (λίμνην) und VII 214 mit περιηγεῖσθαι (τὸ οὖρος).

4. ὑπό c. Acc. hat hier zeitliche Bedeutung (= während). Wie hier c. 58. Ueber die Grundbedeutung von ὑπό cum accus. s. z. VIII 92.

6. τοὺς ἐπὶ τὰ σιτία οἰχομένους. Ueber ἐπί c. acc. s. z. VIII 64.

7. ἀπολελαμμένοι intercepti. Zur Sache vgl. c. 50. Ueber die Bedeutung und (unattische) Form s. z. VIII 11.

52. 8. πόνον ἄτρυτον. ἄτρυτος ist ein dichterischer Ausdruck. Vgl. Pind. Pyth. IV 178 πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυτον πόνον.

10. ἐς τήν. Ueber ἐς s. z. c. 46.

συνεκέετό σφι. Dafür steht c. 53 in gleichem Sinne συνεθήκαντο.

11. ἀερθέντες castris motis. Häufig so von der die Anker lichtenden Flotte. Vgl. I 170 κοινῷ στόλῳ ἀερθέντες ἔπλεον ἐς Σαρδώ.

12. ἐς τὸν χῶρον. Gemeint ist die Flussinsel der Oeroë.

οὐκ ἐν νόῳ ἔχοντες sc. ἀπαλλάσσεσθαι.

οἱ δέ. S. z. VIII 40.

14. Ἡραῖον. Die Lage dieses Heraheiligtums läszt sich nicht genau bestimmen. Vgl. c. 61.

15. εἴκοσι σταδίους, also noch einmal so weit als die Oeroëinsel vom Gargaphiaquell entfernt war.

16. ἔθεντο — τὰ ὅπλα, um sich zu lagern.

53. 20. κατὰ τοὺς ἄλλους „den anderen nach" d.h. hinter ihnen her.

ἐς τὸν χῶρον ἰέναι, ἐς τὸν συνεθήκαντο. ἐνθαῦτα οἱ μὲν ἄλλοι ἄρτιοι ἦσαν τῶν ταξιαρχέων πείθεσθαι Παυσανίῃ, Ἀμομφάρετος δὲ ὁ Πολιάδεω λοχηγέων τοῦ Πιτανητέων λόχου οὐκ ἔφη τοὺς ξείνους φεύξεσθαι οὐδὲ ἑκὼν εἶναι αἰσχυνέειν τὴν Σπάρτην, ἐθώμαζέ τε ὁρέων τὸ ποιεύμενον ἅτε οὐ παραγενόμενος τῷ προτέρῳ λόγῳ. ὁ δὲ Παυσανίης τε καὶ ὁ Εὐρυάναξ δεινὸν μὲν ἐποιεῦντο τὸ μὴ πείθεσθαι ἐκεῖνον σφίσι, δεινότερον δὲ ἔτι, ἐκείνου ταῦτα νενωμένου, ἀπολιπεῖν τὸν λόχον τὸν Πιτανήτην, μὴ ἢν ἀπολίπωσι ποιεῦντες τὰ συνεθήκαντο τοῖσι ἄλλοισι Ἕλλησι, ἀπόληται ὑπολειφθεὶς αὐτός τε Ἀμομφάρετος καὶ οἱ μετ᾽ αὐτοῦ. Ταῦτα λογιζόμενοι ἀτρέμας εἶχον τὸ στρατόπεδον τὸ Λακωνικόν, καὶ ἐπειρέοντο πείθοντές μιν ὡς οὐ
54 χρεὼν εἴη ταῦτα ποιέειν. Καὶ οἱ μὲν παρηγορέοντο Ἀμομφάρετον μοῦνον Λακεδαιμονίων τε καὶ Τεγεητέων λελειμμένον, Ἀθηναῖοι δὲ ἐποίευν τοιάδε· εἶχον ἀτρέμας σφέας αὐτοὺς ἵνα ἐτάχθησαν, ἐπιστάμενοι τὰ Λακεδαιμονίων φρονήματα ὡς ἄλλα φρονεόντων καὶ ἄλλα λεγόντων. ὡς δὲ ἐκινήθη τὸ στρατόπε-

Zur Bedeutung von *κατά* vgl. III 4 *μεταδιώκει δὲ τῶν εὐνούχων τὸν πιστότατον ἀποστείλας τριήρεϊ κατ᾽ αὐτόν*. Vgl. auch unt. c. 59 *κατὰ στίβον τῶν Ἑλλήνων*.

3. *τοῦ Πιτανητέων λόχου.* Amompharetos befehligte die Heeresabteilung der Pitanaten. Pitana war eine der 5 *κῶμαι* „Landgemeinden", aus denen die Stadt Sparta bestand. (Vgl. III 55.) Danach war das ganze spartanische Heer wahrscheinlich aus 5 grösseren Truppenabteilungen (= *λόχοι*) zusammengesetzt. — Thukydides und ihm folgend einige Schriftsteller der späteren Zeit scheinen unter dem *λόχος Πιτανάτης* ein besonders organisiertes Corps, eine Elite des Heeres, verstanden zu haben (etwa wie die 300 *ἱππεῖς*, welche die Leibwache der Könige bildeten, eine solche unter der Reiterei war); nur so erklärt sich Thukydides Behauptung, es habe nie einen Pitanatenlochos gegeben (Thuk. I 20 *οὐκ ὀρθῶς οἴονται τὸν Πιτανάτην λόχον τοῖς Λακεδαιμονίοις εἶναι, ὃς οὐδ᾽ ἐγένετο πώποτε*). Dass eine derartige, von Thukydides bekämpfte Vorstellung über den Pitanatenlochos, welche indes in Herodots Worten nicht die mindeste Stütze findet, im Altertum existiert haben muss, geht auch aus Herodian IV, 8 hervor, wo erzählt wird, dasz Kaiser Caracalla eine Heeresabteilung nach dem Muster des spartanischen *Πιτανάτης λόχος* formiert habe.

οὐκ ἔφη. S. z. VIII 2.

4. *τοὺς ξείνους.* S. z. c. 11.

ἑκὼν εἶναι. S. z. VIII 116.

6. *Εὐρυάναξ.* Vgl. c. 10.

7. *δεινὸν ἐποιεῦντο.* S. z. VIII 15.

8. *νενωμένου.* Ueber die Form s. z. VIII 92.

9. *μή*, weil in der Verbindung *δεινότερον ἐποιεῦντο* der Begriff der Furcht enthalten liegt.

11. *ἀτρέμας εἶχον.* S. z. VIII 14.

12. *ἐπειρέοντο πείθοντες.* *πειρᾶσθαι* mit Particip wie c. 33.

54. 16. *ὡς ἄλλα φρονεόντων καὶ ἄλλα λεγόντων.* Treulosigkeit und Falschheit wurde den Lakedaemoniern von den Athenern öfter zum Vorwurf gemacht. Man vgl. besonders Eurip. Andr. 445 ff. und Arist. Fried. 1065. Acharn. 308 ff.

δον, ἔπεμπον σφέων ἱππέα ὀψόμενόν τε εἰ πορεύεσθαι ἐπιχει-
ρέοιεν οἱ Σπαρτιῆται, εἴ τε καὶ τὸ παράπαν μὴ διανοεῦνται
ἀπαλλάσσεσθαι, ἐπείρεσθαί τε Παυσανίην τὸ χρεὸν εἴη ποιέειν.
Ὡς δὲ ἀπίκετο ὁ κῆρυξ ἐς τοὺς Λακεδαιμονίους, ὥρα τέ σφεας 55
κατὰ χώρην τεταγμένους καὶ ἐς νείκεα ἀπιγμένους αὐτῶν τοὺς
πρώτους. ὡς γὰρ δὴ παρηγορέοντο τὸν Ἀμομφάρετον ὅ τε
Εὐρυάναξ καὶ ὁ Παυσανίης μὴ κινδυνεύειν μένοντας μούνους
Λακεδαιμονίων, οὔ κως ἔπειθον, ἐς ὃ ἐς νείκεά τε συμπεσόντες
ἀπίκατο καὶ ὁ κῆρυξ τῶν Ἀθηναίων παρίστατό σφι ἀπιγμένος.
νεικέων δὲ ὁ Ἀμομφάρετος λαμβάνει πέτρον ἀμφοτέρῃσι τῇσι
χερσὶ, καὶ τιθεὶς πρὸ ποδῶν τῶν Παυσανίεω ταύτῃ τῇ ψήφῳ
ψηφίζεσθαι ἔφη μὴ φεύγειν τοὺς ξείνους, ξείνους λέγων τοὺς
βαρβάρους. ὁ δὲ μαινόμενον καὶ οὐ φρενήρεα καλέων ἐκεῖνον
πρός τε τὸν Ἀθηναίων κήρυκα ἐπειρωτέοντα τὰ ἐντεταλμένα
λέγειν ὁ Παυσανίης ἐκέλευε τὰ παρεόντα σφι πρήγματα, ἐχρήϊζέ
τε τῶν Ἀθηναίων προσχωρῆσαί τε πρὸς ἑωυτοὺς καὶ ποιέειν
περὶ τῆς ἀπόδου τάπερ ἂν καὶ σφεῖς. Καὶ ὁ μὲν ἀπαλλάσσετο 56
ἐς τοὺς Ἀθηναίους. τοὺς δὲ ἐπεὶ ἀνακρινομένους πρὸς ἑωυ-
τοὺς ἠὼς κατελάμβανε, ἐν τούτῳ τῷ χρόνῳ κατήμενος ὁ Παυ-

1. *εἰ — ἐπιχειρέοιεν, εἴτε — διανοεῦνται.* Ueber den Moduswechsel s. z. VIII 100.

3. *ἐπείρεσθαί τε.* Wechsel der Structur, denn *ἐπείρεσθαι* wie ob. *ὀψόμενον* hängt von *ἔπεμπον* ab. Ganz wie hier c. 6.

55. 4. *ὥρα τε.* Die Stellung des *τε* ist ungewöhnlich; wir erwarteten es erst hinter *κατὰ χώρην* gesetzt. — Ueber *κατὰ χώρην* s. z. VIII 73.

7. *μένοντας μούνους*, Amompharetos und die Pitanaten.

10. *νεικέων — λαμβάνει.* Zur Sache vgl. Plut. Arist. c. 17 *ἀράμενος ταῖν χεροῖν πέτραν μέγαν ὁ Ἀμομφάρετος καὶ καταβαλὼν πρὸ τῶν ποδῶν τοῦ Παυσανίου, ταύτην ἔφη ψῆφον αὐτὸς περὶ τῆς μάχης τίθεσθαι.*

12. *ξείνους λέγων τοὺς βαρβάρους.* Vgl. c. 11.

13. *μαινόμενον καὶ οὐ φρενήρεα.* Vgl. III 25 *ἐμμανής τε ἐὼν καὶ οὐ φρενήρης* III 35 *παραφρονέειν καὶ οὐκ εἶναι νοήμονα.* Auch Sophocles liebt es einen positiven und negativen Ausdruck zur Steigerung eines und desselben Begriffs zusammenzustellen.

14. *πρός τε — κήρυκα.* Verbinde: *ὁ Παυσανίης ἐκέλευε (τῶν ἑωυτοῦ τινα) λέγειν τὰ παρεόντα σφι πρήγματα πρὸς τὸν Ἀθηναίων κήρυκα ἐπειρωτέοντα τὰ (ὑπ' Ἀθηναίων) ἐντεταλμένα.* Der Deutlichkeit halber ist das von seinem Prädikat sehr weit getrennte Subject *ὁ δὲ* durch *ὁ Παυσανίης* erneuert. Aehnlich V 99. VI 9. 13. — *τὰ ἐντεταλμένα.* Vgl. c. 54 *ἔπεμπον (οἱ Ἀθηναῖοι) σφέων ἱππέα — ἐπείρεσθαι Παυσανίην τὸ χρεὸν εἴη ποιέειν.*

17. *τάπερ ἂν καὶ σφεῖς* erg. *ποιέοιεν.*

56. 18. *ἀνακρίνεσθαι disceptare.*

19. *κατελάμβανε.* Zur Bedeutung vgl. VIII 6.

κατήμενος. Die Lesart ist verdorben, da die Bedeutung dieses Verbs (vgl. c. 72) weder zu *ἐν τούτῳ τῷ χρόνῳ* noch zu dem zugehöri-

*σανίης οὐ δοκέων τὸν Ἀμομφάρετον λείψεσθαι τῶν ἄλλων Λα-
κεδαιμονίων ἀποστειχόντων, τὰ δὴ καὶ ἐγένετο, σημήνας ἀπῆγε
διὰ τῶν κολωνῶν τοὺς λοιποὺς πάντας· εἵποντο δὲ καὶ Τεγεῆ-
ται. Ἀθηναῖοι δὲ ταχθέντες ἤϊσαν τὰ ἔμπαλιν ἢ Λακεδαιμό-
νιοι. οἱ μὲν γὰρ τῶν τε ὄχθων ἀντείχοντο καὶ τῆς ὑπωρέης
τοῦ Κιθαιρῶνος, φοβεόμενοι τὴν ἵππον, Ἀθηναῖοι δὲ κάτω*
57 *τραφθέντες ἐς τὸ πεδίον. Ἀμομφάρετος δὲ ἀρχήν τε οὐδαμὰ
δοκέων Παυσανίην τολμήσειν σφέας ἀπολιπεῖν περιείχετο αὐ-
τοῦ μένοντας μὴ ἐκλιπεῖν τὴν τάξιν. προτερεόντων δὲ τῶν
σὺν Παυσανίῃ, καταδόξας αὐτοὺς ἰθέῃ τέχνῃ ἀπολιπεῖν αὐτόν,
ἀναλαβόντα τὸν λόχον τὰ ὅπλα ἦγε βάδην πρὸς τὸ ἄλλο στῖφος.
τὸ δὲ ἀπελθὸν ὅσον τε δέκα στάδια ἀνέμενε τὸν Ἀμομφαρέτου
λόχον, περὶ ποταμὸν Μολόεντα ἱδρυμένον Ἀργιόπιόν τε χῶρον
καλεόμενον, τῇ καὶ Δήμητρος Ἐλευσινίης ἱρὸν ἧσται· ἀνέμενε
δὲ τοῦδε εἵνεκεν, ἵνα ἢν μὴ ἀπολίπῃ τὸν χῶρον ἐν τῷ ἐτετά-
χατο ὁ Ἀμομφάρετός τε καὶ ὁ λόχος, ἀλλ᾽ αὐτοῦ μένωσι, βω-*

gen Verbum *ἀπῆγε* (das ausserdem schon eine Nebenbestimmung durch *σημήνας* erhalten hat) passt.

3. *διὰ τῶν κολωνῶν per colles*. Vgl. c. 25.

4. *τὰ ἔμπαλιν* bezeichnet eig. die rückwärtsgekehrte, dann die entgegengesetzte Richtung. Die Lakedaemonier zogen an den Abhängen des Kithaeron entlang in westlicher Richtung (darauf nördlich), die Athener dagegen stiegen anfänglich in nördlicher Richtung zur Asoposebene herab, um sich darauf westwärts zu wenden. Beider Abteilungen Ziel war das Oeroëeiland (c. 51). *τὰ ἔμπαλιν* mit nachfolgendem *ἤ* auch I 207.

5. *τῆς ὑπωρέης τοῦ Κιθαιρῶνος*. Vgl. c. 25.

6. *Ἀθηναῖοι δὲ κάτω τραφθέντες ἐς τὸ πεδίον* erg. *ἤισαν*. Zu *τραφθέντες* (= *τραπόμενοι*) vgl. IV 12 *ἐς μεσόγαιαν τῆς ὁδοῦ τραφθέντες* (Krüger).

57. 7. *ἀρχήν τε*. Dem *τε* entspricht im Folgenden *δὲ* (*προτερεόντων δέ*).

8. *περιείχετο*. Das Verbum *περιέχεσθαι*, welches sonst mit Genetiv verbunden wird, ist hier mit einem Infinitivsatz verbunden (*περιέχεσθαι*, eig. sich fest an etwas halten, anklammern, hier: an den Gedanken). S. z. VIII 60.

αὐτοῦ gehört zu *μένοντας*.

10. *καταδόξας*. S. z. VIII 10.

ἰθέῃ τέχνῃ. Eine Umschreibung für das häufigere *ἐκ τῆς ἰθέης*. S. z. c. 37.

12. *ὅσον τε*. S. z. VIII 55.

13. *περὶ ποταμὸν Μολόεντα*. Der Moloeis war ein von den nördlichen Abhängen des Kithaeron in die Argiopische Ebene herabstürzender Waldbach, der sich in die westwärts fließende Oeroë ergosz. Da er vom Gargaphiaquell genau so weit entfernt war wie das Oeroëeiland (c. 51), so musz er in ziemlich gerader Richtung mit diesem (und zwar südlich von demselben) aus den Kithaeronschluchten hervorgetreten sein.

ἱδρύμενον verb. mit *λόχον*.

14. *Δήμητρος — ἱρόν*. Vgl. c. 62. 65.

ἧσται (v. *εἶσα*) = *ἵδρυνται* (II 44). Das Activ. I 66 *τῷ δὲ Λυκούργῳ ἱρὸν εἱσάμενοι* (= *ἱδρυσάμενοι*). Uebrigens ist auch bei Herodot *ἱδρύειν* (od. *ἱδρύεσθαι*) in dieser Verbindung häufiger.

ϑέοι ὀπίσω παρ' ἐκείνους. καὶ οἵ τε ἀμφὶ τὸν Ἀμομφάρετον παρεγίνοντό σφι, καὶ ἡ ἵππος ἡ τῶν βαρβάρων προσεκέετο πᾶσα. οἱ γὰρ ἱππόται ἐποίευν οἷον καὶ ἐώϑεσαν ποιέειν αἰεὶ, ἰδόντες δὲ τὸν χῶρον κεινὸν ἐν τῷ ἐτετάχατο οἱ Ἕλληνες τῇσι προτέρῃσι, ἤλαυνον τοὺς ἵππους αἰεὶ τὸ πρόσω καὶ ἅμα καταλαβόντες προσεκέατό σφι.

Μαρδόνιος δὲ ὡς ἐπύϑετο τοὺς Ἕλληνας ἀποιχομένους 58
ὑπὸ νύκτα εἶδέ τε τὸν χῶρον ἐρῆμον, καλέσας τὸν Ληρισαῖον Θώρηκα καὶ τοὺς ἀδελφεοὺς αὐτοῦ Εὐρύπυλον καὶ Θρασυδήϊον ἔλεγε. Ὦ παῖδες Ἀλεύεω, ἔτι τί λέξετε τάδε ὁρέοντες ἐρῆμα; ὑμεῖς γὰρ οἱ πλησιόχωροι ἐλέγετε Λακεδαιμονίους οὐ φεύγειν ἐκ μάχης, ἀλλὰ ἄνδρας εἶναι τὰ πολέμια πρώτους, τοὺς πρότερόν τε μετισταμένους ἐκ τῆς τάξιος εἴδετε, νῦν τε ὑπὸ τὴν παροιχομένην νύκτα καὶ οἱ πάντες ὁρέομεν διαδράντας· διέδεξάν τε, ἐπεί σφεας ἔδεε πρὸς τοὺς ἀψευδέως ἀρίστους ἀνθρώπων μάχῃ διακριϑῆναι, ὅτι οὐδένες ἄρα ἐόντες ἐν οὐδαμοῖσι

1. καὶ οἵ τε — παρεγένοντο καὶ ἡ ἵππος προσεκέετο. Parataxis. S. z. VIII 56.
3. ἐποίευν οἷον καὶ ἐώϑεσαν. Vgl. c. 40. 50.
4. τῇσι προτέρῃσι, ἡμέρῃσι.
5. καὶ ἅμα. ἅμα bezeichnet die Gleichzeitigkeit des καταλαβεῖν (= *deprehendere*) und προσκεῖσϑαι, od. richtiger die unmittelbare Aufeinanderfolge beider Handlungen.

Schlacht bei Plataeae (c. 58—69). Sieg der Lakedaemonier und Tegeaten über die Perser unter Mardonios (c. 58—65). Mardonios fällt (c. 64). Flucht des Artabazus (c. 66). Sieg der Athener über die persische Reiterei (c. 67. 68). Niederlage der Megarer und Phliasier durch die thebanische Reiterei (c. 69).

58. 8. ὑπὸ νύκτα. S. z. VIII 71. ἐρῆμον, κεινόν ob. c. 57.
9. Θώρηξ und seine Brüder gehörten zu dem berühmten Herschergeschlechte der Aleuaden in Larissa. Vgl. c. 1. Näheres zu VII 6.
11. πλησιόχωροι als Angehörige desselben Landes und Stamms. ἐλέγετε — οὐ φεύγειν ἐκ μάχης. VII 104 läszt Herodot den Demarat diese Meinung aussprechen: ἔπεστι γάρ σφι δεσπότης νόμος — ἀνώγει δὲ τὠυτὸ αἰεὶ, οὐκ ἐῶν φεύγειν οὐδὲν πλῆϑος ἀνϑρώπων ἐκ μάχης ἀλλα μένοντας ἐν τῇ τάξι ἐπικρατέειν ἢ ἀπόλλυσϑαι. Uebrigens mochten sich auch wol die Aleuaden, welche wie auch Demarat den Xerxes auf seinem Zuge begleiteten, in demselben Sinne geäussert haben.
12. τὰ πολέμια πρῶτος. Vgl. VII 111 τὰ πολέμια ἄκροι. Aehnlich III 4. V 111.
13. ὑπό. S. ob. 8.
14. καί verb. mit διαδράντας. διέδεξαν. S. z. VIII 3.
16. μάχῃ διακρίνεσϑαι πρός τινα heiszt: *proelio decernere cum aliquo.* Eine andere Bedeutung hat das Verbum VII 219. VIII 18.

οὐδένες — ἐόντες '*nullius rei homines, viles*' im Vergleich zu den Persern (πρὸς τοὺς ἀψευδέως ἀρίστους ἀνϑρώπων). Zum Ausdruck vgl. Eurip. Androm. 700 Ἑλλὰς τοὺς βαρβάρους τοὺς οὐδένας καταγελῶντας ἐξανήσει. Häufiger ist in dieser Bedeutung das Neutrum (VIII 60). — Ueber ἄρα s. z. VIII 8.
ἐν οὐδαμοῖσι. Herodot ge-

ἐοῦσι Ἕλλησι ἐναπεδεικνύατο. καὶ ὑμῖν μὲν ἐοῦσι Περσέων ἀπείροισι πολλὴ ἔκ γε ἐμεῦ ἐγίνετο συγγνώμη, ἐπαινεόντων τούτους, τοῖσί τι καὶ συνηδέατε· Ἀρταβάζου δὲ θῶμα καὶ μᾶλλον ἐποιεύμην τὸ καὶ καταρρωδῆσαι Λακεδαιμονίους, καταρρωδήσαντά τε ἀποδέξασθαι γνώμην δειλοτάτην, ὡς χρεὸν εἴη ἀναζεύξαντας τὸ στρατόπεδον ἰέναι ἐς τὸ Θηβαίων ἄστυ πολιορκησομένους· τὴν ἔτι πρὸς ἐμεῦ βασιλεὺς πεύσεται. Καὶ τούτων μὲν ἑτέρωθι ἔσται λόγος, νῦν δὲ ἐκείνοισι ταῦτα ποιεῦσι οὐκ ἐπιτρεπτέα ἐστὶ, ἀλλὰ διωκτέοι εἰσὶ ἐς ὃ καταλαμφθέντες δώσουσι ἡμῖν τῶν δὴ ἐποίησαν Πέρσας πάντων δίκας.

59 Ταῦτα εἴπας ἦγε τοὺς Πέρσας δρόμῳ διαβάντας τὸν Ἀσωπὸν κατὰ στίβον τῶν Ἑλλήνων ὡς δὴ ἀποδιδρησκόντων, ἐπεῖχέ τε ἐπὶ Λακεδαιμονίους τε καὶ Τεγεήτας μούνους· Ἀθηναίους γὰρ τραπομένους ἐς τὸ πεδίον ὑπὸ τῶν ὄχθων οὐ κατώρα. Πέρσας

braucht neben der Form οὐδένες ebenso häufig die ion. Form οὐδαμοί. An unserer Stelle sind beide verbunden.

1. ἐναπεδεικνύατο ist Medium = *ostentabant* (*virtutem suam*).

2. ἐπαινεόντων erg. ὑμῶν. Der Subjectsgenetiv zu ergänzen wie zu ἐόντων c. 51. Statt des Dativs (auf ὑμῖν bezogen), der das Participium als eine blosze Nebenbestimmung zur Person erscheinen lassen würde, ist der Genetiv. absol. gewählt, durch welchen die causale Bedeutung des Particips, welche für den ganzen Satz gilt, auch in der Form selbständiger hervortritt. Aehnlich c. 51.

3. τοῖσί τι καὶ συνηδέατε. Vollständiger VIII 113 ἐξελέγετο κατ᾽ ὀλίγους τοῖσι εἴδεά τε ὑπῆρχε καὶ εἴ τέοισί τι χρηστὸν συνήδεε πεποιημένον. S. z. dieser Stelle.

Ἀρταβάζου hängt von dem Objectsinfinitiv τὸ καταρρωδῆσαι Λακεδαιμονίους ab, welcher von θῶμα ἐποιεύμην (= ἐθώμαζον) regiert wird. Ueber die Umschreibung θῶμα ποιέεσθαι s. z. VIII 74. Zur Sache vgl. c. 41.

καὶ μᾶλλον, ἢ ὑμέων.

4. τὸ καὶ καταρρωδῆσαι. τὸ καὶ etc. erklärt Krüger: (ich wundere mich darüber) dasz er auch nur die Laked. fürchtet, geschweige denn dasz er einen feigen Vorschlag tat (καταρρωδήσαντά τε ἀποδέξασθαι γνώμην δειλοτάτην). Allein auch abgesehen davon, dasz diese beiden Gedanken keinen scharfen Gegensatz bilden, so konnte doch das zweite Satzglied, falls es einen solchen Gegensatz enthalten sollte, dem ersten nicht durch τε angereiht werden. Wahrscheinlich ist καί (als Dittographie zu κατ in καταρρωδῆσαι) zu streichen.

6. ἀναζεύξαντας. S. z. VIII 60.

7. πολιορκησομένους. Fut. med. in passiver Bedeutung. Wie hier c. 97 παρεσκευάδατο ὡς πολιορκησόμενοι.

8. ταῦτα ποιεῦσι. ταῦτα sc. τὸ ἐκφυγεῖν ἡμέας.

9. καταλαμφθέντες *deprehensi*. Ueber die Form s. z. VIII 11.

59. 11. διαβάντες τὸν Ἄσωπον. Die Perser standen auf dem linken Asoposufer (c. 25. 40).

12. κατὰ στίβον τῶν Ἑλλ. Dieselbe Wendung IV 22. Zur Bedeutung vgl. c. 53 (κατὰ τοὺς ἄλλους).

ἐπεῖχέ τε ἐπὶ Λακ. *instabat Lacedaemoniis*.

14. τραπομένους ἐς τὸ πεδίον. Vgl. c. 56. Nachdem die Perser den Asopos überschritten hatten, waren sie hastig den an den Abhängen des Kithaeron sichtbaren Lakedaemoniern nachgeeilt; die

δὲ ὁρέοντες ὡρμημένους διώκειν τοὺς Ἕλληνας οἱ λοιποὶ τῶν βαρβαρικῶν τελέων ἄρχοντες αὐτίκα πάντες ἤειραν τὰ σημήϊα, καὶ ἐδίωκον ὡς ποδῶν ἕκαστος εἶχον, οὔτε κόσμῳ οὐδενὶ κοσμηθέντες οὔτε τάξι. Καὶ οὗτοι μὲν βοῇ τε καὶ ὁμίλῳ ἐπήϊσαν ὡς ἀναρπασόμενοι τοὺς Ἕλληνας, Παυσανίης δὲ, ὡς προσ- 60
εκέετο ἡ ἵππος, πέμψας πρὸς τοὺς Ἀθηναίους ἱππέα λέγει τάδε· Ἄνδρες Ἀθηναῖοι, ἀγῶνος μεγίστου προκειμένου, ἐλευθέρην εἶναι ἢ δεδουλωμένην τὴν Ἑλλάδα, προδεδόμεθα ὑπὸ τῶν συμμάχων ἡμεῖς τε οἱ Λακεδαιμόνιοι καὶ ὑμεῖς οἱ Ἀθηναῖοι ὑπὸ τὴν παροιχομένην νύκτα διαδράντων. νῦν ὦν δέδοκται τὸ ἐνθεῦτεν τὸ ποιητέον ἡμῖν, ἀμυνομένους γὰρ τῇ δυνάμεθα ἄριστα περιστέλλειν ἀλλήλους. εἰ μέν νυν ἐς ὑμέας ὥρμησε ἀρχὴν ἡ ἵππος, χρῆν δὴ ἡμέας τε καὶ τοὺς μετ' ἡμέων τὴν Ἑλλάδα οὐ προδιδόντας Τεγεήτας βωθέειν ὑμῖν· νῦν δὲ, ἐς ἡμέας γὰρ ἅπασα κεχώρηκε, δίκαιοί ἐστε ὑμεῖς πρὸς τὴν πιεζομένην μάλιστα τῶν μοιρέων ἀμυνέοντες ἰέναι. εἰ δ' ἄρα

Athener, welche in derselben Richtung (von Osten nach Westen) die Ebene herabzogen, blieben von ihnen unbemerkt, da diese von den Hügelketten, welche sich in der Ebene erheben, verdeckt wurden. — Auch neuere Reisende bestätigen die Richtigkeit der von Herod. gegebenen Schilderung des dortigen Terrains.

2. *τελέων.* Ueber die *τέλεα* s. z. c. 20.

3. *ὡς ποδῶν — εἶχον.* In dieser häufig vorkommenden Wendung hängt der Genetiv von *ὡς* als einem Adverbium der Beschaffenheit ab. Wie hier VI 116. Vgl. VIII 107 *ὡς τάχεος εἶχε ἕκαστος.*

οὔτε κόσμῳ — τάξι. Vgl. VIII 86 *Ἑλλήνων σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν* und ebenda *τῶν δὲ βαρβάρων οὐ τεταγμένων ἔτι, οὐδὲ σὺν νόῳ ποιεύντων οὐδέν.* Vgl. unt. c. 69 und III 13 *ἔφευγον οὐδενὶ κόσμῳ.*

4. *βοῇ τε καὶ ὁμίλῳ.* Vgl. III 157 *τίς ἄν μοι τοῦτο ὑμέων ἐπιτελέσειε σοφίῃ καὶ μὴ βίῃ τε καὶ ὁμίλῳ* (*ὅμιλος* = *tumultus*). Vgl. Plut. Arist. c. 17 *ἐπεφέρετο* (*ὁ Πανσανίης*) *τοῖσι Λακεδαιμονίοις βοῇ πολλῇ καὶ πατάγῳ τῶν βαρβάρων, ὡς οὐ μάχης ἐσομένης ἀλλὰ φεύγοντας ἀναρπασομένων τοὺς Ἕλληνας.*

5. *ὡς ἀναρπασόμενοι.* Vgl. VIII 28.

60. 7. *ἀγῶνος — προκειμένου.* Vgl. VII 11 *οὐκ ὦν ἐξαναχωρέειν οὐδετέροισι ἔχει ἀλλὰ ποιέειν ἢ παθεῖν προκέεται ἀγών.*

8. *ὑπὸ τὴν παροιχομένην νύκτα* wie c. 58.

10. *δέδοκται* es ist beschlossen (näml. *ἡμῖν*) was von jetzt an zu tun ist. Vgl. VI 109 *δέδοκται* (erg. *τοῖσι Πέρσῃσι*) *τὰ πείσονται* und c. 74 *ἐδέδοκτο* (sc. *οἱ*). (*οἱ Ἕλληνες*) *παραδεδόμενοι Ἱππίῃ.*

12. *περιστέλλειν* ist noch von *δέδοκται* abhängig.

14. *προδιδόναι* deserere. Vgl. VI 15 *ὁρέοντες τοὺς πολλοὺς τῶν συμμάχων προδιδόντας.* Das Passiv. ob. (8).

νῦν δέ. Durch *νῦν δέ* wird häufig die Wirklichkeit im Gegensatz zu einem angenommenen Fall scharf hervorgehoben. Vgl. V 65. VII 139.

16. *εἰ δ' ἄρα.* Ueber *ἄρα* s. z. VIII 8.

αὐτοὺς ὑμέας καταλελάβηκε ἀδύνατόν τι βωθέειν, ὑμεῖς δ' ἡμῖν τοὺς τοξότας ἀποπέμψαντες χάριν θέσθε. συνοίδαμεν δὲ ὑμῖν ὑπὸ τὸν παρεόντα τόνδε πόλεμον ἐοῦσι πολλὸν προθυμοτάτοισι, ὥστε καὶ ταῦτα ἐσακούειν.

61 *Ταῦτα οἱ Ἀθηναῖοι ὡς ἐπύθοντο, ὡρμέατο βωθέειν καὶ τὰ μάλιστα ἐπαμύνειν. καί σφι ἤδη στείχουσι ἐπιτιθέαται οἱ ἀντιταχθέντες Ἑλλήνων τῶν μετὰ βασιλέος γενομένων ὥστε μηκέτι δύνασθαι βωθῆσαι· τὸ γὰρ προσκείμενόν σφεας ἐλύπεε. οὕτω δὴ μουνωθέντες Λακεδαιμόνιοι καὶ Τεγεῆται, ἐόντες σὺν ψιλοῖσι ἀριθμὸν οἱ μὲν πεντακισμύριοι, Τεγεῆται δὲ τρισχίλιοι (οὗτοι γὰρ οὐδαμὰ ἀπεσχίζοντο ἀπὸ Λακεδαιμονίων), ἐσφαγιάζοντο ὡς συμβαλέοντες Μαρδονίῳ καὶ τῇ στρατιῇ τῇ παρεούσῃ. καὶ οὐ γάρ σφι ἐγίνετο τὰ σφάγια χρηστά, ἔπιπτόν τε αὐτῶν ἐν τούτῳ τῷ χρόνῳ πολλοὶ καὶ πολλῷ πλεῦνες ἐτρωματίζοντο· φράξαντες γὰρ τὰ γέρρα οἱ Πέρσαι ἀπίεσαν τῶν τοξευμάτων πολλὰ ἀφειδέως, οὕτω ὥστε πιεζομένων τῶν Σπαρτιητέων καὶ τῶν σφαγίων οὐ γινομένων ἀποβλέψαντα τὸν Πανσανίην πρὸς τὸ Ἡραῖον τὸ Πλαταιέων ἐπικαλέσασθαι τὴν θεόν, χρηΐζοντα μη-*

1. *καταλελάβηκε.* Ueber die Bedeutung von *καταλαμβάνει τινά τι* s. z. VIII 6.
ἀδύνατόν τι βωθέειν ist Subject (= ein Umstand, der euch Hülfleistung unmöglich macht).
ὑμεῖς δέ. S. z. VIII 22.
2. *χάριν τίθεσθαι* auch IX 107. Vgl. VII 178 *χάριν κατατίθεσθαι* Dank gleichsam als Depositum für künftigen Gebrauch niederlegen.
συνοίδαμεν δὲ ὑμῖν — ἐοῦσι προθυμοτάτοισι. Ueber die Bedeutung von *σύνοιδά τινί τι* s. z. VIII 113. An unserer Stelle ist das Object (*τὶ*) in dem Participialsatz enthalten (*ἐοῦσι πολλὸν προθυμοτάτοισι* = *τὸ εἶναι πολλὸν προθυμοτάτους*). — Die Form *συνοίδαμεν* (*οἴδαμεν*) noch II 17. IV 46. VII 214. Sonst gebraucht Her. dafür die Form *ἴδμεν*. Vgl. Dial. Bd. I S. 39.
3. *ὑπὸ τὸν παρ. πόλεμον.* Ueber *ὑπό* c. acc. in temporaler Bedeutung s. z. VIII 92.
4. *ἐσακούειν* näml. *ἡμῖν*.

61. 5. *τὰ μάλιστα.* S. z. c. VIII 79.

8. *τὸ προσκείμενον.* Wie hier ist c. 63 (*τὸ τεταγμένον* = *οἱ τεταγμένοι*) das substantivierte Neutrum des Particips metonymisch für das Masculinum gebraucht. So steht auch VII 223 *τὸ ἀπολλύμενον* in dem Sinne von *οἱ ἀπολλύμενοι*.
10. *πεντακισμύριοι.* „Nach c. 28—30 waren Lakedaemonier:

gewappnete	Spartiaten . . .	5000
	Heloten	35000
	Periöken	5000
Diesen zugeteilte Leichtbewaffnete		5000
		50000
Tegeaten:		
	gewappnete	1500
	leichtbewaffnete .	1500
		3000."

14. *φράξαντες τὰ γέρρα.* Die Perser errichteten sich aus ihren in Schichten zusammengelegten Schilden eine Brustwehr. Vgl. c. 99. 102.
16. *τῶν σφαγίων οὐ γινομένων* erg. *χρηστῶν*. Vgl. ob. 10 und c. 62.
18. *Ἡραῖον.* Vgl. c. 52.

δαμῶς σφεας ψευσθῆναι τῆς ἐλπίδος. Ταῦτα δ' ἔτι τούτου 62
ἐπικαλεομένου προεξαναστάντες πρότεροι οἱ Τεγεῆται ἐχώρεον ἐς τοὺς βαρβάρους, καὶ τοῖσι Λακεδαιμονίοισι αὐτίκα μετὰ τὴν εὐχὴν τὴν Παυσανίεω ἐγίνετο θυομένοισι τὰ σφάγια χρηστά. ὡς δὲ χρόνῳ κοτὲ ἐγένετο, ἐχώρεον καὶ οὗτοι ἐπὶ τοὺς Πέρσας, καὶ οἱ Πέρσαι ἀντίοι τὰ τόξα μετέντες. ἐγίνετο δὲ πρῶτον περὶ τὰ γέρρα μάχη. ὡς δὲ ταῦτα ἐπεπτώκεε, ἤδη ἐγίνετο μάχη ἰσχυρὴ παρ' αὐτὸ τὸ Δημήτριον καὶ χρόνον ἐπὶ πολλόν, ἐς ὃ ἀπίκοντο ἐς ὠθισμόν· τὰ γὰρ δούρατα ἐπιλαμβανόμενοι κατέκλων οἱ βάρβαροι. λήματι μέν νυν καὶ ῥώμῃ οὐκ ἕσσονες ἦσαν οἱ Πέρσαι, ἄνοπλοι δὲ ἐόντες καὶ πρὸς ἀνεπιστήμονες ἦσαν καὶ οὐκ ὁμοῖοι τοῖσι ἐναντίοισι σοφίην. προεξαΐσσοντες δὲ κατ' ἕνα καὶ δέκα, καὶ πλεῦνές τε καὶ ἐλάσσονες συστρεφόμενοι, ἐσέπιπτον ἐς τοὺς Σπαρτιήτας καὶ διεφθείροντο.
Τῇ δὲ ἐτύγχανε αὐτὸς ἐὼν Μαρδόνιος ἀπ' ἵππου τε μαχόμενος 63
λευκοῦ ἔχων τε περὶ ἑωυτὸν λογάδας Περσέων τοὺς ἀρίστους χιλίους, ταύτῃ δὲ καὶ μάλιστα τοὺς ἐναντίους ἐπίεσαν. ὅσον μέν νυν χρόνον Μαρδόνιος περιῆν, οἱ δὲ ἀντεῖχον καὶ ἀμυνόμενοι κατέβαλλον πολλοὺς τῶν Λακεδαιμονίων, ὡς δὲ Μαρδόνιος ἀπέθανε καὶ τὸ περὶ ἐκεῖνον τεταγμένον ἐὸν ἰσχυρότατον ἔπεσε, οὕτω δὴ καὶ οἱ ἄλλοι ἐτράποντο καὶ εἶξαν τοῖσι

62. 1. *ταῦτα*, das an die Göttin gerichtete Gebet.

2. *προεξαναστάντες πρότεροι* vor den Lakedaemoniern. Ueber die Abundanz s. z. VIII 14.

5. *χρόνῳ*. S. z. VIII 53. Zu *ἐγένετο* ergänzt man leicht *τὰ σφάγια*.

6. *ἀντίοι* erg. *ἐχώρεον*.

τὰ τόξα μετέντες, um jetzt im Nahkampf Schwert und Speer zu gebrauchen.

8. *Δημήτριον*. S. c. 57.

9. *τὰ δούρατα*. Die hellenischen Hopliten führten lange Speere.

10. *λήματι*. Vgl. V 72 *Τιμησιθέου ἔργα χειρῶν τε καὶ λήματος ἔχοιμ' ἂν μέγιστα καταλέξαι*.

11. *ἄνοπλοι*, *ἀσπίδων ἄσκευοι*. Sie hatten ihre Schilde zur Errichtung der Brustwehr gebraucht.

καὶ πρός und dazu, adverbial auch VII 154. 187 öft.

ἀνεπιστήμονες ἦσαν. Vgl. VII 211 *Λακεδαιμόνιοι δὲ ἐμάχοντο ἀξίως λόγου* (bei den Thermopylen), *ἄλλα τε ἀποδεικνύμενοι ἐν οὐκ ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι*.

12. *σοφίη* „Kampfgeschicklichkeit.“ Zur Bedeutung von *σοφίη* vgl. I 68. III 4. 85. V 23.

13. *κατ' ἕνα*. *κατά* in distributiver Bedeutung wie VIII 57.

63. 16. *τοὺς ἀρίστους χιλίους*. Vgl. VII 40 *προηγέοντο μὲν δὴ ἱππόται χίλιοι, ἐκ Περσέων πάντων ἀπολελεγμένοι*. Dieselben sind auch VIII 113 erwähnt.

17. *ταύτῃ δέ* entspricht dem vorhergehenden *τῇ δέ*; ganz wie hier c. 86. Andere Responsion gleich im Folg. *ὅσον μὲν — Μαρδόνιος περιῆν, οἱ δὲ ἀντεῖχον*.

19. *κατέβαλλον*. Vgl. IV 64 *ἐπεὰν τὸν πρῶτον ἄνδρα καταβάλῃ ἀνὴρ Σκύθης, τοῦ αἵματος ἐμπίνει*.

20. *τὸ τεταγμένον*. S. z. c. 61.

21. *οὕτω δή*. S. z. VIII 23.

Λακεδαιμονίοισι. πλεῖστον γάρ σφεας ἐδηλέετο ἡ ἐσθὴς ἐρῆμος ἐοῦσα ὅπλων· πρὸς γὰρ ὁπλίτας ἐόντες γυμνῆτες ἀγῶνα
64 *ἐποιεῦντο. Ἐνθαῦτα ἥ τε δίκη τοῦ φόνου τοῦ Λεωνίδεω κατὰ τὸ χρηστήριον τοῖσι Σπαρτιήτῃσι ἐκ Μαρδονίου ἐπετελέετο, καὶ νίκην ἀναιρέεται καλλίστην ἁπασέων τῶν ἡμεῖς ἴδμεν Παυσανίης ὁ Κλεομβρότου τοῦ Ἀναξανδρίδεω. τῶν δὲ κατύπερθέ οἱ προγόνων τὰ οὐνόματα εἴρηται ἐς Λεωνίδην· ὡυτοὶ γάρ σφι τυγχάνουσι ἐόντες. ἀποθνήσκει δὲ Μαρδόνιος ὑπὸ Ἀριμνήστου ἀνδρὸς ἐν Σπάρτῃ λογίμου, ὃς χρόνῳ ὕστερον μετὰ τὰ Μηδικὰ ἔχων ἄνδρας τριηκοσίους συνέβαλε ἐν Στενυκλήρῳ πολέμου ἐόντος Μεσσηνίοισι πᾶσι καὶ αὐτός τε ἀπέ-*
65 *θανε καὶ οἱ τριηκόσιοι. Ἐν δὲ Πλαταιῇσι οἱ Πέρσαι ὡς ἐτράποντο ὑπὸ τῶν Λακεδαιμονίων, ἔφευγον οὐδένα κόσμον ἐς τὸ στρατόπεδον τὸ ἑωυτῶν καὶ ἐς τὸ τεῖχος τὸ ξύλινον, τὸ ἐποιήσαντο ἐν μοίρῃ τῇ Θηβαΐδι. θῶμα δέ μοι ὅκως παρὰ τῆς Δήμητρος τὸ ἄλσος μαχομένων οὐδὲ εἷς ἐφάνη τῶν Περσέων οὔτε ἐσελθὼν ἐς τὸ τέμενος οὔτε ἐναποθανών, περί τε τὸ ἱρὸν οἱ πλεῖστοι ἐν τῷ βεβήλῳ ἔπεσον. δοκέω δέ, εἴ τι περὶ τῶν θείων πρηγμάτων δοκέειν δεῖ, ἡ θεὸς αὐτή σφεας οὐκ ἐδέκετο ἐμπρήσαντας τὸ ἱρὸν τὸ ἐν Ἐλευσῖνι [ἀνάκτορον].*

1. *ἐρῆμος ἐοῦσα ὅπλων.* Ueber die leichte Bewaffnungsart der Perser der schweren hellenischen gegenüber vgl. V 49. VII 61.

64. 3. *ἥ τε δίκη τοῦ φόνου.* Vgl. VIII 114.

5. *νίκην ἀναιρέεται.* S. z. c. 33.

6. *κατύπερθε* wie hier in der seltenen temporalen Bedeutung noch V 28.

7. *ἐς Λεωνίδην* bis auf Leonidas, den Oheim des Pausanias, hatte Her. schon VII 204 die Vorfahren des P. aufgeführt. Leonidas und Kleombrotos, Vater des Pausanias, waren Söhne des Anaxandridas. S. V 39. VII 205.

10. *ἐν Στενυκλήρῳ*, in der stenyklarischen Ebene im nordöstlichen Messenien. Die gleichnamige Stadt, die uralte Residenz der dorischen Könige, war schon im ersten messenischen Kriege zerstört. Die hier erwähnte Niederlage der Lakedaemonier fällt in den Anfang des dritten messenischen Kriegs (s. c. 35).

11. *Μεσσηνίοισι πᾶσι* verb. mit *συνέβαλε.*

65. 12. *ἐτράποντο* ist Imperfectum.

13. *οὐδένα κόσμον.* S. z. VIII 117.

14. *ἐς τὸ τεῖχος τὸ ξύλινον.* Gemeint ist die (auch c. 15 erwähnte) mit Pallisaden und Graben geschützte Verschanzung, welche die Perser errichtet hatten.

15. *μοίρῃ.* Zur Bedeutung vgl. V 57 *οἴκεον δὲ τῆς χώρης ταύτης ἀπολαχόντες τὴν Ταναγρικὴν μοῖραν.*

παρὰ τῆς Δήμητρος τὸ ἄλσος. Vgl. c. 57. 62.

18. *εἴ τι — δεῖ.* Vgl. II 65 *τὰ θεῖα πρήγματα ἐγὼ μάλιστα φεύγω ἀπηγέεσθαι.* Seine Furcht die Götter durch Bericht über Religiöses zu verletzen spricht Her. öfter aus.

20. *τὸ ἱρὸν τ. ἐν Ἐλευσῖνι.* Gemeint ist das berühmte Heiligtum der Demeter und Kore in Eleusis.

Αὕτη μέν νυν ἡ μάχη ἐπὶ τοσοῦτο ἐγένετο, Ἀρτάβαζος 66 δὲ ὁ Φαρνάκεος αὐτίκα τε οὐκ ἠρέσκετο κατ' ἀρχὰς λειπομένου Μαρδονίου ἀπὸ βασιλέος, καὶ τότε πολλὰ ἀπαγορεύων οὐδὲν ἤνυε συμβάλλειν οὐκ ἐῶν· ἐποίησέ τε αὐτὸς τοιάδε ὡς οὐκ ἀρεσκόμενος τοῖσι πρήγμασι τοῖσι ἐκ Μαρδονίου ποιευμένοισι. τῶν ἐστρατήγεε ὁ Ἀρτάβαζος (εἶχε δὲ δύναμιν οὐκ ὀλίγην, ἀλλὰ καὶ ἐς τέσσερας μυριάδας ἀνθρώπων περὶ ἑωυτόν), τούτους, ὅκως ἡ συμβολὴ ἐγίνετο, εὖ ἐξεπιστάμενος τὰ ἔμελλε ἀποβήσεσθαι ἀπὸ τῆς μάχης, ἦγε κατηρτισμένος, παραγγείλας κατὰ τὠυτὸ ἰέναι πάντας τῇ ἂν αὐτὸς ἐξηγέηται, ὅκως ἂν αὐτὸν ὁρέωσι σπουδῆς ἔχοντα. ταῦτα παραγγείλας ὡς ἐς μάχην ἦγε δῆθεν τὸν στρατόν. προτερέων δὲ τῆς ὁδοῦ ὥρα καὶ δὴ φεύγοντας τοὺς Πέρσας. οὕτω δὴ οὐκέτι τὸν αὐτὸν κόσμον κατηγέετο, ἀλλὰ τὴν ταχίστην ἐτρόχαζε φεύγων οὔτε ἐς τὸ ξύλινον τεῖχος οὔτε ἐς τὸ Θηβαίων τεῖχος, ἀλλ' ἐς Φωκέας, ἐθέλων ὡς τάχιστα ἐπὶ τὸν Ἑλλήσποντον ἀπικέσθαι. Καὶ δὴ 67 οὗτοι μὲν ταύτῃ ἐτράποντο, τῶν δὲ ἄλλων Ἑλλήνων τῶν μετὰ βασιλέος ἐθελοκακεόντων Βοιωτοὶ Ἀθηναίοισι ἐμαχέσαντο χρό-

66. 1. ἐπὶ τοσοῦτο ἐγένετο. S. z. c. 18.
Ἀρτάβαζος. Vgl. c. 41.
2. κατ' ἀρχάς (eig. = *initio*) verstärkt die Bedeutung von αὐτίκα. Wie hier sind beide verbunden VII 148. 223. S. auch VIII 3.
λειπομένου — ἀπὸ βασιλέος. Das hier mit ἀπό verbundene λείπεσθαι ist mehr medial zu fassen. λείπεσθαι ἀπό τινος heiszt: fern von jemandem, getrennt von jem. bleiben. Vgl. Hom. Il. IX 437.
7. καὶ ἐς τέσσερας. Ueber καί s. z. VIII 24. Ueber die Stärke des Heers des Artab. vgl. VIII 126. 128. 129.
8. ὅκως = ὡς, ὅτε auch VII 229.
ἐξεπιστάμενος. S. z. VIII 144.
9. κατηρτισμένος, eig. *bene instructus*, *compositus*, heiszt also: in guter Ordnung. Das Verbum noch III 80. V 28. 106.
10. κατὰ τὠυτό. κατά hat hier modale Bedeutung; es wird durch den folgenden mit ὅκως eingeleiteten Modalsatz erläutert. Der Befehl des Artab. gieng also dahin, dasz ihm seine Soldaten mit demselben Grade der Schnelligkeit (= κατὰ τὠυτό) d. h. mit derselben Eile folgen sollten, mit welcher sie ihn voranrücken sähen. — Der Genet. σπουδῆς hängt von ὅκως als einem Adverb der Beschaffenheit ab; noch häufiger findet sich ὡς in diesem Sinne mit ἔχειν verbunden. S. z. VIII 107 (wo in der Anmerkung statt „Adjectivum" zu lesen ist: Adverbium).
11. ὡς ἐς μάχην δῆθεν tanquam ad pugnam scilicet. ὡς mit δῆθεν (= vorgeblich) auch VI 1. δῆθεν steht in gleichem Sinne c. 80.
12. τῆς ὁδοῦ „des Weges". Dieser locale Genetiv findet sich häufig namentlich bei Homer mit den Verben der Bewegung verbunden. Vgl. Hom. Il. IV 382 οἳ δ' ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο.
καὶ δή. S. z. c. VIII 94.
13. τὸν αὐτὸν κόσμον „eodem ordine". Vgl. c. 65 ἔφευγον οὐδένα κόσμον. — Ueber den Gebrauch von οὕτω δή s. z. VIII 23, über τὴν ταχίστην s. z. VIII 98.
67. 17. τῶν δὲ ἄλλων Ἑ. — ἐθελοκακεόντων ist absoluter (nicht partitiver) Genetiv.

νον ἐπὶ συχνόν. οἱ γὰρ μηδίζοντες τῶν Θηβαίων, οὗτοι εἶχον προθυμίην οὐκ ὀλίγην μαχόμενοί τε καὶ οὐκ ἐθελοκακέοντες, οὕτω ὥστε τριηκόσιοι αὐτῶν οἱ πρῶτοι καὶ ἄριστοι ἐνθαῦτα ἔπεσον ὑπ' Ἀθηναίων· ὡς δὲ ἐτράποντο καὶ οὗτοι, ἔφευγον ἐς τὰς Θήβας, οὐ τῆπερ οἱ Πέρσαι. καὶ τῶν ἄλλων συμμάχων ὁ πᾶς ὅμιλος οὔτε διαμαχεσάμενος οὐδενὶ οὔτε τι ἀποδε-
68 ξάμενος ἔφευγον. Δηλοῖ τέ μοι, ὅτι πάντα τὰ πρήγματα τῶν βαρβάρων ἤρτητο ἐκ Περσέων, εἰ καὶ τότε οὗτοι πρὶν ἢ καὶ συμμῖξαι τοῖσι πολεμίοισι ἔφευγον, ὅτι καὶ τοὺς Πέρσας ὥρεον. οὕτω τε πάντες ἔφευγον πλὴν τῆς ἵππου τῆς τε ἄλλης καὶ Βοιωτίης. αὕτη δὲ τοσαῦτα προσωφέλεε τοὺς φεύγοντας, αἰεί τε πρὸς τῶν πολεμίων ἄγχιστα ἐοῦσα, ἀπέργουσά τε τοὺς φι-
69 λίους φεύγοντας ἀπὸ τῶν Ἑλλήνων. Οἱ μὲν δὴ νικέοντες εἵποντο τοὺς Ξέρξεω διώκοντές τε καὶ φονεύοντες, ἐν δὲ τούτῳ τῷ γινομένῳ φόβῳ ἀγγέλλεται τοῖσι ἄλλοισι Ἕλλησι τοῖσι τεταγμένοισι περὶ τὸ Ἡραῖον καὶ ἀπογενομένοισι τῆς μάχης, ὅτι μάχη τε γέγονε καὶ νικῷεν οἱ μετὰ Παυσανίεω. οἱ δὲ ἀκούσαντες ταῦτα οὐδένα κόσμον ταχθέντες οἱ μὲν ἀμφὶ Κορινθίους ἐτράποντο διὰ τῆς ὑπωρέης καὶ τῶν κολωνῶν τὴν φέ-

5. *τῆπερ* in die c. 65 erwähnte Verschanzung.

τῶν ἄλλων συμμάχων z. B. der Thessaler und der im Anfange des Capitels erwähnten Boioter; es sind also hellenische Bundesgenossen zu verstehen, da Her. die im Perserheer dienenden Völker schwerlich *σύμμαχοι* genannt haben würde.

6. *οὔτε τι ἀποδεξάμενος*. Ueber die Bedeutung von *ἀποδείκνυσθαι* s. z. VIII 17.

68. 7. *Δηλοῖ τέ μοι* (= *δῆλόν τέ μοι*) ist unpersönlich zu fassen. Das Subject enthält der folgende Satz (*ὅτι — ἤρτητο*). Vgl. den ähnlichen Satz V 78 *δηλοῖ δὲ οὐ κατ' ἓν μόνον ἀλλὰ πανταχῇ, ἡ ἰσηγορίη ὡς ἐστὶ χρῆμα σπουδαῖον, εἰ καὶ Ἀθηναῖοι — ἀπαλλαχθέντες τυράννων μακρῷ πρῶτοι ἐγένοντο.* Sowol in dieser als an unserer Stelle führt *εἰ καί* (statt eines erwarteten *ἐπεί*) den Beweis ein; durch *εἰ καί* (= *si quidem*) wird derselbe als einer von vielen bezeichnet. Vgl. c. 100.

8. *ἤρτητο*. Vgl. I 125 *ἔστι δὲ τάδε γένεα ἐξ ὧν ὦλλοι πάντες ἠρτέαται Πέρσαι.*

11. *τοσαῦτα* wird durch die beiden Participialsätze (*ἐοῦσα — ἀπέργουσα*) erläutert. Vgl. VII 10 VII *ὁ δὲ ἀπεὼν τοῦ λόγου τάδε ἐν αὐτοῖσι ἀδικέεται; διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου καὶ νομισθεὶς πρὸς τοῦ ἑτέρου κακὸς εἶναι.*

69. 14. *τοὺς Ξέρξεω*. S. z. VIII 16.

15. *φόβῳ*. *φόβος* hat hier wie oft in der Ilias die Bedeutung „schreckvolle Flucht".

16. *τεταγμένοισι περὶ τὸ Ἡραῖον*. S. c. 52.

17. *γέγονε καὶ νικῷεν*. Derselbe Wechsel des Indicativs mit Optativ im abhängigen Satze auch VIII 100. S. z. d. Stelle.

18. *οὐδένα κόσμον ταχθέντες*. S. z. c. 65 (*ἔφευγον οὐδένα κόσμον*).

οἱ ἀμφὶ Κορινθίους, die Korinthier mit ihren Nachbarn in der Schlachtreihe (s. c. 28).

19. *διὰ τῆς ὑπωρέης*. S. c. 56.

τὴν φέρουσαν erg. *ὁδόν*. Den Accus. (*τραπέσθαι ὁδόν*) erkläre nach der fig. etymologica (*ἰέναι*

ρουσαν ἄνω ἰθὺ τοῦ ἱροῦ τῆς Δήμητρος, οἱ δὲ ἀμφὶ Μεγαρέας τε καὶ Φλιασίους διὰ τοῦ πεδίου τὴν λειοτάτην τῶν ὁδῶν. ἐπείτε δὲ ἀγχοῦ τῶν πολεμίων ἐγίνοντο οἱ Μεγαρέες καὶ Φλιάσιοι, ἀπιδόντες σφέας οἱ τῶν Θηβαίων ἱππόται ἐπειγομένους οὐδένα κόσμον ἤλαυνον ἐπ᾽ αὐτοὺς τοὺς ἵππους, τῶν ἱππάρχεε Ἀσωπόδωρος ὁ Τιμάνδρου. ἐσπεσόντες δὲ κατεστόρεσαν αὐτῶν ἑξακοσίους, τοὺς δὲ λοιποὺς κατήραξαν διώκοντες ἐς τὸν Κιθαιρῶνα. Οὗτοι μὲν δὴ ἐν οὐδενὶ λόγῳ ἀπώλοντο, οἱ 70
δὲ Πέρσαι καὶ ὁ ἄλλος ὅμιλος ὡς κατέφυγον ἐς τὸ ξύλινον τεῖχος, ἔφθησαν ἐπὶ τοὺς πύργους ἀναβάντες πρὶν ἢ τοὺς Λακεδαιμονίους ἀπικέσθαι. ἀναβάντες δὲ ἐφράξαντο ὡς ἐδυνέατο ἄριστα τὸ τεῖχος. προσελθόντων δὲ τῶν Λακεδαιμονίων κατεστήκεέ σφι τειχομαχίη ἐρρωμενεστέρη. ἕως μὲν γὰρ ἀπῆσαν οἱ Ἀθηναῖοι, οἱ δ᾽ ἠμύνοντο καὶ πολλῷ πλέον εἶχον τῶν Λακεδαιμονίων ὥστε οὐκ ἐπισταμένων τειχομαχέειν, ὡς δέ σφι οἱ Ἀθηναῖοι προσῆλθον, οὕτω δὴ ἰσχυρὴ ἐγίνετο τειχομαχίη καὶ χρόνον ἐπὶ πολλόν. τέλος δὲ ἀρετῇ τε καὶ λιπαρίῃ ἐπέβησαν Ἀθηναῖοι τοῦ τείχεος καὶ ἤρειπον, τῇ δὴ ἐσεχέοντο οἱ Ἕλληνες. πρῶτοι δὲ ἐσῆλθον Τεγεῆται ἐς τὸ τεῖχος, καὶ τὴν σκηνὴν τὴν Μαρδονίου οὗτοι ἦσαν οἱ διαρπάσαντες, τάτε ἄλλα ἐξ αὐτῆς καὶ τὴν φάτνην τῶν ἵππων ἐοῦσαν χαλκέην πᾶσαν καὶ θέης ἀξίην. τὴν μέν νυν φάτνην ταύτην τὴν Μαρδονίου ἀνέθεσαν ἐς τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης Τεγεῆται, τὰ δὲ ἄλλα ἐς τὠυτὸ, ὅσαπερ ἔλαβον, ἐσήνεικαν τοῖσι Ἕλλησι. οἱ δὲ βάρ-

ὁδόν). — Ueber ἰθύ c. genet. s. z. VIII 38.

4. ἀπιδόντες. S. z. VIII 37.

6. κατεστόρεσαν prostraverunt. Vgl. VIII 53.

8. ἐν οὐδενὶ λόγῳ ἀπώλοντο. Gleichbedeutend wäre die Wendung: τούτων ἀπολλυμένων οὐδεὶς λόγος ἦν. S. z. VIII 102.

Eroberung des persischen Lagers (c. 70—75).

70. 10. ἔφθησαν — ἀναβάντες πρὶν ἤ. Dieselbe Construction VI 116.

12. Λακεδαιμονίων. Man erwartete vielmehr: τῶν Ἀθηναίων.

13. κατεστήκεε. Vgl. I 31 τοῖσι μὲν δὴ κατεστήκεε πολιορκίη.

ἕως μέν — οἱ δέ. S. z. c. 6.

14. πλέον εἶχον τῶν Λακεδαιμονίων. πλέον ἔχειν τινός, Vortheil über Jemanden haben. Das Gegentheil ἔλασσον ἔχειν c. 102. Vgl. VIII 29 πλέον αἰεί κοτε ὑμέων ἐφερόμεθα.

15. ὥστε mit Particip wie c. 37. οὐκ ἐπισταμένων τειχομαχέειν, was sich auch im dritten messenischen Kriege zeigte.

17. τέλος adverbial wie VIII 74. ἀρετή und λιπαρίη verbunden auch c. 21.

20. τάτε ἄλλα ἐξ αὐτῆς καὶ τὴν φάτνην hängt noch von διαρπάσαντες ab, aus welchem Particip man leicht ἁρπάσαντες ergänzt.

23. τῆς Ἀλέης Ἀθηναίης. Das höchste Heiligtum der Aleischen Athene war in Tegĕa. Näheres zu I 66.

24. ἐς τὠυτό verb. mit τοῖσι Ἕλλησι „an denselben Ort, an welchen

βαροι οὐδὲν ἔτι στῖφος ἐποιήσαντο πεσόντος τοῦ τείχεος οὔτε τις αὐτῶν ἀλκῆς ἐμέμνητο, ἀλύκταζόν τε οἷα ἐν ὀλίγῳ χώρῳ πεφοβημένοι τε καὶ πολλαὶ μυριάδες κατειλημέναι ἀνθρώπων. παρῆν τε τοῖσι Ἕλλησι φονεύειν οὕτω ὥστε τριήκοντα μυριάδων στρατοῦ, καταδεουσέων τεσσέρων, τὰς ἔχων Ἀρτάβαζος ἔφευγε, τῶν λοιπῶν μηδὲ τρεῖς χιλιάδας περιγενέσθαι. Λακεδαιμονίων δὲ τῶν ἐκ Σπάρτης ἀπέθανον οἱ πάντες ἐν τῇ συμβολῇ εἷς καὶ ἐνενήκοντα, Τεγεητέων δὲ ἑκκαίδεκα, Ἀθηναίων δὲ δύο καὶ πεντήκοντα.

71 *Ἠρίστευσε δὲ τῶν βαρβάρων πεζὸς μὲν ὁ Περσέων, ἵππος δὲ ἡ Σακέων, ἀνὴρ δὲ λέγεται Μαρδόνιος· Ἑλλήνων δὲ, ἀγαθῶν γενομένων καὶ Τεγεητέων καὶ Ἀθηναίων, ὑπερ-*

die übrigen Hellenen ihre Beute gebracht hatten.“ Ueber *ὁ αὐτός* c. dat. s. z. VIII 22.

2. *ἀλκῆς ἐμέμνητο.* Homerische Wendung („*μνήσασθε δὲ θούριδος ἀλκῆς*“).

ἀλυκτάζειν in banger Furcht schweben wol nur hier. Stammverwandt sind *ἀλυκτέω, ἀλυκταίνω, ἀλαλύκτημαι* u. a.

οἷα πεφοβημένοι. οἷα mit Partic. wie VIII 59.

4. *παρῆν τε τοῖσι Ἕλλησι.* Häufig findet sich in dieser Bedeutung das Particip. Vgl. VI 137 *παρεὸν αὐτοῖσι ἀποκτεῖναι τοὺς Πελασγούς.*

5. *καταδεουσέων* gehört zu *μυριάδων*, während *τεσσέρων* von *καταδεουσέων* abhängt.

τὰς ἔ. Ἀρτ. ἔφευγε. S. c. 66.

6. *μηδὲ τρεῖς χιλ. περιγενέσθαι.* Ueber den ungeheuren Verlust der Perser bei Plataeae vgl. Aesch. Pers. 816 ff.

τόσος γὰρ ἔσται πέλανος αἱματοσταγὴς
πρὸς γῆν Πλαταιῶν, Δωρίδος λόγχης ὕπο·
θῖνες δὲ νεκρῶν καὶ τριτοσπόρῳ γονῇ
ἄφωνα σημανοῦσιν ὄμμασι βροτῶν,
ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φωνεῖν.

7. *τῶν ἐκ Σπάρτης* von den Spartiaten. Die gefallenen Periöken und Heloten sind also nicht gerechnet.

οἱ πάντες. Vgl. III 66 *ἐβασίλευσε τὰ πάντα ἑπτὰ ἔτεα καὶ μῆνας πέντε.*—„Plutarch (vit. Arist. c. 19) wundert sich, dasz nach Herodot nur die Lakedaemonier, Tegeaten und Athener mit den Persern handgemein geworden wären, da man doch sonst her wisse (Plut. Arist. c. 19), dasz im Ganzen 1360 Hellenen gefallen seien. Allein rechnet man zu den in unserem Capitel angegebenen Zahlen (in Summe 159) die 600 Megarer und Phliasier, die nach dem vorigen Capitel durch die Reiterei umkamen (Summe 759), und dazu noch eine verhältnismäsige Zahl von den Periöken und Heloten, welche die Lakedaemonier verloren, so wird sich — zumal der Verlust an Heloten, als leicht Bewaffneten, die den Pfeilen der Perser am meisten blos standen, sicherlich der grösste war — leicht jene Summe von 1360 Mann zusammenfinden, ohne dasz man, gegen Herodots Zeugnis, die übrigen Griechen an der Schlacht theilnehmen läszt.“ (So Diodor. XI 33).

71. 11. *Σακέων.* Ueber sie s. z. III 93.

ἀνήρ hier in prägnanter Bedeutung.

12. *ἀγαθῶν γενομένων.* Vgl. VI 114 *καὶ ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός.*

ὑπερβάλλεσθαι steht in gleicher absoluter Bedeutung VIII 123.

εβάλοντο ἀρετῇ Λακεδαιμόνιοι. ἄλλῳ μὲν οὐδενὶ ἔχω ἀποσημήνασθαι (ἅπαντες γὰρ οὗτοι τοὺς κατ' ἑωυτοὺς ἐνίκεον), ὅτι δὲ κατὰ τὸ ἰσχυρότατον προσηνείχθησαν καὶ τούτων ἐκράτησαν. καὶ ἄριστος ἐγένετο μακρῷ Ἀριστόδημος κατὰ γνώμας τὰς ἡμετέρας, ὃς ἐκ Θερμοπυλέων μοῦνος τῶν τριηκοσίων σωθεὶς εἶχε ὄνειδος καὶ ἀτιμίην. μετὰ δὲ τοῦτον ἠρίστευσαν Ποσειδώνιός τε καὶ Φιλοκύων καὶ Ἀμομφάρετος Σπαρτιήτης. καίτοι γενομένης λέσχης ὃς γένοιτο αὐτῶν ἄριστος, ἔγνωσαν οἱ παραγενόμενοι Σπαρτιητέων Ἀριστόδημον μὲν βουλόμενον φανερῶς ἀποθανεῖν ἐκ τῆς παρεούσης οἱ αἰτίης, λυσσέοντά τε καὶ ἐκλιπόντα τὴν τάξιν ἔργα ἀποδέξασθαι μεγάλα, Ποσειδώνιον δὲ οὐ βουλόμενον ἀποθνήσκειν ἄνδρα γενέσθαι ἀγαθόν· τοσούτῳ τοῦτον εἶναι ἀμείνω. ἀλλὰ ταῦτα μὲν καὶ φθόνῳ ἂν εἴποιεν, οὗτοι δὲ τοὺς κατέλεξα πάντες, πλὴν Ἀριστοδήμου, τῶν ἀποθανόντων ἐν ταύτῃ τῇ μάχῃ, τίμιοι ἐγένοντο, Ἀριστόδημος δὲ βουλόμενος ἀποθανεῖν διὰ τὴν προειρημένην αἰτίην
οὐκ ἐτιμήθη. Οὗτοι μὲν τῶν ἐν Πλαταιῇσι οὐνομαστότατοι 72
ἐγένοντο. Καλλικράτης γὰρ ἔξω τῆς μάχης ἀπέθανε, ἐλθὼν ἀνὴρ κάλλιστος ἐς τὸ στρατόπεδον τῶν τότε Ἑλλήνων, οὐ μοῦνον αὐτῶν Λακεδαιμονίων, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων, ὃς,

1. *ἄλλῳ μὲν οὐδενί* nullo alio argumento.

2. *τοὺς κατ' ἑωυτούς*. Zur Bedeutung von *κατά* s. z. VIII 85.

ὅτι δέ. Nach *ἄλλῳ οὐδενί* erwarteten wir eigentlich *ἢ ὅτι*. Nach *ὅτι δέ* ist als Nachsatz zu ergänzen: (*Λακεδαιμονίους ἀρετῇ ὑπερβαλέσθαι*) *ἔχω ἀποσημήνασθαι*. Vgl. die ähnliche Satzfügung III 154 *ἄλλῳ μὲν οὐκ ἐφράζετο ἔργῳ δυνατὸς εἶναι Βαβυλῶνα ὑποχειρίην ποιῆσαι, εἰ δὲ ἑωυτὸν λωβησάμενος αὐτομολήσειε ἐς αὐτούς* (erg. *ἐφράζετο ὑποχειρίην μιν ποιῆσαι*).

3. *κατὰ τὸ ἰσχυρότατον*, die Perser. Das substantivierte Neutrum hier wie c. 61 metonymisch für das Masculinum gebraucht. Zur Sache vgl. c. 63: *ὡς δὲ Μαρδόνιος ἀπέθανε καὶ τὸ περὶ ἐκεῖνον τεταγμένον ἐὸν ἰσχυρότατον ἔπεσε*.

4. *κατὰ γνώμας τὰς ἡμετέρας*. Derselbe Plural IV 53. Gewöhnlicher der Singular (II 26. V 3).

6. *εἶχε ὄνειδος*. S. VII 229.

8. *ὅς*. Relativum statt des indirecten Fragepronomens auch VIII 40.

10. *ἐκ*. Die temporale Bedeutung von *ἐκ* (= in Folge) streift oft an die causale. Wie hier VI 50. 65 und unten c. 75.

11. *ἀποδέξασθαι ἔργα μεγάλα*. S. z. VIII 17.

12. *ἄνδρα γενέσθαι ἀγαθόν*. S. ob. S. 164, 12.

13. *ταῦτα μὲν — εἴποιεν*. Durch den Optativ des Aorists (auch des Praesens) mit *ἄν* wird öfter eine Vermutung über etwas Vergangenes ausgesprochen. Ganz wie hier VII 180 *τάχα δ' ἄν τι καὶ τοῦ ὀνόματος ἐπαύροιτο* „vielleicht mag er es auch seinem Namen zu verdanken gehabt haben."

15. *τῶν ἀποθανόντων* hängt von *οὗτοι* ab.

72. 19. *ἀνὴρ κάλλιστος*. Vgl. Hom. Il. II 672 *Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν*.

ἐπειδὴ ἐσφαγιάζετο Παυσανίης, κατήμενος ἐν τῇ τάξι ἐτρωματίσθη τοξεύματι τὰ πλευρά. καὶ δὴ οἳ μὲν ἐμάχοντο, ὃ δ' ἐξενηνειγμένος ἐδυσθανάτεέ τε καὶ ἔλεγε πρὸς Ἀρίμνηστον, ἄνδρα Πλαταιέα οὐ μέλειν οἱ ὅτι πρὸ τῆς Ἑλλάδος ἀποθνήσκει, ἀλλ' ὅτι οὐκ ἐχρήσατο τῇ χειρὶ καὶ ὅτι οὐδέν ἐστί οἱ ἀποδεδεγμένον ἔργον ἑωυτοῦ ἄξιον προθυμεομένου ἀποδέξασθαι.

73 Ἀθηναίων δὲ λέγεται εὐδοκιμῆσαι Σωφάνης ὁ Εὐτυχίδεω, ἐὼν δήμου Δεκελειῆθεν, Δεκελέων δὲ τῶν κοτὲ ἐργασαμένων ἔργον χρήσιμον ἐς τὸν πάντα χρόνον, ὡς αὐτοὶ Ἀθηναῖοι λέγουσι. ὡς γὰρ δὴ τὸ πάλαι κατὰ Ἑλένης κομιδὴν Τυνδαρίδαι ἐσέβαλον ἐς γῆν τὴν Ἀττικὴν σὺν στρατοῦ πλήθεϊ καὶ ἀνίστασαν τοὺς δήμους, οὐκ εἰδότες ἵνα ὑπεξεκέετο ἡ Ἑλένη, τότε λέγουσι τοὺς Δεκελέας, οἳ δὲ αὐτὸν Δέκελον ἀχθόμενόν τε τῇ Θησέος ὕβρι καὶ δειμαίνοντα περὶ πάσῃ τῇ Ἀθηναίων χώρῃ, ἐξηγησάμενόν σφι τὸ πᾶν πρῆγμα κατηγήσασθαι ἐπὶ τὰς Ἀφίδνας, τὰς δὴ Τιτακὸς ἐὼν αὐτόχθων καταπροδιδοῖ Τυνδαρίδῃσι. τοῖσι δὲ Δεκελεῦσι ἐν Σπάρτῃ ἀπὸ τούτου τοῦ ἔργου ἀτέ-

1. κατήμενος ἐν τῇ τάξι. Er hatte sich, wie dies nach griechischer Sitte nicht ungewöhnlich war, in der Schlachtreihe neben seinen Waffen niedergesetzt. Vgl. Plut. Arist. c. 17.

3. Ἀρίμνηστος war nach Plut. Arist. c. 11 Schlachtanführer der Plataeer.

5. οἱ Dativ beim Passiv.

73. 7. ἐὼν δήμου Δεκελειῆθεν eig. dem Gaue von Dekeleia her angehörig. Zum Genetiv bei εἶναι vgl. unt. c. 74 u. V 92 δήμου ἐὼν ἐκ Πέτρης. Dem ἐκ Πέτρης entspricht an unserer Stelle Δεκελειῆθεν (eig. von Dekeleia her), wofür wir das Adjectiv erwarteten.

8. Δεκελέων δέ (vom Nominativ Δεκελεύς). Wie hier die Einwohner (Δεκελέες) für die Stadt gesetzt sind — wir erwarteten Δεκελείης δέ wegen des vorangegangenen Δεκελειῆθεν — so ist umgekehrt unten c. 92 der Name der Stadt (Ἀπολλωνίη) für die Einwohner (nach Ἀπολλωνιήτεω) gesetzt. Vgl. auch I 162. V 63. — Zum epanaleptischen Gebrauche von δέ (= und zwar) vgl. II 134 Ῥοδῶπις δούλη ἦν Ἰάδμονος, ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰσώπου τοῦ λογοποιοῦ.

9. ἐς τὸν πάντα χρόνον. S. z. VIII 140.

10. κατὰ Ἑλ. κομιδήν um die von Theseus geraubte Helena wiederzuholen. — Ueber die ziemlich junge Sage vom Raube der Helena durch Theseus und deren Befreiung durch ihre Brüder, die Tyndariden od. Dioskuren (s. z. V 75) vgl. Preller gr. Mythol. II 112 ff.

11. ἀνίστασαν sedibus expulerunt.

ὑπεξεκέετο. S. z. VIII 41.

13. οἳ δὲ (erg. λέγουσι) andere aber auch.

Δέκελον, der mythische König der Dekeleer. Nach einer späteren Sage war es Akademos, welcher den Dioskuren den Aufenthalt der Helena in der festen Stadt Aphidnae (s. z. VIII 125) verriet (Plut. Thes. c. 31—33).

15. κατηγήσασθαι. κατηγέεσθαι hier in erster Bedeutung (= Führer sein) wie VII 130. 215.

17. ἀτέλεια und προεδρίη auch verbunden I 54. Waren Dekeleer in Sparta ansässig, so waren sie frei von Gemeindeabgaben und erhielten Ehrenplätze bei öffentlichen Spielen.

λειά τε καὶ προεδρίη διατελέει ἐς τόδε αἰεὶ ἔτι ἐοῦσα, οὕτω
ὥστε καὶ ἐς τὸν πόλεμον τὸν ὕστερον πολλοῖσι ἔτεσι τούτων
γενόμενον Ἀθηναίοισί τε καὶ Πελοννησίοισι σινομένων τὴν
ἄλλην Ἀττικὴν Λακεδαιμονίων, Δεκελείης ἀποσχέσθαι. Τού- 74
του τοῦ δήμου ἐὼν ὁ Σωφάνης καὶ ἀριστεύσας τότε Ἀθηναίων,
διξοὺς λόγους λεγομένους ἔχει, τὸν μὲν ὡς ἐκ τοῦ ζωστῆρος
τοῦ θώρηκος ἐφόρεε χαλκέῃ ἁλύσι δεδεμένην ἄγκυραν σιδη-
ρέην, τὴν ὅκως πελάσειε ἀπικνεόμενος τοῖσι πολεμίοισι βαλλέ-
σκετο, ἵνα δή μιν οἱ πολέμιοι ἐκπίπτοντες ἐκ τῆς τάξιος μετα-
κινῆσαι μὴ δυναίατο· γινομένης δὲ φυγῆς τῶν ἐναντίων ἐδέ-
δοκτο τὴν ἄγκυραν ἀναλαβόντα οὕτω διώκειν. οὗτος μὲν οὕτω
λέγεται, ὁ δ' ἕτερος τῶν λόγων τῷ πρότερον λεχθέντι ἀμφισβα-
τέων λέγεται, ὡς ἐπ' ἀσπίδος αἰεὶ περιθεούσης καὶ οὐδαμὰ
ἀτρεμιζούσης ἐφόρεε ἐπίσημον ἄγκυραν, καὶ οὐκ ἐκ τοῦ θώ-
ρηκος δεδεμένην σιδηρέην. Ἔστι δὲ καὶ ἕτερον Σωφάνεϊ λαμ- 75
πρὸν ἔργον ἐξεργασμένον, ὅτι περικατημένων Ἀθηναίων Αἴγι-
ναν Εὐρυβάτην τὸν Ἀργεῖον, ἄνδρα πεντάεθλον, ἐκ προκλή-

1. ἐς τόδε bis auf den heutigen Tag. Vgl. VII 123 ἡ δὲ τούτων χώρη ἔτι καὶ ἐς τόδε καλέεται. — Auch in ἐς τὸν πόλεμον bezeichnet ἐς nicht blos die Grenze, sondern auch die Fortdauer über den genannten Zeitraum hin. Gemeint ist der peloponnesische Krieg. Nach Herodots Angabe verschonten also die Spartaner bei ihren wiederholten Einfällen in Attika zu Anfang des genannten Kriegs den Demos Dekelea, was Thukydides freilich nicht ausdrücklich bestätigt. Später im sogen. dekeleischen Kriege (413 v. Chr.), als die Spartaner den Ort Dekelea zum Stützpunkt ihrer Operationen machten, nahmen sie schwerlich diese Rücksicht auf die mythische Verbindung zwischen Dekelea und Sparta. Herodot erlebte dies nicht mehr.

74. 4. τούτου τοῦ δήμου ἐών. S. z. c. 73.

6. διξοὺς λόγ. λεγομένους ἔχει „man hört zweierlei Sagen von ihm.“ Zur Wendung vgl. V 66 ὃς λόγον ἔχει τὴν Πυθίην ἀναπεῖσαι.

ἐκ τοῦ ζωστῆρος. Zur Bedeutung von ἐκ vgl. IV 10 φιαλὰς ἐκ τῶν ζωστήρων φορέουσι οἱ Σκύθαι.

8. ὅκως c. opt. in iterativer Bedeutung. S. z. VIII 52.

τοῖσι πολεμίοισι verb. mit πελάσειε.

βαλλέσκετο auszuwerfen pflegte näml. um sich an die Erde zu befestigen.

9. ἐκ τῆς τάξιος verb. mit ἐκπίπτοντες.

10. ἐδέδοκτο. S. z. c. 60.

11. οὕτω hebt den Begriff des vorangegangenen Particips nachdrücklich hervor.

13. αἰεὶ περιθ. κ. οὐδ. ἀτρεμιζούσης durch die beständige Kreisbewegung des Schildes wurde den Feinden das sichere Zielen sehr erschwert.

14. ἐπίσημον. S. z. VIII 88.

75. 16. περικατημένων — Αἴγιναν. Die Kämpfe zwischen Athen und Aigina fallen kurz vor den Ausbruch des ersten persischen Kriegs. Vgl. VI 92. Dort heiszt es von dem auch an unserer Stelle erwähnten Eurybates: πεντάεθλον ἐπασκήσας. Vgl. noch c. 33.

17. ἐκ προκλήσιος. Zur Bedeutung von ἐκ s. z. c. 71.

σιος ἐφόνευσε. αὐτὸν δὲ Σωφάνεα χρόνῳ ὕστερον τούτων κατέλαβε ἄνδρα γενόμενον ἀγαθὸν, Ἀθηναίων στρατηγέοντα ἅμα Λεάγρῳ τῷ Γλαύκωνος, ἀποθανεῖν ὑπὸ Ἠδωνῶν ἐν Δάτῳ περὶ τῶν μετάλλων τῶν χρυσέων μαχόμενον.

76 Ὡς δὲ τοῖσι Ἕλλησι ἐν Πλαταιῇσι κατέστρωντο οἱ βάρβαροι, ἐνθαῦτά σφι ἐπῆλθε γυνὴ αὐτόμολος, ἣ ἐπειδὴ ἔμαθε ἀπολωλότας τοὺς Πέρσας καὶ νικέοντας τοὺς Ἕλληνας, ἐοῦσα παλλακὴ Φαρανδάτεος τοῦ Τεάσπιος ἀνδρὸς Πέρσεω, κοσμησαμένη χρυσῷ πολλῷ καὶ αὐτὴ καὶ αἱ ἀμφίπολοι καὶ ἐσθῆτι τῇ καλλίστῃ τῶν παρεουσέων, καταβᾶσα ἐκ τῆς ἁρμαμάξης ἐχώρεε ἐς τοὺς Λακεδαιμονίους ἔτι ἐν τῇσι φονῇσι ἐόντας, ὁρέουσα δὲ πάντα ἐκεῖνα διέποντα Παυσανίην, πρότερόν τε τὸ οὔνομα ἐξεπισταμένη καὶ τὴν πάτρην ὥστε πολλάκις ἀκούσασα, ἔγνω τε τὸν Παυσανίην καὶ λαβομένη τῶν γουνάτων ἔλεγε τάδε· Ὦ βασιλεῦ Σπάρτης, ῥῦσαί με τὴν ἱκέτιν αἰχμαλώτου

2. *κατέλαβε — ἀποθανεῖν.* Vgl. III 118. *Ἰνταφέρνεα κατέλαβε ὑβρίσαντα τάδε ἀποθανεῖν αὐτίκα.* Zur Bedeutung von *καταλαμβάνειν* s. z. VIII 6. — *ἀποθανεῖν ὑπό* wegen des in *ἀποθανεῖν* enthaltenen passiven Begriffs. S. z. VIII 16.
ἄνδρα γενόμενον ἀγαθόν. S. z. c. 71.
3. *ὑπὸ Ἠδωνῶν.* Ueber die Wohnsitze der Edonen s. z. V 124.
Δάτῳ. Daton hiesz der wegen seines Reichtums an Gold- und Silberminen sprichwörtlich gewordene Küstenstrich (mit gleichnamiger Stadt) an der Mündung des Strymon (der Insel Thasos gegenüber). Vgl. Strab. 331. 336 *παρὰ δὲ παραλίαν τοῦ Στρυμόνος καὶ Δατηνῶν πόλις Νεάπολις καὶ τὸ Δάτον, εὔκαρπα πεδία καὶ λίμνην καὶ ποταμοὺς καὶ ναυπήγια καὶ χρυσεῖα λυσιτελῆ ἔχον, ἀφ' οὗ καὶ παροιμιάζονται „Δάτον ἀγαθῶν" ὡς καὶ „ἀγαθῶν ἀγαθῖδες".* — Thukydides, welcher ebenfalls diese Niederlage der Athener erwähnt, nennt als Ort der Schlacht das unweit von Daton gelegene Drabeskon. Vgl. Thuk. I 100. IV 102 *οἱ Ἀθηναῖοι ἐποίκους μυρίους σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλόμενον πέμψαντες (ἐπείρασαν κατοικίσαι Ἀμφίπολιν), οἳ διεφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν.* Es fällt diese Niederlage der Athener in die nächste Zeit nach Kimons Erfolgen an jener Küste, wahrscheinlich fünf Jahre nach der Eroberung der Feste Eion am Strymon (470), der ersten Waffentat Kimons, durch welche die Macht der Athener in jenen Gegenden einen festen Stützpunkt gewann. Vgl. Weissenborn Hellenic. p. 142. 146.

Pausanias und die Koërin. Die Mantineer und Eleer. Pausanias und Lampon. Verteilung der Beute. Bestattung des Mardonios und der bei Plataeae gefallenen Hellenen (c. 76—85).

76. 5. *κατέστρωντο.* S. z. c. 69.
8. *Φαρανδάτης* nach VII 79 erwähnt.
10. *ἁρμάμαξα*, ein bedeckter Reisewagen (besonders für Frauen). Vgl. VII 83. *ἅμαξα* ist meist ein Lastwagen, *ἅρμα* ein Streitwagen.
11. *φονῇσι.* Ueber den dichterischen Plural vgl. Hom. Il. X 521 *ὡς ἴδε ἄνδρας τ' ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσι ᾤμωξέν τ' ἄρ' ἔπειτα.*
13. *ὥστε* mit Particip wie c. 70.
15. *βασιλεῦ.* Genauer gesprochen war Pausan. nur Vormund des jungen Königs Pleistarch (c. 10).
ῥῦσαι — δουλοσύνης. In glei-

δουλοσύνης. σὺ γὰρ καὶ ἐς τόδε ὤνησας τούσδε ἀπολέσας τοὺς
οὔτε δαιμόνων οὔτε θεῶν ὄπιν ἔχοντας. εἰμὶ δὲ γένος μὲν
Κῴη, θυγάτηρ δὲ Ἡγητορίδεω τοῦ Ἀνταγόρεω. βίῃ δέ με λα-
βὼν ἐν Κῷ εἶχε ὁ Πέρσης. Ὁ δὲ ἀμείβεται τοισίδε· Γύναι,
θάρσεε καὶ ὡς ἱκέτις, καὶ εἰ δὴ πρὸς τούτῳ τυγχάνεις ἀληθέα
λέγουσα καὶ εἶς θυγάτηρ Ἡγητορίδεω τοῦ Κῴου, ὃς ἐμοὶ ξεῖνος
μάλιστα τυγχάνει ἐὼν τῶν περὶ ἐκείνους τοὺς χώρους οἰκημέ-
νων. Ταῦτα εἴπας τότε μὲν ἐπέτρεψε τῶν ἐφόρων τοῖσι παρ-
εοῦσι, ὕστερον δὲ ἀπέπεμψε ἐς Αἴγιναν, ἐς τὴν αὐτὴ ἤθελε
ἀπικέσθαι. Μετὰ δὲ τὴν ἄπιξιν τῆς γυναικὸς αὐτίκα μετὰ 77
ταῦτα ἀπίκοντο Μαντινέες ἐπ' ἐξεργασμένοισι· μαθόντες δὲ
ὅτι ὕστεροι ἥκουσι τῆς συμβολῆς, συμφορὴν ἐποιεῦντο μεγά-
λην ἄξιοί τε ἔφασαν εἶναι σφέας ζημιῶσαι. πυνθανόμενοι δὲ
τοὺς Μήδους τοὺς μετ' Ἀρταβάζου φεύγοντας, τούτους ἐδίω-
κον μέχρι Θεσσαλίης· Λακεδαιμόνιοι δὲ οὐκ ἔων φεύγοντας
διώκειν. οἱ δὲ ἀναχωρήσαντες ἐς τὴν ἑωυτῶν τοὺς ἡγεμόνας
τῆς στρατιῆς ἐδίωξαν ἐκ τῆς γῆς. μετὰ δὲ Μαντινέας ἧκον
Ἠλεῖοι, καὶ ὡσαύτως οἱ Ἠλεῖοι τοῖσι Μαντινεῦσι συμφορὴν
ποιησάμενοι ἀπαλλάσσοντο· ἀπελθόντες δὲ καὶ οὗτοι τοὺς ἡγε-
μόνας ἐδίωξαν. Τὰ κατὰ Μαντινέας μὲν καὶ Ἠλείους τοσαῦτα, 78
ἐν δὲ Πλαταιῇσι ἐν τῷ στρατοπέδῳ τῶν Αἰγινητέων ἦν Λάμ-
πων ὁ Πυθέω, Αἰγινητέων τὰ πρῶτα, ὃς ἀνοσιώτατον ἔχων

chem Sinne ist ῥύεσθαι mit ἐκ verbunden c. 90 ῥύσασθαι ἄνδρας ἐκ δουλοσύνης.

1. ἐς τόδε „so weit“.

ὤνησας — ἀπολέσας. Zur Construction vgl. Xen. Anab. V 9, 32 Ξενοφῶντα ὠνήσατε οὐχ ἑλόμενοι.

2. ὄπιν — ἔχοντας. Dieselbe Wendung VIII 143.

6. ξεῖνος μάλιστα. Vgl. VIII 79 ἐχθρὸς τὰ μάλιστα (s. z. Stelle).

7. οἰκημένων. S. z. VIII 47.

8. τῶν ἐφόρων τοῖσι παρεοῦσι. Zwei der Ephoren folgten dem Könige in den Krieg, um auch dort das ihnen zustehende Oberaufsichtsrecht auszuüben. Vgl. Xen. Hellen. II 4, 36 u. Xen. Rep. Lac. XIII 5.

77. 11. ἐπ' ἐξεργασμένοισι. S. z. VIII 94.

12. συμφορὴν ἐποιεῦντο. S. z. VIII 10.

14. μετ' Ἀρταβάζου. S. c. 66. ἐδίωκον de conatu.

15. οὐκ ἔων vetabant. S. z. VIII 36.

17. ἐδίωξαν ἐκ τῆς γῆς patria expulerunt. Vgl. V 92 V Κύψελος πολλοὺς μὲν Κορινθίων ἐδίωξε, πολλοὺς δὲ χρημάτων ἐστέρησε.

18. τοῖσι Μαντινεῦσι hängt von ὡσαύτως ab. S. z. VIII 22 (ὁ αὐτός).

78. 20. τοσαῦτα erg. ἐγένετο. S. z. c. 18.

21. Λάμπων ὁ Πυθέω. Lampon war ein Sohn des auch VII 181 u. VIII 92 erwähnten Pytheas.

22. Αἰγινητέων τὰ πρῶτα. Dieselbe Verbindung VI 100 ἐὼν τῶν Ἐρετριέων τὰ πρῶτα. Vgl. III 157 πάντα ἦν ἐν τοῖσι Βαβυλωνίοισι Ζώπυρος.

λόγον ἵετο πρὸς Πανσανίην, ἀπικόμενος δὲ σπουδῇ ἔλεγε τάδε· Ὦ παῖ Κλεομβρότου, ἔργον ἔργασταί τοι ὑπερφυὲς μέγαθός τε καὶ κάλλος, καί τοι θεὸς παρέδωκε ῥυσάμενον τὴν Ἑλλάδα κλέος καταθέσθαι μέγιστον Ἑλλήνων τῶν ἡμεῖς ἴδμεν. σὺ δὲ καὶ τὰ λοιπὰ τὰ ἐπὶ τούτοισι ποίησον, ὅκως λόγος τέ σε ἔχῃ ἔτι μέζων καί τις ὕστερον φυλάσσηται τῶν βαρβάρων μὴ ὑπάρχειν ἔργα ἀτάσθαλα ποιέων ἐς τοὺς Ἕλληνας. Λεωνίδεω γὰρ ἀποθανόντος ἐν Θερμοπύλῃσι Μαρδόνιός τε καὶ Ξέρξης ἀποταμόντες τὴν κεφαλὴν ἀνεσταύρωσαν. τῷ σὺ τὴν ὁμοίην ἀποδιδοὺς ἔπαινον ἕξεις πρῶτα μὲν ὑπὸ πάντων Σπαρτιητέων, αὖτις δὲ καὶ πρὸς τῶν ἄλλων Ἑλλήνων. Μαρδόνιον γὰρ ἀνασκολοπίσας τετιμωρήσεαι ἐς πάτρων τὸν σὸν Λεωνίδην. Ὁ μὲν δοκέων χαρίζεσθαι ἔλεγε τάδε, ὁ δ' ἀνταμείβετο τοισίδε·

79 Ὦ ξεῖνε Αἰγινῆτα, τὸ μὲν εὐνοέειν τε καὶ προορᾶν ἄγαμαί σευ, γνώμης μέντοι ἡμάρτηκας χρηστῆς. ἐξαείρας γάρ με ὑψοῦ καὶ τὴν πάτρην καὶ τὸ ἔργον, ἐς τὸ μηδὲν κατέβαλες παραινέων νεκρῷ λυμαίνεσθαι, καὶ ἢν ταῦτα ποιέω, φὰς ἄμεινόν με ἀκούσεσθαι. τὰ πρέπει μᾶλλον βαρβάροισι ποιέειν ἤπερ Ἕλλησι· καὶ ἐκείνοισι δὲ ἐπιφθονέομεν. ἐγὼ δ' ὦν τούτου εἵνεκεν μήτε

1. λόγος „Vorschlag."
ἵετο festinabat. Vgl. im Folg. ἀπικόμενος σπουδῇ.

2. μέγαθός τε καὶ κάλλος sind Accusative des Bezugs.

3. παραδιδόναι mit Infinitiv auch VIII 24.

4. κλέος καταθέσθαι auch VII 220. Vgl. Thuk. IV 187 ἀγωνίσασθε ἀΐδιον δόξαν καταθέσθαι. Ueber die Bedeutung von κατατίθεσθαι in dieser u. ähnl. Verbindung s. z. c. 60.

5. λόγος τέ σε ἔχῃ. Dieselbe Wendung in gleichem Sinne VII 5 ἵνα λόγος τέ σε ἔχῃ πρὸς ἀνθρώπων ἀγαθός. Eine andere Bedeutung hat die Wendung λόγον τὶς ἔχει c. 84.

6. τὶς. S. z. VIII 109. — Ueber μή nach φυλάσσηται s. z. VIII 111.

7. ὑπάρχειν — ποιέων. ὑπάρχειν mit Particip. auch VII 5 οἳ ὑπῆρξαν ἄδικα ποιεῦντες.

9. ἀνεσταύρωσαν. Zur Sache vgl. VII 238.
τὴν ὁμοίην (erg. δόσιν) ἀποδιδούς. Figura etymologica. Ganz wie hier IV 119. VI 62.

12. πάτρων. S. c. 10.

79. 14. ἄγαμαι mit Genetiv der Person und Accusativ der Sache nach VIII 144 construiert.

16. ἐς τὸ μηδέν. Vgl. I 32 ἡ ἡμετέρη εὐδαιμονίη οὕτω ἀπέρριπται ἐς τὸ μηδέν.

17. λυμαίνεσθαι wie hier mit Dativ verbunden III 16, mit Accusativ VIII 28.

19. καὶ — δέ. Auf dem zwischen καί und δέ eingeschobenen Worte liegt stets der Ton. Wie hier IV 105.
τούτου εἵνεκεν. ἕνεκα findet sich auch bei andern Schriftstellern in der Bedeutung „was anlangt", „so viel davon abhängt". Hier ist demnach der Sinn: Um diesen Preis (näml. durch die Mishandlung eines Todten) wünsche ich nicht meine Beliebtheit bei den Aigineten zu erkaufen. Zur Bedeutung vgl. III 122 εἵνεκέν τε χρημάτων ἄρξεις ἁπάσης τῆς Ἑλλάδος „was die Schätze anlangt oder wenn es von den Schätzen abhängt" u. s. w.

Αἰγινήτῃσι ἅδοιμι μήτε τοῖσι ταῦτα ἀρέσκεται, ἀποχρᾷ δέ μοι Σπαρτιήτῃσι ἀρεσκόμενον ὅσια μὲν ποιέειν, ὅσια δὲ καὶ λέγειν. Λεωνίδῃ δὲ, τῷ με κελεύεις τιμωρῆσαι, φημὶ μεγάλως τετιμωρῆσθαι, ψυχῇσί τε τῇσι τῶνδε ἀναριθμήτοισι τετίμηται αὐτός τε καὶ οἱ ἄλλοι οἱ ἐν Θερμοπύλῃσι τελευτήσαντες. σὺ μέντοι ἔτι ἔχων λόγον τοιόνδε μήτε προσέλθῃς ἔμοιγε μήτε συμβουλεύσῃς, χάριν τε ἴσθι ἐὼν ἀπαθής.

Ὁ μὲν ταῦτα ἀκούσας ἀπαλλάσσετο, Πανσανίης δὲ κή- 80
ρυγμα ποιησάμενος μηδένα ἅπτεσθαι τῆς ληΐης, συγκομίζειν ἐκέλευσε τοὺς εἵλωτας τὰ χρήματα. οἱ δὲ ἀνὰ τὸ στρατόπεδον σκιδνάμενοι εὕρισκον σκηνὰς κατεσκευασμένας χρυσῷ καὶ ἀργύρῳ, κλίνας τε ἐπιχρύσους καὶ ἐπαργύρους, κρητῆράς τε χρυσέους καὶ φιάλας τε καὶ ἄλλα ἐκπώματα. σάκκους τε ἐπ᾽ ἁμαξέων εὕρισκον, ἐν τοῖσι λέβητες ἐφαίνοντο ἐνεόντες χρύσεοί τε καὶ ἀργύρεοι· ἀπό τε τῶν κειμένων νεκρῶν ἐσκύλευον ψέλιά τε καὶ στρεπτοὺς καὶ τοὺς ἀκινάκας ἐόντας χρυσέους, ἐπεὶ ἐσθῆτός γε ποικίλης λόγος ἐγίνετο οὐδὲ εἷς. ἐνθαῦτα πολλὰ μὲν κλέπτοντες ἐπώλεον πρὸς τοὺς Αἰγινήτας οἱ εἵλωτες, πολλὰ δὲ καὶ ἀπεδείκνυσαν, ὅσα αὐτῶν οὐκ οἷά τε ἦν κρύψαι· ὥστε Αἰγινήτῃσι οἱ μεγάλοι πλοῦτοι ἀρχὴν ἐνθεῦτεν ἐγένοντο, οἳ

2. *ἀρεσκόμενον*, Accusativ auf einen Dativ bezogen wie VIII 24 und ob. c. 78.

6. *ἔτι* hat hier wie in Verbindung mit dem Futurum die Bedeutung „fernerhin". Vgl. Hom. Il. I 96 *ἄλγε᾽ ἔδωκεν ἑκήβολος ἠδ᾽ ἔτι δώσει*.

ἔχων λόγον τοιόνδε. S. z. c. 78 (Anf.).

μήτε προσέλθῃς ἔμοιγε μήτε συμβουλεύσῃς. Vgl. die ähnlichen, an Alexander von Makedonien gerichteten Worte der Athener (VIII 143) *σύ τε τοῦ λοιποῦ* (= *ἔτι*) *λόγους ἔχων τοιούσδε μὴ ἐπιφαίνεο Ἀθηναίοισι, μηδὲ δοκέων χρηστὰ ὑπουργέειν ἀθέμιστα ἔρδειν παραίνεε*.

7. *χάριν — ἀπαθής*. Zur Verbindung vgl. III 125 *κελεύων σφέας ἑωυτῷ χάριν εἰδέναι ἐόντας ἐλευθέρους* (= dafür dasz sie jetzt frei wären).

80. 16. *τοὺς ἀκινάκας*. Der Artikel von etwas notorisch Bekanntem. Vgl. c. 48.

17. *λόγος ἐγίνετο — εἷς*. Ueber die Bedeutung von *λόγος* s. z. VIII 102.

19. *ἀπεδείκνυσαν*. Zur Bedeutung vgl. I 160 *Πακτύην οἱ Πέρσαι εἶχον ἐν φυλακῇ ἐθέλοντες Κύρῳ ἀποδέξαι*.

οἷά τε. Ueber den Numerus s. z. c. 2.

20. *ἀρχήν* von Anfang an. Vgl. VIII 128. 142. Den Wohlstand Aigina's von diesem Anlasz abzuleiten ist schwerlich gerechtfertigt, wenn gleich sicherlich viele in Athen damals Herodots Auffassung getheilt haben. Ein neuerer Forscher bemerkt mit Recht: „Nichts ist leichter möglich als dasz einige Heloten sich solchen Unterschleif erlaubten und einige aiginetische Kaufleute durch wohlfeilen Kauf des Unterschlagenen ihren Reichtum begründeten oder erhöhten; allein die groszen Reichtümer in Aigina überhaupt

τὸν χρυσὸν ἅτε ἐόντα χαλκὸν δῆθεν παρὰ τῶν εἱλωτέων ὠνέοντο.
81 *Συμφορήσαντες δὲ τὰ χρήματα καὶ δεκάτην ἐξελόντες τῷ ἐν Δελφοῖσι θεῷ, ἀπ' ἧς ὁ τρίπους ὁ χρύσεος ἀνετέθη ὁ ἐπὶ*

von diesem Umstand herzuleiten kann unsern Herodot nur die Vergröszerung und einseitige Darstellung der Sache durch die Aiginetenfeinde, die Athener, verführt haben". Vgl. VI 91. Vielmehr verdankte Aigina seine Reichtümer seinem namentlich im VI. u. VII. Jahrhundert v. Chr. (also lange vor der Schlacht bei Plataeae) blühenden Welthandel, der in der genannten Zeit weit bedeutender war als der seiner Nebenbuhlerin Athen. Vgl. II 178. III 129. V 81. VII 147.

1. *ἅτε* c. partic. S. z. VIII 69. *δῆθεν*. S. z. c. 66.

81. 2. *δεκάτη*. Von der Kriegsbeute oder dem Erlös aus derselben fiel gewöhnlich der zehnte Teil einem Tempel zu (vgl. VIII 27); hier erhielt eine jede der drei genannten Gottheiten ein Zehntel.

3. *τρίπους ὁ χρύσεος*. 125 Jahre später (im dritten heiligen Krieg) wurde derselbe bei der Plünderung des delphischen Tempels von den Phokern geraubt. Zur Sache vgl. Thuk. I 132 *Πανσανίης ἐπὶ τὸν τρίποδά ποτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε·*

Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων
Πανσανίης Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο καὶ ἐξέγραψαν ὀνομαστὶ τὰς πόλεις ὅσαι ξυγκαθελοῦσαι τὸν βάρβαρον ἔστησαν τὸ ἀνάθημα. S. z. Her. VIII 82.

ὁ ἐπὶ τοῦ τρικαρήνου ὄφιος. Das Gestell dieses im ganzen Altertum berühmten Dreifuszes (daher: *ὁ ἐν Δελφοῖς τρίπους*) bildete ein eherner Unterbau von drei in 29 Verschlingungen aufwärts geringelten Schlangenleibern, auf welchen sich nach 3 verschiedenen Seiten hin die Hälse mit den Köpfen hoch und weit auseinander bogen; auf ihnen ruhte der Dreifusz. Sein eherner Unterteil, eben jener geringelte Säulenbau, hat sich bis auf den heutigen Tag erhalten; der Perieget Pausanias sah ihn im zweiten Jahrh. n. Chr. noch im delphischen Heiligtum, vgl. Pausan. X 13, 14 *ἐν κοινῷ δὲ ἀνέθεσαν ἀπὸ ἔργου τοῦ Πλαταιαῖσιν οἱ Ἕλληνες χρυσοῦν τρίποδα δράκοντι ἐπικείμενον χαλκῷ· — ὅσον μὲν δὴ χαλκὸς ἦν τοῦ ἀναθήματος σῶον καὶ ἐς ἐμὲ ἦν· οὐ μέντοι κατὰ τὰ αὐτὰ καὶ τὸν χρυσὸν οἱ Φωκέων ὑπελίποντο ἡγεμόνες.* Im vierten Jahrh. n. Chr. wurde die Säule von dem röm. Kaiser Constantin d. Gr. nach Constantinopel gebracht und dort im Hippodrom aufgestellt, wo sie noch jetzt auf dem heutigen Platze Atmeidan steht. Nachdem durch die allmähliche Bodenerhöhung dieses Platzes die untere (gröszere) Hälfte der etwa 13' hohen Säule unter der Erdoberfläche mehrere Jahrhunderte hindurch verdeckt war, ist sie neuerdings (1856) vollständig ausgegraben worden und genau beschrieben von Frick (Jahrb. f. Philol. Suppl. III 487 ff.). Dieser Gelehrte fand auch bestätigt, was schon lange vor ihm Petrus Gyllius (1632) annahm, dasz dieser Unterbau des Dreifuszes nicht etwa aus einem geringelten Schlangenleib mit drei Köpfen bestand — wie Herodot und nach ihm viele andere durch den Augenschein getäuscht überliefert haben — sondern aus deren dreien. Schon Petrus Gyllius sagt in seiner Beschreibung der Stadt Constantinopel: Exstat ibi columna aenea striata spiris trium serpentum inter se circumplicatarum, non sursum versus directis, sed tortis in modum tororum (quos valde eminentes exprimunt magni funes) et desinentibus in caput triceps trium serpentum, quorum capita in triquetram formam disposita longe eminent supra torosum scapum. — Auf

τοῦ τρικαρήνου ὄφιος τοῦ χαλκέου ἐπεστεὼς ἄγχιστα τοῦ βωμοῦ, καὶ τῷ ἐν Ὀλυμπίῃ θεῷ ἐξελόντες, ἀπ' ἧς δεκάπηχυν χάλκεον Δία ἀνέθηκαν, καὶ τῷ ἐν Ἰσθμῷ θεῷ, ἀπ' ἧς ἑπτάπηχυς χάλκεος Ποσειδέων ἐξεγένετο, ταῦτα ἐξελόντες τὰ λοιπὰ διαιρέοντο καὶ ἔλαβον ἕκαστοι τῶν ἄξιοι ἦσαν, καὶ τὰς παλλακὰς τῶν Περσέων καὶ τὸν χρυσὸν καὶ τὸν ἄργυρον καὶ ἄλλα χρήματά τε καὶ ὑποζύγια. Ὅσα μέν νυν ἐξαίρετα τοῖσι ἀριστεύσασι αὐτῶν ἐν Πλαταιῇσι ἐδόθη, οὐ λέγεται πρὸς οὐδαμῶν, δοκέω δ' ἔγωγε καὶ τούτοισι δοθῆναι. Πανσανίῃ δὲ πάντα δέκα ἐξαιρέθη τε καὶ ἐδόθη, γυναῖκες, ἵπποι, τάλαντα, κάμηλοι, ὣς δὲ αὔτως καὶ τὰ ἄλλα χρήματα. Λέγεται δὲ καὶ 82
τάδε γενέσθαι, ὡς Ξέρξης φεύγων ἐκ τῆς Ἑλλάδος Μαρδονίῳ τὴν κατασκευὴν καταλίποι τὴν ἑωυτοῦ· Πανσανίην ὦν ὁρέοντα τὴν Μαρδονίου κατασκευὴν χρυσῷ τε καὶ ἀργύρῳ καὶ παραπετάσμασι ποικίλοισι κατεσκευασμένην κελεῦσαι τούς τε ἀρτοκόπους καὶ τοὺς ὀψοποιοὺς κατὰ ταὐτὰ Μαρδονίῳ δεῖπνον παρασκευάζειν. ὡς δὲ κελευόμενοι οὗτοι ἐποίευν ταῦτα, ἐνθαῦτα τὸν Πανσανίην ἰδόντα κλίνας τε χρυσέας καὶ ἀργυρέας

dem dritten bis dreizehnten Ringe finden sich im dorischen Dialekt die Namen der 31 griechischen Staaten verzeichnet, welche bis auf 4 auch auf dem Fuszgestell der Zeusstatue (s. u.) in Olympia eingeschrieben wurden (vgl. Pausan. V 23). — Weshalb von dem Künstler gerade die Schlange als Ornament gewählt wurde, erklärt Frick durch die Beziehung auf den Python, „jenes schlangenartig gebildete Ungeheuer, welches in der delphischen Ortssage und dem apollinischen Cultus eine so wichtige Rolle spielt."

1. ἄγχιστα τοῦ βωμοῦ. Vgl. Paus. X 14 § 7 πλησίον τοῦ βωμοῦ τοῦ μεγάλου. Er stand im Vorhof des Tempels.

2. ἐξελόντες der Deutlichkeit halber wiederholt. Auch dieses Standbild sah Pausanias (vgl. V 23) in Olympia; die Namen der Völkerschaften, welche es gestiftet hatten, waren an seinem Fuszgestell eingezeichnet (Lakedaemonier — Athener — Korinthier — Sikyonier — Aigineten — Megarer — Epidaurier — Tegeaten — Orchomenier — Phliasier — Trözenier — Hermioneer — Tirynthier — Plataeer — Keer — Melier — Ambrakioten — Tenier — Lepreaten — Naxier — Kythnier — Styreer — Eleer — Potidaeaten — Anaktorier — Chalcidenser). Es war etwa 15′ hoch.

3. τῷ ἐν Ἰσθμῷ θεῷ. S. z. VIII 121.

9. καὶ τούτοισι wie dem gleich im Folg. erwähnten Pausanias.

10. πάντα δέκα eig. omnia dena, d. h. zehn Stücke von jeder Art. Doch soll die Zahl δέκα in der sprichwörtlichen Verbindung πάντα δέκα nur die reichliche Menge bezeichnen. Vgl. IV 88 Δαρεῖος τὸν ἀρχιτέκτονα τῆς σχεδίης Μανδροκλέα τὸν Σάμιον ἐδωρήσατο πᾶσι δέκα.

82. 14. κατασκευήν. Vielleicht schrieb Herodot σκηνήν. Vgl. c. 80.

16. κατὰ ταὐτὰ Μαρδονίῳ „auf dieselbe Weise wie sie es dem Mardonios zu bereiten gewohnt gewesen wären." Vgl. c. 70 τὰ δὲ ἄλλα ἐς τὠυτό, ὅσαπερ ἔλαβον, ἐσήνεικαν τοῖσι Ἕλλησι. S. z. Stelle.

εὖ ἐστρωμένας καὶ τραπέζας τε χρυσέας καὶ ἀργυρέας καὶ παρασκευὴν μεγαλοπρεπέα τοῦ δείπνου, ἐκπλαγέντα τὰ προκείμενα ἀγαθὰ κελεῦσαι ἐπὶ γέλωτι τοὺς ἑωυτοῦ διηκόνους παρασκευάσαι Λακωνικὸν δεῖπνον. ὡς δὲ τῆς θοίνης ποιηθείσης ἦν πολλὸν τὸ μέσον, τὸν Παυσανίην γελάσαντα μεταπέμψασθαι τῶν Ἑλλήνων τοὺς στρατηγούς, συνελθόντων δὲ τούτων εἰπεῖν τὸν Παυσανίην, δεικνύντα ἐς ἑκατέρην τοῦ δείπνου τὴν παρασκευήν· "Ἄνδρες Ἕλληνες, τῶνδε εἵνεκεν ἐγὼ ὑμέας συνήγαγον, βουλόμενος ὑμῖν τοῦ Μήδου τὴν ἀφροσύνην δέξαι, ὃς τοιήνδε δίαιταν ἔχων ἦλθε ἐς ἡμέας οὕτω οἰζυρὴν
83 *ἔχοντας ἀπαιρησόμενος. Ταῦτα μὲν Παυσανίην λέγεται εἰπεῖν πρὸς τοὺς στρατηγοὺς τῶν Ἑλλήνων, ὑστέρῳ μέντοι χρόνῳ μετὰ ταῦτα καὶ τῶν Πλαταιέων εὗρον συχνοὶ θήκας χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ἄλλων χρημάτων. ἐφάνη δὲ καὶ τόδε ὕστερον ἔτι τούτων. τῶν νεκρῶν περιψιλωθέντων τὰς σάρκας (συνεφόρεον γὰρ τὰ ὀστέα οἱ Πλαταιέες ἐς ἕνα χῶρον) εὑρέθη κεφαλὴ οὐκ ἔχουσα ῥαφὴν οὐδεμίαν, ἀλλὰ ἐξ ἑνὸς ἐοῦσα ὀστέου· ἐφάνη δὲ καὶ γνάθος, καὶ τὸ ἄνω τῆς γνάθου, ἔχουσα ὀδόντας μουνοφυέας, ἐξ ἑνὸς ὀστέου πάντας, τούς τε ὀδόντας καὶ τοὺς γομφίους· καὶ πενταπήχεος ἀνδρὸς ὀστέα ἐφάνη.*

1. *εὖ ἐστρωμένας* schön geschmückte Polster auch VI 58.

2. *ἐκπλαγέντα τὰ προκείμενα ἀγαθά.* Zur Bedeutung von *ἐκπλήττεσθαί τι* vgl. III 148 *ὅκως δὲ ἴδοιτο Κλεομένης τὰ ποτήρια ἀπεθώμαζέ τε καὶ ἐξεπλήσσετο.*

3. *ἐπὶ γέλωτι* „zur Verspottung", wie hier VI 67. *ἐπί* c. dat. zur Bezeichnung des Zwecks, der Absicht.

5. *μέσον* Unterschied. Genau wie hier I 126 *εἴρετό σφεας ὁ Κῦρος κότερα τὰ τῇ προτεραίῃ εἶχον ἢ τὰ παρεόντα σφι εἴη αἱρετώτερα· οἱ δὲ ἔφασαν πολλὸν εἶναι αὐτῶν τὸ μέσον.* Es währte kaum ein Jahr, dasz Pausanias an persischer Pracht, an Wolleben und Ueppigkeit Geschmack fand, wodurch er endlich seinen Untergang herbeiführte. Vgl. V 32.

83. 16. *γάρ* (= nämlich) im vorgeschobenen Satze; es erläutert das folgende *εὑρέθη*.

17. *οὐκ ἔχουσα ῥαφήν.* Auch Albrecht Achilles, Markgraf von Brandenburg († 1486), soll einen Schädel ohne Nat gehabt haben, wie deren allerdings nach dem Zeugnis der Anatomen, wenn auch selten, vorkommen sollen.

18. *καὶ τὸ ἄνω τῆς γνάθου* „und zwar der Oberkiefer".

19. *ἐξ ἑνὸς ὀστέου πάντας.* Dasselbe berichtet Plutarch von Pyrrhus (Plut. Pyrrh. c. 3): *πολλοὺς δὲ ὀδόντας οὐκ εἶχεν ἀλλ' ἓν ὀστέον συνεχὲς ἦν ἄνωθεν, οἷον λεπταῖς ἀμυχαῖς τὰς διαφυὰς ὑπογεγραμμένον τῶν ὀδόντων.* Vgl. auch Plin. VII 15 §. 60 Aliqui vice dentium continuo osse gignuntur, sicuti Prusiae regis Bithynorum filius superna parte oris.

ὀδόντας. Gemeint sind hier, wie aus dem Gegensatz (*τοὺς γομφίους*) hervorgeht, die Vorder- oder Schneidezähne.

20. *πενταπήχεος.* 1 *πῆχυς* = $1\frac{1}{2}$ Fusz.

84 Ἐπείτε δὲ Μαρδονίου δευτέρῃ ἡμέρῃ ὁ νεκρὸς ἠφάνιστο, ὑπ' ὅτευ μὲν ἀνθρώπων, τὸ ἀτρεκὲς οὐκ ἔχω εἰπεῖν, πολλοὺς δέ τινας ἤδη καὶ παντοδαποὺς ἤκουσα θάψαι Μαρδόνιον, καὶ δῶρα μεγάλα οἶδα λαβόντας πολλοὺς παρὰ Ἀρτόντεω τοῦ Μαρδονίου παιδὸς διὰ τοῦτο τὸ ἔργον· ὅστις μέντοι ἦν αὐτῶν ὁ ὑπελόμενός τε καὶ θάψας τὸν νεκρὸν τὸν Μαρδονίου, οὐ δύναμαι ἀτρεκέως πυθέσθαι. ἔχει δέ τινα φάτιν καὶ Διονυσοφάνης ἀνὴρ Ἐφέσιος θάψαι Μαρδόνιον.

85 Ἀλλ' ὁ μὲν τρόπῳ τοιούτῳ ἐτάφη, οἱ δὲ Ἕλληνες ὡς ἐν Πλαταιῇσι τὴν ληΐην διείλοντο, ἔθαπτον τοὺς ἑωυτῶν χωρὶς ἕκαστοι. Λακεδαιμόνιοι μὲν τριξὰς ἐποιήσαντο θήκας. ἔνθα μὲν τοὺς ἰρένας ἔθαψαν, τῶν καὶ Ποσειδώνιος καὶ Ἀμομφάρετος ἦσαν καὶ Φιλοκύων τε καὶ Καλλικράτης. ἐν μὲν δὴ ἑνὶ τῶν τάφων ἦσαν οἱ ἰρένες, ἐν δὲ τῷ ἑτέρῳ οἱ ἄλλοι Σπαρτιῆται, ἐν δὲ τῷ τρίτῳ οἱ εἵλωτες. Οὗτοι μὲν οὕτω ἔθαπτον, Τεγεῆται δὲ χωρὶς πάντας ἁλέας, καὶ Ἀθηναῖοι τοὺς ἑωυτῶν ὁμοῦ, καὶ Μεγαρέες τε καὶ Φλιάσιοι τοὺς ὑπὸ τῆς ἵππου διαφθαρέντας. Τούτων μὲν δὴ πάντων πλήρεες ἐγένοντο οἱ τάφοι, τῶν δὲ ἄλλων ὅσοι καὶ

84. 1. *ἐπείτε — ἠφάνιστο.* Der Nachsatz fehlt (Anantapodoton). Logisch liegt derselbe in dem Satze: πολλοὺς δὲ — ἤκουσα θάψαι, denn der Sinn ist: Nachdem des Mardonius Leichnam verschwunden war, wurde von gar vielen Leuten erzählt, dasz sie ihn bestattet hätten.

2. *τὸ ἀτρεκές.* Vgl. V 9 τὸ δὲ πρὸς βορέω ἔτι τῆς χώρης ταύτης οὐδεὶς ἔχει φράσαι τὸ ἀτρεκές.

πολλούς τινας. S. z. VIII 86.

3. *ἤδη* (= etiam, noch) gehört dem Sinne nach zu πολλούς u. παντοδαπούς, „ich habe (auszer dem im Folgenden genannten Dionysophanes) noch manche andere nennen hören". ἤδη δέ mit ἤκουσα verbunden auch c. 95.

4. *παρὰ Ἀρτόντεω.* Die Sache erzählt auch Pausan. IX 2, 2.

7. *ἔχει δέ τινα φάτιν.* Dieselbe Wendung VIII 94. Vgl. V 66 Κλεισθένης λόγον ἔχει τὴν Πυθίην ἀναπεῖσαι.

85. 11. *τριξός.* Vgl. c. 74 διξός. θήκη gebraucht Her. öfter synonym mit τάφος. Vgl. II 67.

τοὺς ἰρένας. ἰρένες (att. εἰρένες) hieszen die spartanischen Jünglinge vom 20.—30. Jahre. Sie waren vor allen anderen Altersclassen zum Kriegsdienst verpflichtet und machten in allen Feldzügen den wesentlichsten Bestandteil der Heere aus.

12. *Ποσειδώνιος καὶ Ἀμ.* Vgl. c. 71.

14. *Σπαρτιῆται* und wahrscheinlich mit ihnen die gefallenen Periöken, deren Herodot nicht ausdrücklich gedenkt.

16. *ἁλέας*, also anders als die Lakedaemonier.

17. *τοὺς ὑπὸ τῆς ἵππου διαφθαρέντας.* S. c. 69.

18. *πλήρεες.* Gegensatz χώματα κεινά (S. 176, 3). Ueber die Lage der Gräber vgl. Pausan. IX 2 § 4 κατὰ δὲ τὴν ἔσοδον μάλιστα τὴν ἐς Πλάταιαν τάφοι τῶν πρὸς Μήδους μαχεσαμένων εἰσί· τοῖς μὲν οὖν λοιποῖς ἐστιν Ἕλλησι μνῆμα κοινόν· Λακεδαιμονίων δὲ καὶ Ἀθηναίων τοῖς πεσοῦσιν ἰδίᾳ τέ εἰσιν οἱ τάφοι.

τῶν δὲ ἄλλων ist von ὅσοι abhängig.

φαίνονται ἐν Πλαταιῇσι ἐόντες τάφοι, τούτους δὲ, ὡς ἐγὼ πυνθάνομαι, ἐπαισχυνομένους τῇ ἀπεστοῖ τῆς μάχης ἑκάστους χώματα χῶσαι κεινὰ τῶν ἐπιγινομένων εἵνεκεν ἀνθρώπων, ἐπεὶ καὶ Αἰγινητέων ἐστὶ αὐτόθι καλεόμενος τάφος, τὸν ἐγὼ ἀκούω καὶ δέκα ἔτεσι ὕστερον μετὰ ταῦτα δεηθέντων τῶν Αἰγινητέων χῶσαι Κλεάδην τὸν Αὐτοδίκου ἄνδρα Πλαταιέα, πρόξεινον ἐόντα αὐτῶν.

86 Ὡς δ' ἄρα ἔθαψαν τοὺς νεκροὺς ἐν Πλαταιῇσι οἱ Ἕλλη-
νες, αὐτίκα βουλευομένοισί σφι ἐδόκεε στρατεύεσθαι ἐπὶ τὰς
Θήβας καὶ ἐξαιτέειν αὐτῶν τοὺς μηδίσαντας, ἐν πρώτοισι δὲ
αὐτῶν Τιμηγενίδην καὶ Ἀτταγῖνον, οἳ ἀρχηγέται ἀνὰ πρώτους
ἦσαν, ἢν δὲ μὴ ἐκδιδῶσι, μὴ ἀπανίστασθαι ἀπὸ τῆς πόλιος
πρότερον ἢ ἐξέλωσι. ὡς δέ σφι ταῦτα ἔδοξε, οὕτω δὴ ἑνδε-
κάτῃ ἡμέρῃ ἀπὸ τῆς συμβολῆς ἀπικόμενοι ἐπολιόρκεον Θηβαίους,
κελεύοντες ἐκδιδόναι τοὺς ἄνδρας· οὐ βουλομένων δὲ τῶν
Θηβαίων ἐκδιδόναι τήν τε γῆν αὐτῶν ἔταμνον καὶ προσέβαλ-
87 λον πρὸς τὸ τεῖχος. Καὶ οὐ γὰρ ἐπαύοντο σινόμενοι, εἰκοστῇ
ἡμέρῃ ἔλεξε τοῖσι Θηβαίοισι Τιμηγενίδης τάδε· Ἄνδρες Θη-
βαῖοι, ἐπειδὴ οὕτω δέδοκται τοῖσι Ἕλλησι, μὴ πρότερον ἀπ-
αναστῆναι πολιορκέοντας ἢ ἐξέλωσι Θήβας ἢ ἡμέας αὐτοῖσι
παραδῶτε, νῦν ὦν ἡμέων εἵνεκεν γῆ ἡ Βοιωτίη πλέω μὴ ἀνα-

1. *τούτους δέ.* *δέ* nimmt das vorangegangene *δέ* (in *τῶν δὲ ἄλλων*) wieder auf. Ganz wie hier c. 63 (*τῇ δέ — ταύτῃ δέ*).

2. *ἀπεστοῖ* vom Nom. *ἀπεστώ* (= *ἀπουσία, ἀποχώρησις*). Das Wort nur hier. Vgl. *ἐνεστώ* (I 85).

3. *χῶσαι.* Der Infinitiv hängt von *πυνθάνομαι* ab. In parenthetisch eingeschobenen Sätzen wie *ὡς λέγεται, ὡς λέγουσι, ὡς ἐγὼ πυνθάνομαι* wirkt das Verbum der Parenthese häufig so auf den Hauptsatz ein, als ob dieser von ihr abhienge. Vgl. V 44 *τὸν χρόνον δὲ τοῦτον, ὡς λέγουσι Συβαρῖται, Τῆλυν τὸν ἑωυτῶν βασιλέα ἐπὶ Κρότωνα μέλλειν στρατεύεσθαι.*

κεινά. *χώματα κεινά* = *κενοτάφια.*

τῶν ἐπιγενομένων — ἀνθρώπων „posterorum causa". Vgl. II 49.

5. *καὶ δέκα.* Ueber *καί* s. z. VIII 24.

7. *πρόξεινος.* S. z. VIII 136.

Bestrafung der Thebaner. Flucht des Artabazos (c. 86—89).

86. 10. *αὐτῶν, τῶν μηδισάντων.*

11. *Τιμηγενίδην.* S. c. 38. Ueber Ataginos s. c. 15.

ἀνὰ πρώτους ungewöhnlich für *ἐν πρώτοις.*

13. *πρότερον ἤ* = *πρὶν ἤ.* S. z. c. 16. Ueber das fehlende *ἄν* s. z. VIII 22.

14. *ἀπό* temporal wie VIII 54.

16. *προσβάλλειν πρὸς τὸ τεῖχος* steht in gleichem Sinne III 155.

87. 19. *δέδοκται τοῖσι Ἕλλησι.* S. z. c. 60.

21. *νῦν ὦν.* *ὦν* wie hier den Nachsatz einleitend (nach *τότε*) c. 26.

πλέω μὴ ἀναπλήσῃ. V 4 ist in derselben Wendung *κακά* zu *πλέω* hinzugefügt. *ἀναπλῆσαι κακά* ist eine homerische Wendung.

πλήσῃ, ἀλλ' εἰ μὲν χρημάτων χρηΐζοντες πρόσχημα ἡμέας ἐξαι-
τέονται, χρήματά σφι δῶμεν ἐκ τοῦ κοινοῦ (σὺν γὰρ τῷ κοινῷ
καὶ ἐμηδίσαμεν, οὐδὲ μοῦνοι ἡμεῖς), εἰ δὲ ἡμέων ἀληθέως
δεόμενοι πολιορκέουσι, ἡμεῖς ἡμέας αὐτοὺς ἐς ἀντιλογίην παρ-
έξομεν. Κάρτα τε ἔδοξε εὖ λέγειν καὶ ἐς καιρὸν, αὐτίκα τε
ἐπεκηρυκεύοντο πρὸς Παυσανίην οἱ Θηβαῖοι ἐθέλοντες ἐκδι-
δόναι τοὺς ἄνδρας. Ὡς δὲ ὡμολόγησαν ἐπὶ τούτοισι, Ἀττα- 88
γῖνος μὲν ἐκδιδρήσκει ἐκ τοῦ ἄστεος, παῖδας δὲ αὐτοῦ ἀπ-
αχθέντας Παυσανίης ἀπέλυσε τῆς αἰτίης, φὰς τοῦ μηδισμοῦ
παῖδας οὐδὲν εἶναι μεταιτίους. τοὺς δὲ ἄλλους ἄνδρας τοὺς
ἐξέδοσαν οἱ Θηβαῖοι, οἳ μὲν ἐδόκεον ἀντιλογίης τε κυρήσειν
καὶ δὴ χρήμασι ἐπεποίθεσαν διωθέεσθαι· ὁ δὲ ὡς παρέλαβε,
αὐτὰ ταῦτα ὑπονοέων τὴν στρατιὴν τὴν συμμάχων ἅπασαν
ἀπῆκε καὶ ἐκείνους ἀγαγὼν ἐς Κόρινθον διέφθειρε.

Ταῦτα μὲν τὰ ἐν Πλαταιῇσι καὶ Θήβῃσι γενόμενα, Ἀρτά- 89
βαζος δὲ ὁ Φαρνάκεος φεύγων ἐκ Πλαταιέων καὶ δὴ πρόσω
ἐγίνετο. ἀπικόμενον δέ μιν οἱ Θεσσαλοὶ παρὰ σφέας ἐπί τε
ξείνια ἐκάλεον καὶ ἀνειρώτεον περὶ τῆς στρατιῆς τῆς ἄλλης,
οὐδὲν ἐπιστάμενοι τῶν ἐν Πλαταιῇσι γενομένων. ὁ δὲ Ἀρτά-

1. *πρόσχημα* „zum Vorwand“ d. h. um einen Vorwand zu haben. Vgl. VI 44 *αὗται (πόλιες) μὲν ὦν σφι πρόσχημα ἦσαν τοῦ στόλου.*

2. *ἐκ τοῦ κοινοῦ. τὸ κοινόν* der Staatsschatz. Wie hier VII 144. Eine andere Bedeutung hat der Ausdruck gleich im Folgenden (*σὺν τῷ κοινῷ*); vgl. V 109 *ἡμέας ἀπέπεμψε τὸ κοινὸν τῶν Ἰώνων*, ebenso VIII 135. Ueber die damalige Verfassung Thebens vgl. Plut. Arist. c. 18 *προθυμότατα τῶν πρώτων καὶ δυνατωτάτων τότε παρ' αὐτοῖς μηδιζόντων καὶ τὸ πλῆθος οὐ κατὰ γνώμην ἀλλ' ὀλιγαρχούμενον ἀγόντων.*

3. *καὶ ἐμηδίσαμεν.* Es musz das Geld aus Gemeindemitteln bezahlt werden, „denn mit Einverständnis des Gemeindewesens haben wir es ja auch (=*καί*) mit den Medern gehalten.“ —

ἀληθέως. Gegens. *πρόσχημα* (s. ob. 1).

4. *ἐς ἀντιλογίην* „um uns zu rechtfertigen“. Vgl. c. 88.

5. *ἐς καιρόν* opportune, auch VII 144.

88. 7. *ὡμολόγησαν ἐπὶ τούτοισι.* S. z. VIII 140 (*ἢν ὦν μὴ αὐτίκα ὁμολογήσετε, ἐπ' οἷσι ὁμολογέειν ἐθέλουσι*).

10. *τοὺς δὲ ἄλλους ἄνδρας* ist dem Casus des folgenden Relativs assimiliert. Wir erwarteten den Genetiv. Ganz wie hier II 106 *τὰς δὲ στήλας τὰς ἵστα κατὰ τὰς χώρας Σέσωστρις, αἳ μὲν πλεῦνες οὐκέτι φαίνονται περιεοῦσαι.*

12. *διωθέεσθαι*, man ergänzt leicht aus dem Zusammenhange: *τὴν αἰτίην*. Wenige Jahre später wurde Pausanias selbst des Medismos beschuldigt, worauf er nach Sparta zurückkehrte: *πιστεύων χρήμασι διαλύσειν τὴν διαβολήν* (Thuk. I 131).

13. *αὐτὰ ταῦτα* „ebendasselbe“ dasz sie nämlich mit Geld die gegen sie erhobene Anklage niederzuschlagen versuchen möchten.

89. 15. *Ἀρτάβαζος — φεύγων.* Vgl. c. 66.

16. *καὶ δή.* S. z. VIII 94.

βαξος γνοὺς, ὅτι εἰ ἐθέλει σφι πᾶσαν τὴν ἀλήθειαν τῶν ἀγώνων εἰπεῖν, αὐτός τε κινδυνεύσει ἀπολέσθαι καὶ ὁ μετ' αὐτοῦ στρατὸς (ἐπιθήσεσθαι γάρ οἱ πάντα τινὰ οἴετο πυνθανόμενον τὰ γεγονότα), ταῦτα ἐκλογιζόμενος οὔτε πρὸς τοὺς Φωκέας ἐξηγόρευε οὐδὲν, πρός τε τοὺς Θεσσαλοὺς ἔλεγε τάδε· Ἐγὼ μὲν, ὦ ἄνδρες Θεσσαλοὶ, ὡς ὁρᾶτε, ἐπείγομαί τε κατὰ τὴν ταχίστην ἐλέων ἐς Θρηΐκην καὶ σπουδὴν ἔχω, πεμφθεὶς κατά τι πρῆγμα ἐκ τοῦ στρατοπέδου μετὰ τῶνδε. αὐτὸς δὲ ὑμῖν Μαρδόνιος καὶ ὁ στρατὸς αὐτοῦ οὗτος κατὰ πόδας ἐμεῦ ἐλαύνων προσδόκιμός ἐστι. τοῦτον καὶ ξεινίζετε καὶ εὖ ποιεῦντες φαίνεσθε. οὐ γὰρ ὑμῖν ἐς χρόνον ταῦτα ποιεῦσι μεταμελήσει. Ταῦτα δὲ εἴπας ἀπήλαυνε σπουδῇ τὴν στρατιὴν διὰ Θεσσαλίης τε καὶ Μακεδονίης ἰθὺ τῆς Θρηΐκης, ὡς ἀληθέως ἐπειγόμενος καὶ τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ. καὶ ἀπικνέεται ἐς Βυζάντιον καταλιπὼν τοῦ στρατοῦ τοῦ ἑωυτοῦ συχνοὺς ὑπὸ Θρηΐκων τε κατακοπέντας κατ' ὁδὸν καὶ λιμῷ συστάντας καὶ καμάτῳ· ἐκ Βυζαντίου δὲ διέβη πλοίοισι.

90 Οὗτος μὲν οὕτω ἀπενόστησε ἐς τὴν Ἀσίην, τῆς δὲ αὐτῆς ἡμέρης τῆσπερ ἐν Πλαταιῇσι τὸ τρῶμα ἐγένετο, συνεκύρησε γενέσθαι καὶ ἐν Μυκάλῃ τῆς Ἰωνίης. ἐπειδὴ γὰρ ἐν τῇ Δήλῳ κατέατο οἱ Ἕλληνες οἱ ἐν τῇσι νηυσὶ ἅμα Λευτυχίδῃ τῷ Λακεδαιμονίῳ ἀπικόμενοι, ἦλθόν σφι ἄγγελοι ἀπὸ Σάμου Λάμπων

3. *πάντα τινά.* S. z. VIII 89.
4. *ταῦτα ἐκλογιζόμενος.* Erneuerung des vorangegangenen *γνούς.*
5. *τε* correspondiert dem *οὔτε.* S. z. VIII 26.
9. *κατὰ πόδας ἐμεῦ ἐλαύνων.* Vgl. VI 98 *ἐόντων δὲ ἤδη ἐν Χίῳ κατὰ πόδας* (= e vestigio) *ἐληλύθεε Περσέων ἵππος πολλὴ διώκουσα τοὺς Παίονας.*
11. *ἐς χρόνον* in posterum. Wie hier VII 29. Verschieden ist *χρόνῳ* VIII 53.
13. *ἰθὺ τῆς Θρηΐκης.* Ueber *ἰθύ* cum genet. s. z. VIII 38.
14. *τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ.* Ueber diese Verbindung s. z. VII 124.
16. *λιμῷ συστάντας. λιμῷ συστῆναι* (od. *συνεστάναι*) mit dem Hunger ringen auch VII 170. S. z. VIII 74.

Gesandte der Samier bei der Griechenflotte. Bündnis der Samier mit den Hellenen. Geschichte des Sehers Euenios. Aufstellung der Griechenflotte bei Samos. Flucht der persischen Flotte nach Mykale (c. 90—96).

90. 18. *τῆς αὐτῆς ἡμέρης.* Vgl. VIII 7 *ταύτης τῆς ἡμέρης.*
19. *τὸ τρῶμα* (att. *τραῦμα*). S. z. VIII 27.
20. *καὶ ἐν Μυκάλῃ τῆς Ἰωνίης.* Man ergänzt leicht aus dem Vorhergehenden: *τὸ τρῶμα.*
Μυκάλη. Vgl. I 148 *ἡ δὲ Μυκάλη ἐστὶ τῆς ἠπείρου ἄκρη πρὸς ζέφυρον ἄνεμον κατήκουσα Σάμῳ, ἐς τὴν συλλεγόμενοι ἀπὸ τῶν πολίων Ἴωνες ἄγεσκον τὰ Πανιώνια.*
ἐν τῇ Δήλῳ. Nach der Schlacht bei Salamis stationierte die Griechenflotte bei Delos. Vgl. VIII 130—132.
21. *Λευτυχίδῃ.* S. VIII 131.

τε Θρασυκλέος καὶ Ἀθηναγόρης Ἀρχεστρατίδεω καὶ Ἡγησί-
στρατος Ἀρισταγόρεω, πεμφθέντες ὑπὸ Σαμίων λάθρῃ τῶν
τε Περσέων καὶ τοῦ τυράννου Θεομήστορος τοῦ Ἀνδροδάμαν-
τος, τὸν κατέστησαν Σάμου τύραννον οἱ Πέρσαι. ἐπελθόντων
δέ σφεων ἐπὶ τοὺς στρατηγοὺς ἔλεγε Ἡγησίστρατος πολλὰ καὶ
παντοῖα, ὡς ἢν μοῦνον ἴδωνται αὐτοὺς οἱ Ἴωνες, ἀποστήσον-
ται ἀπὸ Περσέων, καὶ ὡς οἱ βάρβαροι οὐκ ὑπομενέουσι· ἢν
δὲ καὶ ἄρα ὑπομείνωσι, οὐκ ἑτέρην ἄγρην τοιαύτην εὑρεῖν ἂν
αὐτούς. θεούς τε κοινοὺς ἀνακαλέων προέτραπε αὐτοὺς ῥύσα-
σθαι ἄνδρας Ἕλληνας ἐκ δουλοσύνης καὶ ἀπαμῦναι τὸν βάρβαρον.
εὐπετές τε αὐτοῖσι ἔφη ταῦτα γίνεσθαι· τάς τε γὰρ νέας αὐτῶν
κακῶς πλώειν καὶ οὐκ ἀξιομάχους ἐκείνοισι εἶναι. αὐτοί τε,
εἴ τι ὑποπτεύουσι μὴ δόλῳ αὐτοὺς προάγοιεν, ἑτοῖμοι εἶναι
ἐν τῇσι νηυσὶ τῇσι ἐκείνων ἀγόμενοι ὅμηροι εἶναι. Ὡς δὲ 91
πολλὸς ἦν λισσόμενος ὁ ξεῖνος ὁ Σάμιος, εἴρετο Λευτυχίδης,
εἴτε κληδόνος εἵνεκεν ἐθέλων πυθέσθαι εἴτε καὶ κατὰ συντυ-
χίην θεοῦ ποιεῦντος· Ὦ ξεῖνε Σάμιε, τί τοι τὸ οὔνομα; ὁ δὲ
εἶπε· Ἡγησίστρατος. ὁ δὲ ὑπαρπάσας τὸν ἐπίλοιπον λόγον, εἴ
τινα ὥρμητο λέγειν ὁ Ἡγησίστρατος, εἶπε· Δέκομαι τὸν οἰω-
νὸν τὸν ἡγησίστρατον, ὦ ξεῖνε Σάμιε. σὺ δὲ ἡμῖν ποίεε ὅκως
αὐτός τε δοὺς πίστιν ἀποπλώσεαι καὶ οἱ σὺν σοὶ ἐόντες οἵδε,
ἦ μὲν Σαμίους ἡμῖν προθύμους ἔσεσθαι συμμάχους. Ταῦτά 92
τε ἅμα ἠγόρευε καὶ τὸ ἔργον προσῆγε. αὐτίκα γὰρ οἱ Σάμιοι

3. Θεομήστορος. S. VIII 85.
4. ἐπελθεῖν — ἐπί c. accus. vom Auftreten vor einer Versammlung auch c. 7. 11. Vgl. V 97 ἐπελθὼν ἐπὶ τὸν δῆμον.
8. ἄρα steht hier in gleichem Sinne wie VIII 57. S. z. VIII 8.
11. εὐπετές τε αὐτοῖς erg. εἶναι.
91. 15. πολλὸς — λισσόμενος. πολλός hat hier in Verbindung mit einem passiven Participium adverbiale Bedeutung. Vgl. I 98 Δηϊόκης ἦν πολλὸς ὑπὸ παντὸς ἀνδρὸς αἰνεόμενος.
16. κληδόνος εἵνεκεν „der (günstigen) Vorbedeutung halber.“ Herodot hält für möglich, dasz Leotychides mit dem ausgesprochenen Namen eine günstige Vorbedeutung habe erwirken wollen. κληδών steht in gleicher Bedeutung V 72.
16. κατὰ συντυχίην casu, auch III 74.
18. ὁ δὲ ὑπαρπάσας — λόγον. Genau wie hier V 50.
19. δέκομαι τὸν οἰωνόν accipio omen. δέκεσθαι steht in gleicher Bedeutung VIII 137. — τὸν ἡγησίστρατον ist von Leotychides appellativisch genommen.
20. ποίεε ὅκως — ἀποπλώσεαι. Ueber ὅκως c. Fut. s. z. VIII 10.
22. ἦ μὲν — συμμάχους. Dieser Satz gibt den Inhalt der πίστις an (δοὺς πίστιν). ἦ μέν (= μήν). Diese beteuernde Formel findet sich häufig bei Herodot. Vgl. V 93. VI 74. Aehnlich μὴ μέν (III 99. V 106).
92. ταῦτά τε ἅμα ἠγόρευε καὶ τὸ ἔργον προσῆγε. Ueber die Satzverbindung s. z. VIII 5.
23. προσῆγε „fügte hinzu“ näml. seinen Worten.

πίστιν τε καὶ ὅρκια ἐποιεῦντο συμμαχίης πέρι πρὸς τοὺς Ἕλληνας.

Ταῦτα δὲ ποιήσαντες οἱ μὲν ἀπέπλωον· μετὰ σφέων γὰρ ἐκέλευε πλώειν τὸν Ἡγησίστρατον, οἰωνὸν τὸ οὔνομα ποιεύμενος· οἱ δὲ Ἕλληνες ἐπισχόντες ταύτην τὴν ἡμέρην τῇ ὑστεραίῃ ἐκαλλιρέοντο, μαντευομένου σφι Δηϊφόνου τοῦ Εὐηνίου ἀνδρὸς Ἀπολλωνιήτεω, Ἀπολλωνίης δὲ τῆς ἐν Ἰονίῳ κόλπῳ,
93 τοῦ τὸν πατέρα κατέλαβε Εὐήνιον πρῆγμα τοιόνδε· Ἔστι ἐν τῇ Ἀπολλωνίῃ ταύτῃ ἱρὰ ἡλίου πρόβατα, τὰ τὰς μὲν ἡμέρας βόσκεται παρὰ ποταμὸν, ὃς ἐκ Λάκμωνος οὔρεος ῥέει διὰ τῆς Ἀπολλωνίης χώρης ἐς θάλασσαν παρ' Ὤρικον λιμένα, τὰς δὲ νύκτας ἀραιρημένοι ἄνδρες οἱ πλούτῳ τε καὶ γένεϊ δοκιμώτατοι τῶν ἀστῶν, οὗτοι φυλάσσουσι ἐνιαυτὸν ἕκαστος· περὶ πολλοῦ γὰρ δὴ ποιεῦνται Ἀπολλωνιῆται τὰ πρόβατα ταῦτα ἐκ θεοπροπίου τινός. ἐν δὲ ἄντρῳ αὐλίζονται ἀπὸ τῆς πόλιος ἑκάς. ἔνθα δὴ τότε ὁ Εὐήνιος οὗτος ἀραιρημένος ἐφύλασσε. καί κοτε αὐτοῦ κατακοιμήσαντος τὴν φυλακὴν παρελθόντες λύκοι ἐς τὸ ἄντρον διέφθειραν τῶν προβάτων ὡς ἑξήκοντα. ὁ δὲ ὡς ἐπήϊσε, εἶχε σιγῇ καὶ ἔφραξε οὐδενὶ, ἐν νόῳ

3. οἱ μὲν ἀπέπλωον. οἱ μέν steht im Gegensatz zu dem zurückbleibenden Hegesistratos.

5. ἐπισχόντες ταύτην τὴν ἡμέρην. Vgl. VIII 66 ἐπισχόντες ἡμέρας τρεῖς ἔπλωον δι' Εὐρίπου.

6. ἐκαλλιρέοντο. Das Medium καλλιρέεσθαι hat die Bedeutung von θύεσθαι; eine andere Bedeutung hat das unpersönlich gebrauchte καλλιρέειν = καλὰ (χρηστὰ) γίνεσθαι (c. 19. 38. 96). Wie hier VII 113.

7. Ἀπολλωνίης δὲ nach Ἀπολλωνιήτεω. S. z. c. 73.

τῆς ἐν Ἰονίῳ κόλπῳ. Der Zusatz, weil es mehrere Städte dieses Namens gab. Vgl. IV 90.

8. κατέλαβε. Ueber die Bedeutung von καταλαβεῖν s. z. c. 60.

93. 9. πρόβατα heiszen alle Arten von Kleinvieh, namentlich Schafe, Ziegen (s. z. I 133), besonders im Gegensatz zu Rindern und Pferden. Hier sind wol Schafe zu verstehen (vgl. unt. λύκοι παρελθόντες ἐς τὸ ἄντρον διέφθειραν τῶν προβάτων ὡς ἑξήκοντα). Auch auf der Insel Thrinakia hatte Apollon ausser den 7 Rinderherden auch 7 Herden Schafe (jede zu 50 Stück). Vgl. Hom. Odyss. XII 127.

10. ποταμόν. Gemeint ist vermutlich der Aoos, welcher vom Nordwestabhang des Lakmon (so heiszt der Gebirgsknoten zwischen Thessalien und Epirus, von welchem gegen Süden der Pindus ausläuft) herabkommt und in der Nähe von Apollonia ins ionische Meer mündet.

11. παρ' Ὤρικον λιμένα. Orikos od. Oricon (j. Eriko) eine bedeutende Hafenstadt des griechischen Illyrien lag südlich von Apollonia.

12. ἀραιρημένοι att. ᾑρημένοι. Wie hier VII 172 πρόβουλοι τῆς Ἑλλάδος ἀραιρημένοι ἀπὸ τῶν πολίων.

13. περὶ πολλοῦ ποιεῦνται. Ueber die Wendung s. z. VIII 40.

15. ἀπὸ — ἑκάς. Dieselbe Abundanz III 41 ὡς ἀπὸ τῆς νήσου ἑκὰς ἐγένοντο.

17. κατακοιμήσαντος. In gleicher Bedeutung („verschlafen") gebraucht Xen. Memor. II 1, 30 κατακοιμίζειν τῆς ἡμέρας τὸ χρησιμώτατον.

19. ἐπήϊσε. ἐπαΐειν noch III 29. εἶχε σιγῇ sc. τὸ γενόμενον.

ἔχων ἀντικαταστήσειν ἄλλα πριάμενος. καὶ οὐ γὰρ ἔλαθε
τοὺς Ἀπολλωνιήτας ταῦτα γενόμενα, ἀλλ' ὡς ἐπύθοντο, ὑπ-
αγαγόντες μιν ὑπὸ δικαστήριον κατέκριναν, ὡς τὴν φυλακὴν
κατακοιμήσαντα, τῆς ὄψιος στερηθῆναι. ἐπείτε δὲ τὸν Εὐή-
νιον ἐξετύφλωσαν, αὐτίκα μετὰ ταῦτα οὔτε πρόβατά σφι ἔτικτε
οὔτε γῆ ἔφερε ὁμοίως καρπόν. πρόφαντα δέ σφι ἔν τε Δω-
δώνῃ καὶ ἐν Δελφοῖσι ἐγίνετο. ἐπείτε ἐπειρώτεον τοὺς προ-
φήτας τὸ αἴτιον τοῦ παρεόντος κακοῦ, οἱ δὲ αὐτοῖσι ἔφραζον,
ὅτι ἀδίκως τὸν φύλακον τῶν ἱρῶν προβάτων Εὐήνιον τῆς ὄψιος
ἐστέρησαν· αὐτοὶ γὰρ ἐπορμῆσαι τοὺς λύκους, οὐ πρότερόν τε
παύσεσθαι τιμωρέοντες ἐκείνῳ πρὶν ἢ δίκας δῶσι τῶν ἐποίη-
σαν ταύτας, τὰς ἂν αὐτὸς ἕληται καὶ δικαιοῖ· τούτων δὲ τε-
λεομένων αὐτοὶ δώσειν Εὐηνίῳ δόσιν τοιαύτην, τὴν πολλούς
μιν μακαριέειν ἀνθρώπων ἔχοντα. Τὰ μὲν χρηστήρια ταῦτά
σφι ἐχρήσθη, οἱ δὲ Ἀπολλωνιῆται ἀπόρρητα ποιησάμενοι προ- 94
έθεσαν τῶν ἀστῶν ἀνδράσι διαπρῆξαι. οἱ δέ σφι διέπρηξαν
ὧδε· κατημένου Εὐηνίου ἐν θώκῳ ἐλθόντες οἱ παρίζοντο καὶ
λόγους ἄλλους ἐποιεῦντο, ἐς ὃ κατέβαινον συλλυπεόμενοι τῷ
πάθεϊ. ταύτῃ δὲ ὑπάγοντες εἰρώτεον τίνα δίκην ἂν ἕλοιτο, εἰ
ἐθέλοιεν Ἀπολλωνιῆται δίκας ὑποστῆναι δώσειν τῶν ἐποίησαν.
ὁ δὲ οὐκ ἀκηκοὼς τὸ θεοπρόπιον εἵλετο εἴπας, εἴ τίς οἱ δοίη
ἀγροὺς, τῶν ἀστῶν οὐνομάσας τοῖσι ἠπίστατο εἶναι καλλίστους
δύο κλήρους τῶν ἐν τῇ Ἀπολλωνίῃ, καὶ οἴκησιν πρὸς τούτοισι
τὴν ᾔδεε καλλίστην ἐοῦσαν τῶν ἐν τῇ πόλι. τούτων δὲ ἔφη

2. *ἀλλ' ὡς.* *ἀλλά* ist nach dem vorangegangenen *καὶ οὐ γάρ* hier ziemlich auffällig gegen den sonstigen herodoteischen Sprachgebrauch eingefügt (vgl. c. 61). Wahrscheinlich rührt es von späterer Hand her.
ὑπαγαγόντες. Vgl. VI 72 *ἔφυγε ἐκ Σπάρτης ὑπὸ δικαστήριον ὑπαχθείς.* *ὑπάγειν* eig. den Beklagten vor den erhöhten Sitz des Richters führen.
5. *πρόβατα — ἔτικτε.* Zur Sache vgl. III 65. VI 139.
6. *πρόφαντον = λόγιον, θεοπρόπιον.* Der Ausdruck ist mehr dichterisch. Noch V 63.
7. *τοὺς προφήτας.* S. z. VIII 36.
8. *οἱ δέ.* Ueber den Gebrauch des *δέ* in apodosi s. z. VIII 22.
10. *αὐτοί* „Loquuntur prophetae sed uterque dei nomine, cuius propheta est; *αὐτοί* igitur intelleguntur Juppiter Dodonaeus et Apollo Delphicus."
11. *πρὶν ἢ — δῶσι.* S. z. VIII 3 und VIII 22.
13. *τήν* gehört nur zum Particip.
14. *μακαριέειν.* Ueber den Infinitiv s. z. VIII 94.
94. 15. *ἀπόρρητα ποιησ.* S. z. c. 45.
18. *κατέβαινον συλλυπ.* descenderunt (= venerunt) postremo (*κατά*) ad viri calamitatem commiserandam. Zur Bedeutung von *καταβαίνειν* vgl. I 90 *κατέβαινε παραιτεόμενος* und I 119 *κατέβαινε λέγων.*
19. *ὑπάγοντες.* Beachte die Bedeutung von *ὑπό* (= allmählig, unvermerkt).
20. *ὑποστῆναι.* S. z. c. 34.

ἐπήβολος γενόμενος τοῦ λοιποῦ ἀμήνιτος εἶναι, καὶ δίκην οἱ ταύτην ἀποχρᾶν γενομένην. καὶ ὁ μὲν ταῦτα ἔλεγε, οἱ δὲ πάρεδροι εἶπαν ὑπολαβόντες· Εὐήνιε, ταύτην δίκην Ἀπολλωνιῆται τῆς ἐκτυφλώσεως ἐκτίνουσί τοι κατὰ τὰ θεοπρόπια τὰ γενόμενα. Ὁ μὲν δὴ πρὸς ταῦτα δεινὰ ἐποιέετο, ἐνθεῦτεν πυθόμενος τὸν πάντα λόγον, ὡς ἐξαπατηθείς, οἱ δὲ πριάμενοι παρὰ τῶν κεκτημένων διδοῦσί οἱ τὰ εἵλετο. καὶ μετὰ τοῦτα αὐτίκα
95 ἔμφυτον μαντικὴν εἶχε ὥστε καὶ οὐνομαστὸς γενέσθαι. Τούτου
δὴ ὁ Δηΐφονος ἐὼν παῖς τοῦ Εὐηνίου ἀγόντων Κορινθίων ἐμαντεύετο τῇ στρατιῇ. ἤδη δὲ καὶ τόδε ἤκουσα, ὡς ὁ Δηΐφονος ἐπιβατεύων τοῦ Εὐηνίου οὐνόματος ἐξελάμβανε ἐπὶ τὴν Ἑλλάδα ἔργα, οὐκ ἐὼν Εὐηνίου παῖς.

96 Τοῖσι δὲ Ἕλλησι ὡς ἐκαλλίρησε, ἀνῆγον τὰς νέας ἐκ τῆς Δήλου πρὸς τὴν Σάμον. ἐπεὶ δὲ ἐγένοντο τῆς Σαμίης πρὸς

1. *ἐπήβολος* mit Genetiv auch VIII 111.

τοῦ λοιποῦ temporal = in posterum. S. z. VIII 143.

5. *πρὸς ταῦτα*. *πρός* findet sich in der Bedeutung „in Beziehung auf", die an die causale anstreift, öfter mit *ταῦτα* verbunden. Vgl. VII 160. 173.

δεινὰ ἐποιέετο. S. z. VIII 15.

6. *ὡς ἐξαπατηθείς* erklärt *δεινὰ ἐποιέετο*. Euenius würde weit mehr gefordert haben, wenn ihm das Orakel bekannt gewesen wäre. Dasz man ihm dasselbe nicht mitgeteilt hatte, sah er als Betrug an.

8. *ἔμφυτον* „divinitus insitam". Vgl. Hom. Od. XXII 347, wo der gottbegeisterte Sänger Phemios von sich rühmt: *αὐτοδίδακτος δ' εἰμί, θεὸς δ' ἐμοὶ ἐν φρεσὶν οἴμας παντοίας ἐνέφυσεν*.

95. 9. *ἀγόντων Κορ.* Wie Tisamenos als Seher dem Heere der Spartiaten folgte (c. 36), so begleitete Deïphon das korinthische.

10. *ἤδη δὲ ἤκουσα*. S. z. c. 94.

11. *ἐπιβατεύειν* c. gen. auf etwas fuszen, sich auf etwas stützen auch III 67 *ἐπιβατεύων τοῦ ὁμωνύμου Σμέρδιος τοῦ Κύρου*.

ἐξελάμβανε. *ἐκλαμβάνειν ἔργα* (= *ἐργολαβεῖν*) heiszt: Arbeiten für einen bedungenen Lohn übernehmen (= conducere); dem *ἐκλαμβάνειν* entspricht *ἐκδιδόναι* (= locare) vom Arbeitgeber. Zur Sache vgl. Plat. de rep. 364 *ἀγύρται δὲ καὶ μάντεις ἐπὶ πλουσίων θύρας ἰόντες πείθουσιν ὡς ἔστι παρὰ σφίσι δύναμις ἐκ θεῶν ποριζομένη θυσίαις τε καὶ ἐπῳδαῖς, εἴτε τι ἀδίκημά του γέγονεν αὐτοῦ ἢ προγόνων ἀκεῖσθαι*.

ἐπὶ τὴν Ἑλλάδα „durch ganz Hellas hin". *ἐπί* c. accus. bezeichnet hier die räumliche Verbreitung, in welchem Sinne häufiger *ἀνά* gebraucht wird. Wie hier Plat. Crit. 112 e *ἐπὶ πᾶσαν Εὐρώπην ἐλλόγιμοι ἦσαν*. Uebrigens findet sich auch *ἐπί* in Verbindung mit einem Verbum der Bewegung recht häufig in der angegebenen Bedeutung. Vgl. Hom. Od. XVI 63 *φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα δινηθῆναι*. Es ist daher nicht notwendig mit Reiske *ἐπί* in *ἐπιών* zu ändern.

Seeschlacht bei Mykale (c. 96—106).

96. 13. *ὡς ἐκαλλίρησε*. S. z. c. 38.

14. *τῆς Σαμίης* ist chorographischer Genetiv, der von *Καλάμοισι* abhängt, vgl. c. 97 (*τῆς Μυκάλης*). *Κάλαμοι* (eig. „Binsenland") hiesz ein sonst wenig bekannter Küstenstrich von Samos, in dessen

Καλάμοισι, οἱ μὲν αὐτοῦ ὁρμισάμενοι κατὰ τὸ Ἡραῖον τὸ ταύτῃ παρεσκευάζοντο ἐς ναυμαχίην, οἱ δὲ Πέρσαι πυθόμενοί σφεας προσπλώειν ἀνῆγον καὶ αὐτοὶ πρὸς τὴν ἤπειρον τὰς νέας τὰς ἄλλας, τὰς δὲ Φοινίκων ἀπῆκαν ἀποπλώειν· βουλευομένοισι γάρ σφι ἐδόκεε ναυμαχίην μὴ ποιέεσθαι· οὐ γὰρ ὦν ἐδόκεον ὁμοῖοι εἶναι· ἐς δὲ τὴν ἤπειρον ἀπέπλωον, ὅκως ἔωσι ὑπὸ τὸν πεζὸν στρατὸν τὸν σφέτερον ἐόντα ἐν τῇ Μυκάλῃ, ὃς κελεύσαντος Ξέρξεω καταλελειμμένος τοῦ ἄλλου στρατοῦ Ἰωνίην ἐφύλασσε. τοῦ πλῆθος μὲν ἦν ἓξ μυριάδες, ἐστρατήγεε δὲ αὐτοῦ Τιγράνης κάλλεϊ τε καὶ μεγάθεϊ ὑπερφέρων Περσέων. ὑπὸ τοῦτον μὲν δὴ τὸν στρατὸν ἐβουλεύσαντο καταφυγόντες οἱ τοῦ ναυτικοῦ στρατηγοὶ ἀνειρύσαι τὰς νέας καὶ περιβαλέσθαι ἕρκος, ἔρυμα τῶν νεῶν καὶ σφέων αὐτῶν κρησφύγετον.

Ταῦτα βουλευσάμενοι ἀνήγοντο. ἀπικόμενοι δὲ παρὰ τὸ τῶν 97
Ποτνιέων ἱρὸν τῆς Μυκάλης ἐς Γαίσωνά τε καὶ Σκολοπόεντα, τῇ Δήμητρος Ἐλευσινίης ἐστὶ ἱρὸν, τὸ Φίλιστος ὁ Πασικλέος ἱδρύσατο Νείλεῳ τῷ Κόδρου ἐπισπόμενος ἐπὶ Μιλήτου κτιστὺν, ἐνθαῦτα τάς τε νέας ἀνείρυσαν καὶ περιεβάλοντο ἕρκος καὶ λίθων καὶ ξύλων, δένδρεα ἐκκόψαντες ἥμερα, καὶ σκόλοπας περὶ τὸ ἕρκος κατέπηξαν. καὶ παρεσκευάδατο ὡς πολιορ-

Nähe das berühmte Heiligtum der Hera, das Heraeum, lag (s. z. III 60).

3. *τὰς ἄλλας* erhält seine Beziehung erst durch das folgende *τὰς δὲ Φοινίκων*.

4. *ἀποπλώειν* locker an *ἀπῆκαν* angefügt. Infinitivus epexegeticus.

6. *ὑπὸ τὸν πεζόν*. Ueber die Bedeutuug von *ὑπό* cum accus. s. z. VIII 92.

8. *καταλελειμμένος τοῦ ἄλλου στρατοῦ*. *καταλείπεσθαί τινος* „hinter jemandem zurückbleiben". Häufiger ist in dieser Bedeutung das Simplex (s. z. c. 19).

10. *Τιγράνης*. Vgl. VII 62.

κάλλεϊ τε καὶ μεγάθεϊ. S. z. c. 25.

ὑπερφέρων. Vgl. VIII 144.

97. 14. *παρά* nebenhin, längs.

15. *Ποτνιέων*. Vorzugsweise hieszen Demeter und Kora die *θεαὶ Ποτνιαί*. Vgl. Paus. IX 8, 1 und Soph. Oed. Col. 1048.

τῆς Μυκάλης hängt als chorographischer Genetiv von *ἐς Γαίσωνα* ab (vgl. c. 96). Gaison und Skolopoeis waren zwei kleine Küstenflüsse an der Südseite von Mykale.

17. *Νείλεῳ*. Neleus, von seinem Bruder Medon aus Attika vertrieben, wanderte nach Ionien aus und führte Ansiedler nach Milet und andern ionischen Städten. Vgl. I 146. 147. V 65.

κτιστύς ion. = *κτίσις*.

19. *λίθων καὶ ξύλων* sind genetivi materiae.

ἥμερα gegens. *ἄγρια*. Vgl. VIII 115.

20. *ὡς πολιορκησόμενοι*. S. z. c. 58. Ueber *ὡς* c. partic. s. z. VIII 69.

κησόμενοι καὶ ὡς νικήσοντες. ἐπ᾽ ἀμφότερα γὰρ ἐπιλεγόμενοι παρεσκευάζοντο.

98 Οἱ δὲ Ἕλληνες ὡς ἐπύθοντο οἰχωκότας τοὺς βαρβάρους ἐς τὴν ἤπειρον, ἤχθοντο ὡς ἐκπεφευγότων, ἐν ἀπορίῃ τε εἴχοντο ὅ τι ποιέωσι, εἴτε ἀπαλλάσσωνται ὀπίσω εἴτε καταπλώωσι ἐφ᾽ Ἑλλησπόντου. τέλος δ᾽ ἔδοξε τούτων μὲν μηδέτερα ποιέειν, ἐπιπλώειν δὲ ἐπὶ τὴν ἤπειρον. παρασκευασάμενοι ὦν ἐς ναυμαχίην καὶ ἀποβάθρας καὶ τὰ ἄλλα ὅσων ἔδεε ἔπλωον ἐπὶ τῆς Μυκάλης. ἐπεὶ δὲ ἀγχοῦ τε ἐγίνοντο τοῦ στρατοπέδου καὶ οὐδεὶς ἐφαίνετό σφι ἐπαναγόμενος, ἀλλὰ ὥρεον νέας ἀνειλκυσμένας ἔσω τοῦ τείχεος, πολλὸν δὲ πεζὸν παρακεκριμένον παρὰ τὸν αἰγιαλὸν, ἐνθαῦτα πρῶτον μὲν ἐν τῇ νηῒ παραπλώων, ἐγχρίμψας τῷ αἰγιαλῷ τὰ μάλιστα, Λευτυχίδης ὑπὸ κήρυκος προηγόρευε τοῖσι Ἴωσι λέγων· Ἄνδρες Ἴωνες, ὅσοι ὑμέων τυγχάνουσι ἐπακούοντες, μάθετε τὰ λέγω· πάντως γὰρ οὐδὲν συνήσουσι Πέρσαι τῶν ἐγὼ ὑμῖν ἐντέλλομαι. ἐπεὰν συμμίσγωμεν, μεμνῆσθαί τινα χρὴ ἐλευθερίης μὲν πάντων πρῶτον, μετὰ δὲ τοῦ συνθήματος Ἥβης. καὶ τάδε ἴστω καὶ ὁ μὴ ἐπακούσας ὑμέων πρὸς τοῦ ἐπακούσαντος. ὡυτὸς δὲ οὗτος ἐὼν τυγχάνει νόος τοῦ πρήγματος καὶ ὁ Θεμιστοκλέος ὁ ἐπ᾽ Ἀρτεμισίῳ. ἢ γὰρ δὴ λαθόντα τὰ ῥήματα τοὺς βαρβάρους ἔμελλε τοὺς Ἴωνας πείσειν, ἢ ἔπειτεν ἀνενειχθέντα

1. ὡς νικήσοντες. Die Perser wollten zunächst auf offenem Felde schlagen und den Sieg zu erringen versuchen; erst für den Fall einer Niederlage wollten sie sich in das Schanzwerk flüchten. Für beide Möglichkeiten hatten sie ihre Vorkehrungen getroffen.

ἐπ᾽ ἀμφότερα (= in utramque partem) ἐπιλεγόμενοι. Vgl. VIII 22 ἐπ᾽ ἀμφότερα νοέων.

ἐπιλεγόμενοι. Ueber die Bedeutung von ἐπιλέγεσθαι s. z. VIII 50.

98. 4. ἤχθοντο ὡς ἐκπεφευγότων. Vgl. VIII 109 οὗτοι γὰρ μάλιστα ἐκπεφευγότων περιημέκτεον.

ἐν ἀπορίῃ εἴχοντο. S. z. VIII 52 (ἀπορίῃσι ἐνείχετο).

6. τέλος adverbial wie VIII 74.

μηδέτερα. Ueber den Plural s. z. VIII 123 (δεύτερα).

8. ἀποβάθρα eig. Landungsleiter (ἀποβαίνω). Sie konnte auch zum Entern gebraucht werden.

11. ἔσω τοῦ τείχεος innerhalb (od. hinter) der Schanze.

12. παρακεκριμένον. S. z. VIII 70 (wo in der ersten Anmerkung statt „der Flotte" zu lesen ist: des Fussvolks).

13. τὰ μάλιστα. S. z. VIII 79.

14. ὑπὸ κήρυκος voce praeconis.

17. τινά. Ueber die Bedeutung von τὶς bei Aufforderungen s. z. VIII 109.

18. συνθήματος. S. z. VIII 7.

19. ὁ μὴ ἐπακούσας. μή, weil das Participium hypothetische Geltung hat. Vgl. c. 106.

20. νόος „Sinn".

καί. Ueber die Bedeutung von καί nach ὁ αὐτός s. z. VIII 45. Zur Sache vgl. VIII 22.

22. ἔπειτεν ist wol zu streichen.

ἐς τοὺς βαρβάρους ποιήσειν ἀπίστους [τοῖσι Ἕλλησι]. Λευτυχί- 99
δεω δὲ ταῦτα ὑποθεμένου δεύτερα δὴ τάδε ἐποίευν οἱ Ἕλλη-
νες· προσσχόντες τὰς νέας ἀπέβησαν ἐς τὸν αἰγιαλόν. Καὶ
οὗτοι μὲν ἐτάσσοντο, οἱ δὲ Πέρσαι ὡς εἶδον τοὺς Ἕλληνας πα-
ρασκευαζομένους ἐς μάχην καὶ τοῖσι Ἴωσι παραινέσαντας, τοῦτο
μὲν ὑπονοήσαντες τοὺς Σαμίους τὰ Ἑλλήνων φρονέειν ἀπαιρέ-
ονται τὰ ὅπλα. οἱ γὰρ ὦν Σάμιοι ἀπικομένων Ἀθηναίων
αἰχμαλώτων ἐν τῇσι νηυσὶ τῶν βαρβάρων, τοὺς ἔλαβον ἀνὰ
τὴν Ἀττικὴν λελειμμένους οἱ Ξέρξεω, τούτους λυσάμενοι πάν-
τας ἀποπέμπουσι ἐποδιάσαντες ἐς τὰς Ἀθήνας· τῶν εἵνεκεν
οὐκ ἥκιστα ὑποψίην εἶχον, πεντακοσίας κεφαλὰς τῶν Ξέρξεω
πολεμίων λυσάμενοι. τοῦτο δὲ τὰς διόδους τὰς ἐς τὰς κορυφὰς
τῆς Μυκάλης φερούσας προστάσσουσι τοῖσι Μιλησίοισι φυλάσ-
σειν ὡς ἐπισταμένοισι δῆθεν μάλιστα τὴν χώρην. ἐποίευν δὲ
τούτου εἵνεκεν, ἵνα ἐκτὸς τοῦ στρατοπέδου ἔωσι. τούτους μὲν
Ἰώνων, τοῖσι καὶ κατεδόκεον νεοχμὸν ἄν τι ποιέειν δυνάμιος
ἐπιλαβομένοισι, τρόποισι τοιούτοισι προεφυλάσσοντο οἱ Πέρσαι,
αὐτοὶ δὲ συνεφόρησαν τὰ γέρρα ἕρκος εἶναί σφι. Ὡς δὲ ἄρα 100
παρεσκεύαστο τοῖσι Ἕλλησι, προσήϊσαν πρὸς τοὺς βαρβάρους.
ἰοῦσι δέ σφι φήμη τε ἐσέπτατο ἐς τὸ στρατόπεδον πᾶν καὶ

1. *ἄπιστος* heiszt hier wie in der ganz ähnlichen Stelle VIII 22 „verdächtig“. Vgl. VIII 22 *Θεμιστοκλέης δὲ ταῦτα ἔγραψε, δοκέειν ἐμοί, ἐπ' ἀμφότερα νοέων, ἵνα ἢ λαθόντα τὰ γράμματα βασιλέα ποιήσῃ μεταβαλεῖν καὶ γενέσθαι πρὸς ἑωυτῶν ἢ ἐπείτε ἀνενειχθῇ καὶ διαβληθῇ πρὸς Ξέρξην, ἀπίστους ποιήσῃ τοὺς Ἴωνας*. An unserer Stelle ist *τοῖσι Ἕλλησι* ein ungeschickter Zusatz eines Späteren.

99. 2. *ὑποθεμένου*. *ὑποτίθεσθαί τι* etwas vorschlagen, raten. S. z. VIII 97.

5. *τοῦτο μὲν*, das entsprechende *τοῦτο δέ* folgt erst weiter unten. S. z. VIII 88.

6. *τὰ Ἑλλήνων φρονέειν*. S. z. VIII 34.

9. *οἱ Ξέρξεω*. S. z. VIII 16.

11. *ὑποψίην ἔχειν* = *ὑποπτεύεσθαι*. Auch in den Verbindungen *αἰτίην ἔχειν* V 71 und *λόγον ἔχειν* V 66 dient *ἔχειν* zur Umschreibung des Passivs.

14. *δῆθεν*. S. z. c. 66.

16. *τοῖσι — κατεδόκεον νεοχμὸν ἄν τι ποιέειν*. — *καταδοκέω τινί τι* „ich traue jemandem etwas zu“ ist eine nur hier vorkommende Construction. Gewöhnlich hat *καταδοκέειν* den Accus. c. inf. nach sich (VI 16). Vgl. *κατακρίνω τινί τι* VII 146 (*τοῖσι κατακέκριτο θάνατος*). — Ueber die Bedeutung von *κατά* in *καταδοκέειν* s. z. VIII 4.

νεοχμὸν ποιέειν. Dafür ist V 19 *νεοχμοῦν* gebraucht. Weit häufiger gebraucht Herodot in dieser Bedeutung die Wendung *νεώτερα πρήσσειν* oder *ποιέειν* (V 19. 35. 106 öft.). Wie hier c. 104.

17. *ἐπιλαβέσθαι τινός* = nancisci aliquid.

18. *συνεφόρησαν τὰ γέρρα*. S. z. c. 61 (*φράξαντες τὰ γέρρα*).

100. 20. *φήμη ἐσέπτατο* wie c. 101 *ἡ κληδὼν σφι ἐσέπτατο*. Vgl. unten *ἡ φήμη διῆλθέ σφι*.

κηρυκήϊον ἐφάνη ἐπὶ τῆς κυματωγῆς κείμενον. ἡ δὲ φήμη διῆλθέ σφι ὧδε, ὡς οἱ Ἕλληνες τὴν Μαρδονίου στρατιὴν νικῷεν ἐν Βοιωτοῖσι μαχόμενοι. δῆλα δὴ πολλοῖσι τεκμηρίοισί ἐστι τὰ θεῖα τῶν πρηγμάτων, εἰ καὶ τότε τῆς [αὐτῆς] ἡμέρης συμπιπτούσης τοῦ τε ἐν Πλαταιῇσι καὶ τοῦ ἐν Μυκάλῃ μέλλοντος ἔσεσθαι τρώματος φήμη τοῖσι Ἕλλησι τοῖσι ταύτῃ ἐσαπίκετο, ὥστε θαρσῆσαί τε τὴν στρατιὴν πολλῷ μᾶλλον καὶ ἐθέ-
101 λειν προθυμότερον κινδυνεύειν. Καὶ τόδε ἕτερον συνέπεσε γενόμενον, Δήμητρος τεμένεα Ἐλευσινίης παρ' ἀμφοτέρας τὰς συμβολὰς εἶναι. καὶ γὰρ δὴ ἐν τῇ Πλαταιίδι παρ' αὐτὸ τὸ Δημήτριον ἐγίνετο, ὡς καὶ πρότερόν μοι εἴρηται, ἡ μάχη, καὶ ἐν Μυκάλῃ ἔμελλε ὡσαύτως ἔσεσθαι. γενονέναι δὲ νίκην τῶν μετὰ Παυσανίεω Ἑλλήνων ὀρθῶς σφι ἡ φήμη συνέβαινε ἐλθοῦσα. τὸ μὲν γὰρ ἐν Πλαταιῇσι πρωῒ ἔτι τῆς ἡμέρης ἐγίνετο, τὸ δὲ ἐν Μυκάλῃ περὶ δείλην. ὅτι δὲ τῆς αὐτῆς ἡμέρης συνέβαινε γίνεσθαι μηνός τε τοῦ αὐτοῦ, χρόνῳ οὐ πολλῷ σφι ὕστερον δῆλα ἀναμανθάνουσι ἐγένετο. ἦν δὲ ἀρρωδίη σφι πρὶν τὴν φήμην ἐσαπικέσθαι, οὔτι περὶ σφέων αὐτῶν οὕτω, ὡς τῶν

1. *κυματωγή* eigentl. Wogenbruch (*ἄγνυμι*), dann Gestade; noch IV 196.

4. *τὰ θεῖα τῶν πρηγμάτων* „die göttliche Einwirkung auf die (irdischen) Dinge". Zum Ausdruck vgl. VII 137 *τοῦτό μοι θειότατον φαίνεται γενέσθαι* und I 126 *θείῃ τύχῃ γενόμενον*. Aehnlich VIII 65. 94.

εἰ καί. Ueber die Bedeutung von *εἰ καί* s. z c. 68.

αὐτῆς ist zu streichen; wahrscheinlich ist es aus dem folgenden Capitel (*τῆς αὐτῆς ἡμέρης συνέβαινε γίνεσθαι*) hier eingefälscht (Krüger).

6. *τρῶμα*. S. z. VIII 27.

101. 8. *συνέπεσε γενόμενον*. — *συμπίπτειν* vom zeitlichen Zusammentreffen zweier Begebenheiten mit Particip auch V 36 *Ἀρισταγόρῃ δὲ συνέπιπτε τοῦ αὐτοῦ χρόνου πάντα ταῦτα συνελθόντα*. S. z. VIII 15.

10. *συμβολή* eigentl. Kampf (c. 42) steht hier metonymisch für Schlachtfeld, wie sich *μάχη* in gleicher Bedeutung bei Xen. Anab. II 2, 6 findet.

11. *πρότερον*. S. c. 57.

13. *συνέβαινε ἐλθοῦσα*. *συμβαίνειν* vom zufälligen Zusammentreffen od. sich ereignen (= *τυγχάνειν*) wird sonst gewöhnlich mit Infin. od. mit Acc. c. inf. verbunden. Vgl. VI 103.

15. *τῆς αὐτῆς ἡμέρης*. S. z. c. 90.

16. *μηνός τε τοῦ αὐτοῦ*. Nach Plutarch's sich widersprechenden Angaben (vgl. Plut. Camill. c. 19 und Arist. c. 19) fanden beide Schlachten entweder am 31. Boëdromion od. am 26. Metageitnion statt. Der Boëdromion umfasste die zweite Hälfte unseres September und die erste des October, der Metageitnion die zweite Hälfte des August und die erste des September.

18. *ὡς τῶν Ἑλλήνων* näml. *τῶν μετὰ Παυσανίεω* (ob. 13); auch zu diesem Genitiv ist *περί* aus dem Vorhergehenden zu denken (vgl. c. 33). Uebrigens wird *περί* in Verbindung mit Ausdrücken der Furcht und Besorgnis sonst immer mit Dativ verbunden. Vgl. VIII 74.

῾Ελλήνων, μὴ περὶ Μαρδονίῳ πταίσῃ ἡ ῾Ελλάς. ὡς μέντοι ἡ κληδὼν αὕτη σφι ἐσέπτατο, μᾶλλόν τι καὶ ταχύτερον τὴν πρόσοδον ἐποιεῦντο. οἱ μὲν δὴ ῞Ελληνες καὶ οἱ βάρβαροι ἔσπευδον ἐς τὴν μάχην, ὥς σφι καὶ αἱ νῆσοι καὶ ὁ ῾Ελλήσποντος ἄεθλα προεκέετο.

Τοῖσι μέν νυν ᾿Αθηναίοισι καὶ τοῖσι προσεχέσι τούτοισι 102 τεταγμένοισι μέχρι κου τῶν ἡμισέων, ἡ ὁδὸς ἐγίνετο κατ' αἰγιαλόν τε καὶ ἄπεδον χῶρον, τοῖσι δὲ Λακεδαιμονίοισι καὶ τοῖσι ἐπεξῆς τούτοισι τεταγμένοισι κατά τε χαράδρην καὶ οὔρεα. ἐν ᾧ δὲ οἱ Λακεδαιμόνιοι περιήϊσαν, οὗτοι οἱ ἐπὶ τῷ ἑτέρῳ κέρεϊ [ἔτι] καὶ δὴ ἐμάχοντο. ἕως μέν νυν τοῖσι Πέρσῃσι ὄρθια ἦν τὰ γέρρα, ἠμύνοντό τε καὶ οὐδὲν ἔλασσον εἶχον τῇ μάχῃ, ἐπείτε δὲ τῶν ᾿Αθηναίων καὶ τῶν προσεχέων ὁ στρατὸς, ὅκως ἑωυτῶν γένηται τὸ ἔργον καὶ μὴ Λακεδαιμονίων, παρακελευσάμενοι ἔργου εἴχοντο προθυμότερον, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ πρῆγμα. διωσάμενοι γὰρ τὰ γέρρα οὗτοι φερόμενοι ἐσέπεσον ἀλέες ἐς τοὺς Πέρσας, οἱ δὲ δεξάμενοι καὶ χρόνον συχνὸν ἀμυνόμενοι τέλος ἔφευγον ἐς τὸ τεῖχος. ᾿Αθηναῖοι δὲ καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Τροιζήνιοι (οὗτοι γὰρ ἦσαν ἐπεξῆς τεταγμένοι) συνεπισπόμενοι συνεσέπιπτον ἐς τὸ τεῖχος. ὡς δὲ καὶ τὸ τεῖχος ἀραίρητο, οὔτ' ἔτι πρὸς ἀλκὴν ἐτράποντο οἱ βάρβαροι, πρὸς φυγήν τε ὡρμέατο οἱ ἄλλοι πλὴν Περσέων. οὗτοι δὲ κατ'

1. *περὶ Μαρδονίῳ*. *πταίειν περί τινι* ist eine nur hier vorkommende Verbindung. Gewöhnlicher auch bei Herodot ist *πταίειν* (od. *προσπταίειν*) *πρός τι*. Vgl. VII 22 *προσπταίειν πρὸς τὸν ῎Αθων*. — *πταίειν* ist hier wie unt. c. 107 *προσπταίειν* in übertragener Bedeutung gebraucht. S. z. c. 107.

2. *ταχύτερον*. Diese Form des Comparativs auch IV 127, anders III 155.

πρόσοδος vom Angriff auch VII 223.

102. 6. *προσεχέσι — τεταγμένοισι*, dafür unten (9) *ἐπεξῆς — τεταγμένοισι*. *προσεχέσι* ist also praedicativ zu fassen (= *τούτοισι οἳ προσεχέες ἦσαν τεταγμένοι*). Vgl. c. 29 *προσεχέας δέ σφι εἵλοντο ἑστάναι οἱ Σπαρτιῆται τοὺς Τεγεήτας*.

7. *μέχρι κου τῶν ἡμισέων* etwa die Hälfte des (ganzen) Heeres.

9. *ἐν ᾧ* temporal zu faszen. Vgl. *ἐξ οὗ* und *ἐς ὅ*.

10. *οὗτοι οἱ ἐπὶ τῷ ἑτέρῳ κέρεϊ*, die Athener und *οἱ προσεχέες τούτοισι τεταγμένοι* (ob. 6).

11. *καὶ δή*. S. z. c. 6.

12. *τὰ γέρρα*. Vgl. c. 61.

ἔλασσον εἶχον. Das Gegenteil *πλέον ἔχειν* c. 70.

τῇ μάχῃ. Der blosze Dativ ist mehr dichterisch. Wir erwarteten *ἐν τῇ μάχῃ*. Wie hier VI 92 *τῇ αὐτῇ ταύτῃ ἐσβολῇ*.

15. *ἔργου ἔχεσθαι*. S. z. VIII 11.

16. *φερόμενοι ἐσέπεσον*. S. z. VIII 28.

18. *τέλος* adverbial wie c. 70.

22. *τὲ* einem vorangegangenen *οὔτε* entsprechend auch VIII 26.

κατ' ὀλίγους γινόμενοι „immer in kleinen Abteilungen." *κατά* in distributiver Bedeutung wie VIII 113 (*ἐκ δὲ τῶν ἄλλων συμμάχων ἐξελέγετο κατ' ὀλίγους*).

ὀλίγους γινόμενοι ἐμάχοντο τοῖσι αἰεὶ ἐς τὸ τεῖχος ἐσπίπτουσι Ἑλλήνων. καὶ τῶν στρατηγῶν τῶν Περσικῶν δύο μὲν ἀποφεύγουσι, δύο δὲ τελευτέουσι· Ἀρταΰντης μὲν καὶ Ἰθαμίτρης τοῦ ναυτικοῦ στρατηγέοντες ἀποφεύγουσι, Μαρδόντης δὲ καὶ
103 ὁ τοῦ πεζοῦ στρατηγὸς Τιγράνης μαχόμενοι τελευτέουσι. Ἔτι δὲ μαχομένων τῶν Περσέων ἀπίκοντο Λακεδαιμόνιοι καὶ οἱ μετ' αὐτῶν καὶ τὰ λοιπὰ συνδιεχείριζον. ἔπεσον δὲ καὶ αὐτῶν τῶν Ἑλλήνων συχνοὶ ἐνθαῦτα, ἄλλοι τε καὶ Σικυώνιοι καὶ στρατηγὸς Περίλεως. τῶν δὲ Σαμίων οἱ στρατευόμενοι ἐόντες τε ἐν τῷ στρατοπέδῳ τῷ Μηδικῷ καὶ ἀπαραιρημένοι τὰ ὅπλα ὡς εἶδον αὐτίκα κατ' ἀρχὰς γινομένην ἑτεραλκέα τὴν μάχην, ἔρδον ὅσον ἐδυνέατο, προσωφελέειν ἐθέλοντες τοῖσι Ἕλλησι. Σαμίους δὲ ἰδόντες οἱ ἄλλοι Ἴωνες ἄρξαντας, οὕτω δὴ καὶ αὐτοὶ ἀπο-
104 στάντες ἀπὸ Περσέων ἐπέθεντο τοῖσι βαρβάροισι. Μιλησίοισι δὲ προσετέτακτο μὲν τῶν Περσέων τὰς διόδους τηρέειν, σωτηρίης εἵνεκέν σφι, ὡς ἢν ἄρα σφέας καταλαμβάνῃ οἷάπερ κατέλαβε, ἔχοντες ἡγεμόνας σώζωνται ἐς τὰς κορυφὰς τῆς Μυκάλης· ἐτάχθησαν μέν νυν ἐπὶ τοῦτο τὸ πρῆγμα οἱ Μιλήσιοι τούτου τε εἵνεκεν καὶ ἵνα μὴ παρεόντες ἐν τῷ στρατοπέδῳ τι νεοχμὸν ποιέοιεν, οἱ δὲ πᾶν τὸ ἐναντίον τοῦ προστεταγμένου ἐποίευν, ἄλλας τε κατηγεόμενοί σφι ὁδοὺς φεύγουσι, αἳ δὴ ἔφερον ἐς τοὺς πολεμίους, καὶ τέλος αὐτοί σφι ἐγίνοντο κτείνοντες πολεμιώτατοι. οὕτω δὴ τὸ δεύτερον Ἰωνίη ἀπὸ Περσέων
105 ἀπέστη. Ἐν δὲ ταύτῃ τῇ μάχῃ Ἑλλήνων ἠρίστευσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων Ἑρμόλυκος ὁ Εὐθύνου, ἀνὴρ παγκράτιον ἐπ-

1. *τοῖσι αἰεὶ ἐσπίπτουσι.* αἰεί hat hier wie oft in Verbindung mit dem Particip die Bedeutung jedesmal. Vgl. c. 116 (ὁ αἰεὶ βασιλεύων).

3. *Ἀρταΰντης.* Ueber Artayntes, Ithamitres, Mardontes vgl. VIII 130. Ueber Tigranes c. 96.

103. 10. *ἀπαραιρημένοι τὰ ὅπλα.* Vgl. c. 99 ἀπαιρέονται τὰ ὅπλα.

11. *κατ' ἀρχάς* (= αὐτίκα). S. z. VIII 3.

ἑτεραλκέα. S. z. VIII 11.

12. *προσωφελέειν* hier mit (dem seltneren) Dativ, ob. c. 68 mit dem Accus. verbunden.

104. 15. *τῶν Περσέων.* Wahrscheinlich ist die Präposition πρός (od. ἐκ) ausgefallen. Vgl. c. 99 τὰς διόδους προστάσσουσι τοῖσι Μιλησίοισι φυλάσσειν.

16. *σφὶ* ist possessiv. Dativ (= wegen ihrer Rettung).

ἄρα. S. z. VIII 8.

καταλαμβάνειν. Ueber die Bedeutung s. z. c. 75.

20. *νεοχμὸν ποιέοιεν.* S. z. c. 99.

21. *κατηγέεσθαι.* Vgl. VII 215 τὴν ἀτραπὸν ταύτην οἱ Μηλιέες Θεσσαλοῖσι κατηγήσαντο.

22. *τέλος* adverbial wie C. 102.

23. *δεύτερον — ἀπέστη.* Zwanzig Jahre nach dem ersten (499 v. Chr.) Abfall. Vgl. V 35. VI 18. 31.

105. 25. *Ἑρμόλυκος.* Der Perieget Pausanias sah noch sein Standbild auf der Akropolis von Athen.

παγκράτιον ἐπασκήσας.

ασκήσας. τοῦτον δὲ τὸν Ἑρμόλυκον κατέλαβε ὕστερον τούτων, πολέμου ἐόντος Ἀθηναίοισί τε καὶ Καρυστίοισι, ἐν Κύρνῳ τῆς Καρυστίης χώρης ἀποθανόντα ἐν μάχῃ κέεσθαι ἐπὶ Γεραιστῷ. μετὰ δὲ Ἀθηναίους Κορίνθιοι καὶ Τροιζήνιοι καὶ Σικυώνιοι ἠρίστευσαν.

106 *Ἐπείτε δὲ κατεργάσαντο οἱ Ἕλληνες τοὺς πολλούς, τοὺς μὲν μαχομένους, τοὺς δὲ καὶ φεύγοντας τῶν βαρβάρων, τὰς νέας ἐνέπρησαν καὶ τὸ τεῖχος ἅπαν, τὴν ληΐην προεξαγαγόντες ἐς τὸν αἰγιαλόν, καὶ θησαυρούς τινας χρημάτων εὗρον. ἐμπρήσαντες δὲ τὸ τεῖχος καὶ τὰς νέας ἀπέπλωον. ἀπικόμενοι δὲ ἐς Σάμον οἱ Ἕλληνες ἐβουλεύοντο περὶ ἀναστάσιος τῆς Ἰωνίης, καὶ ὅκῃ χρεὼν εἴη τῆς Ἑλλάδος κατοικίσαι τῆς αὐτοὶ ἐγκρατέες ἦσαν, τὴν δὲ Ἰωνίην ἀπεῖναι τοῖσι βαρβάροισι. ἀδύνατον γὰρ ἐφαίνετό σφι εἶναι ἑωυτούς τε Ἰώνων προκατῆσθαι φρουρέοντας τὸν πάντα χρόνον, καὶ ἑωυτῶν μὴ προκατημένων Ἴωνας οὐδεμίαν ἐλπίδα εἶχον χαίροντας πρὸς τῶν Περσέων ἀπαλλάξειν. πρὸς ταῦτα Πελοποννησίων μὲν τοῖσι ἐν τέλεϊ ἐοῦσι ἐδόκεε τῶν μηδισάντων ἐθνέων τῶν Ἑλληνικῶν τὰ ἐμπόρια ἐξαναστήσαντας δοῦναι τὴν χώρην Ἴωσι ἐνοικῆσαι, Ἀθηναίοισι*

Vgl. VI 92 *Εὐρυβάτης πεντάεθλον ἐπασκήσας.* Das *παγκράτιον* umfasste den Faust- und Ringkampf.

1. *κατέλαβε — ἀποθανόντα κέεσθαι.* S. z. c. 75.

2. *πολέμου — Καρυστίοισι.* Wahrscheinlich derselbe Krieg, welchen Thucydides (I 98) erwähnt; er fiel in den Sommer des Jahres 476 v. Chr. Ueber die hier genannten euboischen Städte vgl. VIII 112. 121. 7. Das nicht weiter bekannte Kyrnos lag vermutlich zwischen Karystos und Geraistos.

Die befreiten Ioner werden in die hellenische Bundesgenossenschaft aufgenommen. Rückkehr der Perser nach Sardes (c. 106. 107).

106. 6. *κατεργάσαντο.* *κατεργάζεσθαι* conficere, perdere (vgl. unser niedermachen). In gleicher Bedeutung *ἐξεργάζεσθαι* III 30 und *διεργάζεσθαι* V 20. Wie hier V 111.

11. *ἀνάστασις τῆς Ἰωνίης.* Das Land ist hier für die Bewohner gesetzt. *ἀνάστασις* „Verpflanzung“.

12. *τῆς Ἑλλάδος* hängt von *ὅκῃ* ab.

13. *τὴν δὲ Ἰωνίην ἀπεῖναι* hängt von *ἐβουλεύοντο* ab. Es erneuert und erweitert dieser Infinitivsatz nur das schon vorangegangene *περὶ ἀναστάσιος τῆς Ἰωνίης.*

14. *προκατῆσθαι* c. genet. Ueber die Bedeutung s. z. VIII 36.

15. *τὸν πάντα χρόνον.* S. z. VIII 140.

μὴ προκατημένων. Ueber *μὴ* beim Particip s. z. c. 98.

16. *χαίροντας.* Vgl. III 29 *ἀτάρ τοι ὑμεῖς γε οὐ χαίροντες* (= ungestraft) *γέλωτα ἐμὲ θήσεσθε.* Ebenso VI 50.

17. *τοῖσι ἐν τέλεϊ ἐοῦσι.* *οἱ ἐν τέλεϊ ἐόντες* heiszen die Obrigkeiten, „insofern ihnen die Ausführung der Beschlüsse obliegt“. Wie hier III 18. Es ist an den König und die ihn begleitenden Ephoren zu denken. Vgl. c. 76.

19. *ἐξαναστῆσαι τὰ ἐμπόρια.* Zur Bedeutung von *ἐξαναστῆσαι*

δὲ οὐκ ἐδόκεε ἀρχὴν Ἰωνίην γενέσθαι ἀνάστατον, οὐδὲ Πελοποννησίους περὶ τῶν σφετέρων ἀποικιέων βουλεύειν. ἀντιτεινόντων δὲ τούτων προθύμως εἶξαν οἱ Πελοποννήσιοι. καὶ οὕτω δὴ Σαμίους τε καὶ Χίους καὶ Λεσβίους καὶ τοὺς ἄλλους νησιώτας, οἳ ἔτυχον συστρατευόμενοι τοῖσι Ἕλλησι, ἐς τὸ συμμαχικὸν ἐποιήσαντο, πίστι τε καταλαβόντες καὶ ὁρκίοισι ἐμμενέειν τε καὶ μὴ ἀποστήσεσθαι. τούτους δὲ καταλαβόντες ὁρκίοισι ἔπλωον τὰς γεφύρας λύσοντες· ἔτι γὰρ ἐδόκεον ἐντεταμένας εὑρήσειν.

107 *Οὗτοι μὲν δὴ ἐπ' Ἑλλησπόντου ἔπλωον, τῶν δὲ ἀποφυγόντων βαρβάρων ἐς τὰ ἄκρα τε τῆς Μυκάλης κατειληθέντων, ἐόντων οὐ πολλῶν, ἐγίνετο κομιδὴ ἐς Σάρδις. πορευομένων δὲ κατ' ὁδὸν Μασίστης ὁ Δαρείου παρατυχὼν τῷ πάθεϊ τῷ γεγονότι τὸν στρατηγὸν Ἀρταΰντην ἔλεγε πολλά τε καὶ κακὰ, ἄλλα τε καὶ γυναικὸς κακίω φὰς αὐτὸν εἶναι τοιαῦτα στρατηγήσαντα, καὶ ἄξιον εἶναι παντὸς κακοῦ τὸν βασιλέος οἶκον κακώσαντα. παρὰ δὲ τοῖσι Πέρσῃσι γυναικὸς κακίω ἀκοῦσαι δέννος μέγιστός ἐστι. ὁ δὲ ἐπεὶ πολλὰ ἤκουσε, δεινὰ ποιεύμενος σπᾶται ἐπὶ τὸν Μασίστην τὸν ἀκινάκην ἀποκτεῖναι ἐθέλων. καί μιν ἐπιθέοντα φρασθεὶς Ξειναγόρης ὁ Πρηξίλεω ἀνὴρ Ἁλικαρνησεὺς, ὄπισθε ἑστεὼς αὐτοῦ Ἀρταΰντεω, ἁρπάζει μέσον καὶ ἐξαείρας παίει ἐς τὴν γῆν· καὶ ἐν τούτῳ οἱ δορυφόροι οἱ Μασίστεω προέστησαν. ὁ δὲ Ξειναγόρης ταῦτα ἐργάσατο χάριτα αὐτῷ τε Μασίστῃ τιθέμενος καὶ Ξέρξῃ, ἐκσώζων τὸν ἀδελφεὸν τὸν ἐκείνου· καὶ διὰ τοῦτο τὸ ἔργον Ξειναγόρης Κιλικίης πάσης ἦρξε δόντος βασιλέος. τῶν δὲ κατ' ὁδὸν πορευομένων οὐδὲν ἐπὶ πλέον ἐγένετο τούτων, ἀλλ' ἀπικνέονται ἐς Σάρδις. ἐν δὲ*

vgl. V 14 *Δαρεῖος ἐνετέλλετο ἐξαναστῆσαι ἐξ ἠθέων Παίονας.* Vgl. VIII 43.

1. *οὐκ — ἀρχήν* eig. = initio non, daher so viel wie prorsus non. So sehr häufig auch bei Herod.

6. *ἐποιήσαντο.* Richtiger wol *ἐσεποιήσαντο* (Krüger).

πίστι τε καταλαβόντες καὶ ὁρκίοισι. Dafür gebraucht Her. in derselben Verbindung *λαβόντες* „verpflichtend" III 74.

8. *ἐντεταμένας.* S. z. VIII 117.

107. 14. *τοιαῦτα στρατηγήσαντα = τοιαύτην στρατηγίην στρατηγήσαντα.* Die Verbindung *στρατηγίαν στρατηγέειν* auch bei Xen. Anab. I 3, 15.

17. *δεινὰ ποιεύμενος.* S. z. VIII 15.

18. *τὸν ἀκινάκην.* S. z. VII 54.

19. *φρασθεὶς = μαθών.* Vgl. VII 46 *οὗτος ὠνὴρ φρασθεὶς Ξέρξην.*

20. *ἁρπάζει μέσον.* Vgl. Ter. Adelph. 316 Sublimem medium arriperem et capite pronum in terram statuerem.

22. *προέστησαν* sc. *αὐτοῦ.*

χάριτα — τιθέμενος. Ueber die Verbindung *χάριν τίθεσθαι* s. z. c. 60.

25. *οὐδὲν ἐπὶ πλέον ἐγένετο τούτων.* Ueber diese Wendung s. z. c. 41.

τῇσι Σάρδισι ἐτύγχανε ἐὼν βασιλεὺς ἐξ ἐκείνου τοῦ χρόνου, ἐπείτε ἐξ Ἀθηνέων προσπταίσας τῇ ναυμαχίῃ φυγὼν ἀπίκετο.

ΤΟΤΕ δὴ ἐν τῇσι Σάρδισι ἐὼν ἄρα ἤρα τῆς Μασίστεω 108 γυναικὸς, ἐούσης καὶ ταύτης ἐνθαῦτα. ὡς δέ οἱ προσπέμποντι οὐκ ἐδύνατο κατεργασθῆναι, οὐδὲ βίην προσέφερε προμηθεόμενος τὸν ἀδελφεὸν Μασίστην (τὠυτὸ δὲ τοῦτο εἶχε καὶ τὴν γυναῖκα· εὖ γὰρ ἠπίστατο βίης οὐ τευξομένη), ἐνθαῦτα δὴ Ξέρξης ἐργόμενος τῶν ἄλλων πρήσσει τὸν γάμον τοῦτον τῷ παιδὶ τῷ ἑωυτοῦ Δαρείῳ, θυγατέρα τῆς γυναικὸς ταύτης καὶ Μασίστεω, δοκέων αὐτὴν μᾶλλον λάμψεσθαι ἢν ταῦτα ποιήσῃ. ἁρμόσας δὲ καὶ τὰ νομιζόμενα ποιήσας ἀπήλαυνε ἐς Σοῦσα. ἐπεὶ δὲ ἐκεῖ τε ἀπίκετο καὶ ἠγάγετο ἐς ἑωυτοῦ Δαρείῳ τὴν γυναῖκα, οὕτω δὴ τῆς Μασίστεω μὲν γυναικὸς ἐπέπαυτο, ὁ δὲ διαμειψάμενος ἤρα τε καὶ ἐτύγχανε τῆς Δαρείου μὲν γυναικὸς, Μασίστεω δὲ θυγατρός· οὔνομα δὲ τῇ γυναικὶ ταύτῃ ἦν Ἀρ-

1. ἐξ ἐκείνου τοῦ χρόνου ἐπείτε (= seit). Vgl. VIII 117. IX 3.

2. προσπταίειν (od. πταίειν) findet sich häufig in übertragener Bedeutung von Niederlagen. Vgl. c. 101. VI 95 öft.

τῇ ναυμαχίῃ. Der blosze Dativ wie c. 102 (τῇ μάχῃ).

Verhältnisse im persischen Königshause. Xerxes. Masistes. Amestris. (c. 108—113).

108. 4. προσπέμποντι. Er schickte einen Kuppler an sie.

5. κατεργασθῆναι ist Passiv. Zur Bedeutung von κατεργάζεσθαι vgl. VII 6 χρόνῳ δὲ κατεργάσατό τε καὶ ἀνέπεισε Ξέρξην ὥστε ποιέειν ταῦτα.

5. οὐδὲ βίην ebenso wenig wie noch weitere Verführungsversuche.

προσέφερε. Vgl. VII 172 ἀναγκαίην ἡμῖν οὐδεμίαν οἷοί τέ ἐστε προσφέρειν.

προμηθεόμενος. προμηθέεσθαι c. accus. respicere, vereri aliquem, in gleicher Bedeutung hat das Verbum II 172 den Genitiv bei sich.

6. τὠυτὸ δὲ τοῦτο näml. der Gedanke, dasz der König aus Achtung vor dem Bruder keine Gewalt anwenden werde.

εἶχε „hielt aufrecht".

8. ἐργόμενος τῶν ἄλλων. Das mediale ἔργεσθαί τινος auch IV 164. VII 197. Unter τὰ ἄλλα sind die übrigen (schon erwähnten) Versuche zu verstehen, welche der König bereits angewandt hatte.

9. θυγατέρα ist appositiv an τὸν γάμον angeschlossen.

10. λάμψεσθαι att. λήψεσθαι.

11. ἁρμόσας. ἁρμόζειν θυγατέρα τινὶ einem die Tochter verloben. Das Medium ἁρμόζεσθαί τινα γυναῖκα sich mit jemandem verloben III 137.

τὰ νομιζόμενα, die üblichen Gebräuche, auch I 49.

12. ἠγάγετο — Δαρείῳ. Das Medium ἄγεσθαι hier vom Vater, der dem Sohne (Δαρείῳ) eine Frau zuführt. Ebenso c. 111. Näheres s. z. I 34.

ἐς ἑωυτοῦ sc. οἶκον. Wie hier VI 5. VI 69. Vgl. I 108 φέρων δὲ παῖδα ἐς σεωυτοῦ ἀπόκτεινον.

13. ὁ δὲ. S. z. VIII 40 (οἱ δέ).

14. ἐτύγχανε τῆς — γυναικός. Vgl. Plut. Mar. 14 καὶ πολλάκις πειρῶν οὐκ ἐτύγχανε (αὐτῆς).

15. οὔνομα — ἦν Ἀρταΰντη. S. z. VIII 75.

109 ταΰτη. Χρόνου δὲ προϊόντος ἀνάπυστα γίνεται τρόπῳ τοιῷδε· ἐξυφήνασα Ἄμηστρις ἡ Ξέρξεω γυνὴ φᾶρος μέγα τε καὶ ποικίλον καὶ θέης ἄξιον διδοῖ Ξέρξῃ. ὁ δὲ ἡσθεὶς περιβάλλεταί τε καὶ ἔρχεται παρὰ τὴν Ἀρταΰντην. ἡσθεὶς δὲ καὶ ταύτῃ, ἐκέλευσε αὐτὴν αἰτῆσαι ὅ τι βούλεταί οἱ γενέσθαι ἀντὶ τῶν αὐτῷ ὑπουργημένων· πάντα γὰρ τεύξεσθαι αἰτήσασαν. τῇ δὲ κακῶς γὰρ ἔδεε πανοικίῃ γενέσθαι, πρὸς ταῦτα εἶπε Ξέρξῃ· Δώσεις μοι τὸ ἄν σε αἰτήσω; ὁ δὲ, πᾶν μᾶλλον δοκέων ἐκείνην αἰτῆσαι ὑπισχνέετο καὶ ὤμοσε. ἡ δὲ, ὡς ὤμοσε, ἀδεῶς αἰτέει τὸ φᾶρος. Ξέρξης δὲ παντοῖος ἐγίνετο οὐ βουλόμενος δοῦναι, κατ' ἄλλο μὲν οὐδὲν, φοβεόμενος δὲ Ἄμηστριν, μὴ καὶ πρὶν κατεικαζούσῃ τὰ γινόμενα οὕτω ἐπευρεθῇ πρήσσων· ἀλλὰ πόλις τε ἐδίδου καὶ χρυσὸν ἄπλετον καὶ στρατὸν, τοῦ ἔμελλε οὐδεὶς ἄρξειν ἀλλ' ἢ ἐκείνη· Περσικὸν δὲ κάρτα ὁ στρατὸς δῶρον. ἀλλ' οὐ γὰρ ἔπειθε, διδοῖ τὸ φᾶρος. ἡ δὲ περιχαρὴς ἐοῦσα τῷ
110 δώρῳ ἐφόρεέ τε καὶ ἠγάλλετο. Καὶ ἡ Ἄμηστρις πυνθάνεταί μιν ἔχουσαν, μαθοῦσα δὲ τὸ ποιεύμενον τῇ μὲν γυναικὶ ταύτῃ οὐκ εἶχε ἔγκοτον, ἡ δὲ ἐλπίζουσα τὴν μητέρα αὐτῆς εἶναι αἰτίην καὶ ταῦτα ἐκείνην πρήσσειν, τῇ Μασίστεω γυναικὶ ἐβούλευε ὄλεθρον. φυλάξασα δὲ τὸν ἄνδρα τὸν ἑωυτῆς Ξέρξην βασιλήϊον

109. 1. *χρόνου προϊόντος.* Wie hier IV 64. Vgl. die ähnl. Wendungen *χρόνου διελθόντος* V 41, *χρόνου προβαίνοντος* V 58, *χρόνου περιιόντος* IV 155 u. a.

ἀνάπυστα γίνεται. Dieselbe Umschreibung mit *γίνεσθαι* VI 64. Vgl. V 66 *ἀνοίστου γενομένου*, III 63 *μεταδιωκτὸς γενόμενος* (= *μεταδιωχθείς*).

6. *πάντα* hängt nicht von *τεύξεσθαι* ab.

τῇ δὲ κακῶς γὰρ ἔδεε. Wir erwarteten: *ἡ δὲ, κακῶς γάρ οἱ ἔδεε πανοικίῃ γενέσθαι, εἶπε Ξέρξῃ.* Allein sehr häufig bestimmt bei Her. das Verbum des mit *γάρ* vorgeschobenen Satzes den Casus des Substantivs (od. Pronomens) im Hauptsatz. Ganz wie hier I 24. IV 149. — *ἔδεε* wie sonst meist *χρῆν* (I 8) von der Bestimmung des Fatums. Ganz wie hier IV 79 (*ἐπείτε δὲ ἔδεέ οἱ κακῶς γενέσθαι*).

7. *πανοικίῃ.* S. z. VIII 106.

10. *παντοῖος ἐγίνετο.* Vgl. VII 10, III *τότε παντοῖοι ἐγένοντο Σκύθαι δεόμενοι Ἰώνων λῦσαι τὸν πόρον.*

11. *κατεικαζούσῃ.* Dativ beim Passiv (*ἐπευρεθῇ*). *κατά* (in *κατεικάζειν*) verstärkt den Begriff des Simplex wie in *καταδοκέω*, *καταφρονέω* (VIII 4. 10. 69. IX 57).

13. *ἐδίδου.* Beachte die Bedeutung des Imperfects.

14. *ἀλλ' ἤ* gleichsam auszer als ist eine bei andern Schriftstellern häufig vorkommende Verbindung, in welcher *ἤ* für uns pleonastisch ist. Bei Herodot wol nur hier so.

110. 18. *ἔγκοτον* (ira) substantivisch auch III 59 *Αἰγινῆται ἔγκοτον ἔχοντες Σαμίοισι.*

ἡ δέ. S. z. VIII 40 (*οἱ δὲ*).

ἐλπίζουσα. *ἐλπίζειν* heiszt hier wie oft vermuten.

20. *φυλάξασα* = *ἐπιτηρήσασα.* Wie hier VIII 9. Genauer unten (5) *ταύτην δὴ τὴν ἡμέρην φυλάξασα.*

δεῖπνον προτιθέμενον (τοῦτο δὲ τὸ δεῖπνον παρασκευάζεται ἅπαξ τοῦ ἐνιαυτοῦ, ἐν ἡμέρῃ τῇ ἐγένετο βασιλεύς· οὔνομα δὲ τῷ δείπνῳ τούτῳ Περσιστὶ μὲν τυκτὰ, κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν τέλεον· τότε καὶ τὴν κεφαλὴν σμᾶται μοῦνον βασιλεὺς καὶ Πέρσας δωρέεται), ταύτην δὴ τὴν ἡμέρην φυλάξασα ἡ Ἄμηστρις χρηΐζει τοῦ Ξέρξεω δοθῆναί οἱ τὴν Μασίστεω γυναῖκα. ὁ δὲ δεινόν τε καὶ ἀνάρσιον ἐποιέετο τοῦτο μὲν ἀδελφεοῦ γυναῖκα παραδοῦναι, τοῦτο δὲ ἀναιτίην ἐοῦσαν τοῦ πρήγματος τούτου· συνῆκε γὰρ τοῦ εἵνεκεν ἐδέετο. Τέλος μέντοι 111
ἐκείνης τε λιπαρεούσης καὶ ὑπὸ τοῦ νόμου ἐξεργόμενος, ὅτι ἀτυχῆσαι τὸν χρηΐζοντα οὔ σφι δυνατόν ἐστι βασιληΐου δείπνου προκειμένου, κάρτα δὴ ἀέκων κατανεύει, καὶ παραδοὺς ποιέει ὧδε· τὴν μὲν κελεύει ποιέειν τὰ βούλεται, ὁ δὲ μεταπεμψάμενος τὸν ἀδελφεὸν λέγει τάδε· Μασίστα, σὺ εἶς Δαρείου τε παῖς καὶ ἐμὸς ἀδελφεὸς, πρὸς δ᾽ ἔτι τούτοισι καὶ εἷς ἀνὴρ ἀγαθός. γυναικὶ δὲ ταύτῃ τῇ νῦν συνοικέεις μὴ συνοίκεε, ἀλλά τοι ἀντ᾽ αὐτῆς ἐγὼ δίδωμι θυγατέρα τὴν ἐμήν. ταύτῃ συνοίκεε· τὴν δὲ νῦν ἔχεις, οὐ γὰρ δοκέει ἐμοὶ, μὴ ἔχε γυναῖκα. ὁ δὲ Μασίστης ἀποθωμάσας τὰ λεγόμενα λέγει τάδε· Ὦ δέσποτα, τίνα μοι λόγον λέγεις ἄχρηστον, κελεύων με γυναῖκα, ἐκ τῆς μοι παῖδες νεηνίαι τέ εἰσι τρεῖς καὶ θυγατέρες, τῶν καὶ σὺ μίαν τῷ παιδὶ τῷ σεωυτοῦ ἠγάγεο γυναῖκα, αὐτή τέ μοι κατὰ νόον τυγχάνει κάρτα ἐοῦσα, ταύτην με κελεύεις μετέντα θυγατέρα τὴν σεωυτοῦ γῆμαι; ἐγὼ δὲ, βασιλεῦ,

1. *προτιθέμενον.* Für προτίθεσθαι δεῖπνον gebraucht Her. I 207 *προθεῖναι δαῖτα.*

2. *τῇ ἐγένετο.* Die Praeposition im Relativsatz nicht wiederholt. S. z. c. 33 (τοῖσι). Ueber die Geburtstagfeier bei den Persern vgl. I 133.

4. *μοῦνον* verb. mit *τότε.*

7. *δεινόν — ἐποιέετο.* S. z. VIII 15.

τοῦτο μὲν — τοῦτο δέ. S. z. VIII 88.

111. 10. *λιπαρεούσης καὶ ἐξεργόμενος.* So schlieszen sich öfter im Casus verschiedene Participien an einander an. Vgl. VI 46 οἱ γὰρ δὴ Θάσιοι οἷα ὑπὸ Ἱστιαίου πολιορκηθέντες καὶ προσόδων ἐουσέων μεγάλων ἐχρέοντο τοῖσι χρήμασι νέας ναυπηγεόμενοι μακράς.

ἐξεργόμενος. ἐξέργεσθαι eig. „abgehalten, verhindert, ausgeschlossen werden“. Da sich aber das Ausschlieszen in der Auffassung mit dem Begriff des Einschlieszens berührt, so kann ἐξέργεσθαι auch wie hier bedeuten: eingeschlossen oder gezwungen werden. Vgl. VII 139 ἐνθαῦτα ἀναγκαίῃ ἐξέργομαι γνώμην ἀποδέξασθαι.

13. *ὁ δέ.* S. z. c. 110 (ἡ δέ).

14. *εἷς.* Attisch?

22. *ἠγάγεο.* S. z. c. 108.

αὐτή τε nach *ἐκ τῆς.* Auch hier ist die Wiederholung des Relativs im zweiten Gliede vermieden. Wir erwarteten: καὶ ἥ. S. z. VIII 62.

μέγα μὲν ποιεῦμαι ἀξιεύμενος θυγατρὸς τῆς σῆς, ποιήσω μέντοι τούτων οὐδέτερα. σὺ δὲ μηδαμῶς βιῶ πρήγματος τοιοῦδε δεόμενος· ἀλλὰ τῇ τε σῇ θυγατρὶ ἀνὴρ ἄλλος φανήσεται ἐμεῦ οὐδὲν ἕσσων, ἐμέ τε ἔα γυναικὶ τῇ ἐμῇ συνοικέειν. ὁ μὲν δὴ τοιούτοισι ἀμείβεται, Ξέρξης δὲ θυμωθεὶς λέγει τάδε· Οὕτω τοι, Μασίστα, πέπρηκται. οὔτε γὰρ ἄν τοι δοίην θυγατέρα τὴν ἐμὴν γῆμαι, οὔτε ἐκείνῃ πλέονα χρόνον συνοικήσεις, ὡς μάθῃς τὰ διδόμενα δέκεσθαι. ὁ δὲ ὡς ταῦτα ἤκουσε, εἴπας
112 *τοσόνδε ἐχώρεε ἔξω· Δέσποτα, οὐ δή κώ με ἀπώλεσας. Ἐν δὲ τούτῳ τῷ διὰ μέσου χρόνῳ, ἐν τῷ Ξέρξης τῷ ἀδελφεῷ διελέγετο, ἡ Ἄμηστρις μεταπεμψαμένη τοὺς δορυφόρους τοῦ Ξέρξεω διαλυμαίνεται τὴν γυναῖκα τὴν Μασίστεω· τούς τε μαζοὺς ἀποταμοῦσα κυσὶ προέβαλε, καὶ ῥῖνα καὶ ὦτα καὶ χείλεα καὶ γλῶσ-*
113 *σαν ἐκταμοῦσα ἐς οἶκόν μιν ἀποπέμπει διαλελυμασμένην. Ὁ δὲ Μασίστης οὐδέν κω ἀκηκοὼς τούτων, ἐλπόμενος δέ τί οἱ κακὸν εἶναι, ἐσπίπτει δρόμῳ ἐς τὰ οἰκία. ἰδὼν δὲ διεφθαρμένην τὴν γυναῖκα, αὐτίκα μετὰ ταῦτα συμβουλευσάμενος τοῖσι παισὶ ἐπορεύετο ἐς Βάκτρα σύν τε τοῖσι ἑωυτοῦ υἱοῖσι καὶ δή κού τισι καὶ ἄλλοισι ὡς ἀποστήσων νομὸν τὸν Βάκτριον καὶ ποιήσων τὰ μέγιστα κακῶν βασιλέα. τάπερ ἂν καὶ ἐγένετο, ὡς ἐμοὶ δοκέειν, εἴπερ ἔφθη ἀναβὰς ἐς τοὺς Βακτρίους καὶ τοὺς Σάκας· καὶ γὰρ ἔστεργόν τέ μιν καὶ ἦν ὕπαρχος τῶν Βακτρίων. ἀλλὰ γὰρ Ξέρξης πυθόμενος ταῦτα ἐκεῖνον πρήσσοντα πέμψας ἐπ' αὐτὸν στρατιὴν ἐν τῇ ὁδῷ κατέκτεινε αὐτόν τε ἐκεῖνον καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὴν στρατιὴν τὴν ἐκείνου.*

Κατὰ μὲν τὸν ἔρωτα τὸν Ξέρξεω καὶ τὸν Μασίστεω θάνα-

1. *μέγα ποιεῦμαι* hier mit Particip verbunden. Anders V 24. S. z. VIII 3.

2. *οὐδέτερα.* Ueber den Numerus s. z. VIII 123.

βιῶ. Her. gebraucht *βιᾶσθαι* weit häufiger als *βιάζεσθαι.*

5. *οὕτω τοι πέπρηκται* „du hast es dahin gebracht".

8. *τὰ διδόμενα.* S. z. VIII 114.

9. *τοσόνδε. τοσοῦτος* und *τοσόσδε* eig. so grosz, so viel, können daher auch von einer geringen Menge gebraucht werden (= nur so viel). Wie hier I 128. Vgl. VII 209.

112. 9. *ἐν δὲ τούτῳ τῷ διὰ μέσου χρόνου.* S. z. VIII 27.

113. 15. *ἐλπόμενος. ἔλπεσθαι* in gleicher Bedeutung VI 109 *ἔλπομαί τινα στάσιν μεγάλην ἐμπεσοῦσαν διασείσειν τὰ Ἀθηναίων φρονήματα ὥστε μηδίσαι.*

19. *νομὸν τὸν Βάκτριον.* Ueber die Provinz Bactrien, einen Hauptsitz der persischen Macht im Osten, vgl. III 92.

20. *ὡς ἐμοὶ δοκέειν.* S. z. VIII 22.

22. *ἀλλὰ γάρ.* Den nach *ἀλλά* vorschwebenden Gedanken, welcher durch *γάρ* seine Begründung erhält, ergänzt man leicht aus dem Zusammenhang. Ueber den elliptischen Gebrauch von *ἀλλὰ γάρ* s. z. VIII 8.

τον τοσαῦτα ἐγένετο, οἱ δὲ ἐκ Μυκάλης ὁρμηθέντες Ἕλληνες 114
ἐπ' Ἑλλησπόντου πρῶτον μὲν περὶ Λεκτὸν ὥρμεον, ὑπὸ ἀνέμων ἀπολαμφθέντες, ἐνθεῦτεν δὲ ἀπίκοντο ἐς Ἄβυδον, καὶ τὰς γεφύρας εὗρον διαλελυμένας, τὰς ἐδόκεον εὑρήσειν ἔτι ἐντεταμένας, καὶ τούτων οὐκ ἥκιστα εἵνεκεν ἐς τὸν Ἑλλήσποντον ἀπίκοντο. τοῖσι μέν νυν ἀμφὶ Λευτυχίδην Πελοποννησίοισι ἔδοξε ἀποπλώειν ἐς τὴν Ἑλλάδα, Ἀθηναίοισι δὲ καὶ Ξανθίππῳ τῷ στρατηγῷ αὐτοῦ ὑπομείναντας πειρᾶσθαι τῆς Χερσονήσου. οἱ μὲν δὴ ἀπέπλωον, Ἀθηναῖοι δὲ ἐκ τῆς Ἀβύδου διαβάντες ἐς τὴν Χερσόνησον Σηστὸν ἐπολιόρκεον. Ἐς 115
δὲ τὴν Σηστὸν ταύτην, ὡς ἐόντος ἰσχυροτάτου τείχεος τῶν ταύτῃ, συνῆλθον, ὡς ἤκουσαν παρεῖναι τοὺς Ἕλληνας ἐς τὸν Ἑλλήσποντον, ἔκ τε τῶν ἄλλων τῶν περιοικίδων, καὶ δὴ καὶ ἐκ Καρδίης πόλιος Οἰόβαζος ἀνὴρ Πέρσης, ὃς τὰ ἐκ τῶν γεφυρέων ὅπλα ἐνθαῦτα ἦν κεκομικώς. εἶχον δὲ ταύτην ἐπιχώριοι Αἰολέες, συνῆσαν δὲ Πέρσαι τε καὶ τῶν ἄλλων συμμάχων συχνὸς ὅμιλος. Ἐτυράννευε δὲ τούτου τοῦ νομοῦ Ξέρξεω ὕπαρ- 116
χος Ἀρταΰκτης, ἀνὴρ μὲν Πέρσης, δεινὸς δὲ καὶ ἀτάσθαλος, ὃς καὶ βασιλέα ἐλαύνοντα ἐπ' Ἀθήνας ἐξηπάτησε, τὰ Πρωτε-

1. τοσαῦτα ἐγένετο. Abschluss der mit c. 108 anhebenden Episode von Xerxes, Masistes und Amestris.

Eroberung von Sestos. Artayctes' Frevel und Bestrafung. Ein bedeutsamer Ausspruch des Königs Kyros (c. 114—122).

114. 2. Λεκτόν. Lectum, ein Vorgebirge in Mysien, der Nordküste von Lesbos gegenüber.

3. ἀπολαμφθέντες. „ἀπολαμβάνειν quoniam omnino significat intercludere, intercipere, de vento quoque a proposito itinere excludente proprium est vocabulum". Ganz wie hier II 115.

4. διαλελυμένας. Vgl. VIII 117.

5. ἐντεταμένας. S. z. VIII 117. οὐκ ἥκιστα, ἀλλὰ μάλιστα.

6. Λευτυχίδην. Zur Sache vgl. Thuk. I 89 Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου, ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους· οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ἀπ' Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι, ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως, ὑπομείναντες Σηστὸν ἐπολιόρκουν Μήδων ἐχόντων καὶ ἐπιχειμάσαντες εἷλον αὐτὴν ἐκλιπόντων τῶν βαρβάρων καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις. Die Eroberung von Sestos fällt in das Jahr 478 v. Chr.

11. ὡς ἐόντος. Ueber den Casus s. z. VIII 69 (ἅτε τετιμημένης nach einem vorangegangenen αὐτῇ).

12. παρεῖναι ἐς. Ueber die Brachylogie s. z. VIII 60.

13. καὶ δὴ καί nach ἄλλος. S. z. VIII 52.

14. Καρδίη, Stadt an der Nordwestseite des Chersonnesos, war von Milet aus gegründet.

15. ὅπλα Tauwerk, wie VII 36 und unt. c. 121. — Ueber τὰ ἐκ τῶν γεφυρέων ὅπλα s. z. VIII 88.

116. 19. τὰ Πρωτεσίλεω — ὑπελόμενος. Zur Sache vgl. VII 33 μετὰ ταῦτα, χρόνῳ ὕστερον οὐ πολ-

σίλεω τοῦ Ἰφίκλου χρήματα ἐξ Ἐλαιοῦντος ὑπελόμενος. ἐν γὰρ Ἐλαιοῦντι τῆς Χερσονήσου ἐστὶ Πρωτεσίλεω τάφος τε καὶ τέμενος περὶ αὐτὸν, ἔνθα ἦν χρήματα πολλὰ καὶ φιάλαι χρύσεαι καὶ ἀργύρεαι καὶ χαλκὸς καὶ ἐσθὴς καὶ ἄλλα ἀναθήματα, τὰ Ἀρταΰκτης ἐσύλησε βασιλέος δόντος. λέγων δὲ τοιάδε Ξέρξην διεβάλετο· Δέσποτα, ἔστι οἶκος ἀνδρὸς Ἕλληνος ἐνθαῦτα, ὃς ἐπὶ γῆν τὴν σὴν στρατευσάμενος δίκης κυρήσας ἀπέθανε. τούτου μοι δὸς τὸν οἶκον, ἵνα καί τις μάθῃ ἐπὶ γῆν τὴν σὴν μὴ στρατεύεσθαι. ταῦτα λέγων εὐπετέως ἔμελλε ἀναπείσειν Ξέρξην δοῦναι ἀνδρὸς οἶκον, οὐδὲν ὑποτοπηθέντα τῶν ἐκεῖνος ἐφρόνεε. ἐπὶ γῆν δὲ τὴν βασιλέος στρατεύεσθαι Πρωτεσίλεων ἔλεγε νοέων τοιάδε· τὴν Ἀσίην πᾶσαν νομίζουσι ἑωυτῶν εἶναι Πέρσαι καὶ τοῦ αἰεὶ βασιλεύοντος. ἐπεὶ δὲ ἐδόθη τὰ χρήματα, ἐξ Ἐλαιοῦντος ἐς Σηστὸν ἐξεφόρησε, καὶ τὸ τέμενος ἔσπειρε καὶ ἐνέμετο, αὐτός τε ὅκως ἀπίκοιτο ἐς Ἐλαιοῦντα, ἐν τῷ ἀδύτῳ γυναιξὶ ἐμίσγετο. τότε δὲ ἐπολιορκέετο ὑπὸ Ἀθηναίων οὔτε παρεσκευασμένος ἐς πολιορκίην οὔτε προσδεκόμενος τοὺς Ἕλληνας· ἀφυ-
117 λάκτῳ δέ κως αὐτῷ ἐπέπεσον. Ἐπεὶ δὲ πολιορκεομένοισί σφι φθινόπωρον ἐπεγίνετο, ἤσχαλλον οἱ Ἀθηναῖοι ἀπό τε τῆς ἑωυτῶν ἀποδημέοντες καὶ οὐ δυνάμενοι ἐξελεῖν τὸ τεῖχος, ἐδέοντό τε τῶν στρατηγῶν ὅκως ἀπάγοιέν σφεας ὀπίσω· οἱ δὲ οὐκ

λῷ, ἐπὶ Ξανθίππου τοῦ Ἀρίφρονος στρατηγοῦ Ἀθηναίων, Ἀρταΰκτην ἄνδρα Πέρσην λαβόντες Σηστοῦ ὕπαρχον ζώοντα πρὸς σανίδα διεπασσάλευσαν, ὃς καὶ ἐς τοῦ Πρωτεσίλεω τὸ ἱρὸν ἐς Ἐλαιοῦντα ἀγινεόμενοι γυναῖκας ἀθέμιτα ἔργα ἔρδεσκε. Protesilaus wurde zuerst unter allen hellenischen Kämpfern im trojanischen Kriege getötet, als er bei der Landung der erste vor allen aus dem Schiffe sprang (Hom. Il. II 701 ff.). In Elēus, einer Stadt auf der thrakischen Chersonnes, war sein Grab, hier hatte er auch einen Heroencult (Thuk. VIII 102).

6. *διεβάλετο.* διαβάλλεσθαι ist in dieser Bedeutung (= ἐξαπατᾶν) unattisch. Das Medium auch bei Her. nur hier so; häufig das Activ (V 49. 97. 107. VIII 110).

8. *καί τις.* Ueber die Bedeutung von τὶς s. z. VIII 109.

9. *ἔμελλε.* S. z. VIII 6.

10. *ὑποτοπηθέντα* ist Medium in activer Bedeutung. ὑποτοπέεσθαι Verdacht schöpfen auch VI 70. Häufiger ist ὑποπτεύειν.

12. *νομίζουσι ἑωυτῶν εἶναι.* Zum Gedanken vgl. I 4 τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα οἰκηϊεῦνται οἱ Πέρσαι.

13. *τοῦ αἰεὶ βασιλεύοντος.* Ueber die Bedeutung von αἰεὶ s. z. c. 102.

15. *ὅκως* c. opt. wie oft in iterativer Bedeutung.

18. *κως* vermutlich.

117. *πολιορκεομένοισι* ist Passiv. Gemeint sind die von den Athenern in Sestos eingeschlossenen Perser. Ueber den Dativ des Particips bei Zeitangaben s. z. VIII 129.

21. *ὅκως* (= ὡς) nach δέεσθαι auch III 44.

οὐκ ἔφασαν. S. z. VIII 2.

ἔφασαν πρὶν ἢ ἐξέλωσι ἢ τὸ Ἀθηναίων κοινόν σφεας μεταπέμ-
ψηται. οὕτω δὴ ἔστεργον τὰ παρεόντα. Οἱ δὲ ἐν τῷ τείχεϊ ἐς 118
πᾶν ἤδη κακοῦ ἀπιγμένοι ἦσαν, οὕτω ὥστε τοὺς τόνους ἕψον-
τες τῶν κλινέων ἐσιτέοντο. ἐπείτε δὲ οὐδὲ ταῦτα ἔτι εἶχον,
οὕτω δὴ ὑπὸ νύκτα οἴχονται ἀποδράντες οἵ τε Πέρσαι καὶ ὁ
Ἀρταΰκτης καὶ ὁ Οἰόβαζος, ὄπισθε τοῦ τείχεος καταβάντες, τῇ
ἦν ἐρημότατον τῶν πολεμίων. ὡς δὲ ἡμέρη ἐγένετο, οἱ Χερσο-
νησῖται ἀπὸ τῶν πύργων ἐσήμηναν τοῖσι Ἀθηναίοισι τὸ γεγο-
νὸς καὶ τὰς πύλας ἄνοιξαν. τῶν δὲ οἱ μὲν πλεῦνες ἐδίωκον,
οἱ δὲ τὴν πόλιν εἶχον. Οἰόβαζον μέν νυν ἐκφυγόντα ἐς τὴν 119
Θρηΐκην Θρήϊκες Ἀψίνθιοι λαβόντες ἔθυσαν Πλειστώρῳ ἐπι-
χωρίῳ θεῷ τρόπῳ τῷ σφετέρῳ, τοὺς δὲ μετ' ἐκείνου ἄλλῳ
τρόπῳ ἐφόνευσαν. οἱ δὲ ἀμφὶ τὸν Ἀρταΰκτην ὕστεροι ὁρμη-
θέντες φεύγειν, ὡς κατελαμβάνοντο ὀλίγον ἐόντες ὑπὲρ Αἰγὸς
Ποταμῶν, ἀλεξόμενοι χρόνον ἐπὶ συχνὸν οἱ μὲν ἀπέθανον, οἱ
δὲ ζώοντες ἐλάμφθησαν. καὶ συνδήσαντές σφεας οἱ Ἕλληνες
ἤγαγον ἐς Σηστὸν, μετ' αὐτῶν δὲ καὶ Ἀρταΰκτην δεδεμένον,
αὐτόν τε καὶ τὸν παῖδα αὐτοῦ. Καί τεῳ τῶν φυλασσόντων λέγε- 120
ται ὑπὸ Χερσονησιτέων ταρίχους ὀπτέοντι τέρας γενέσθαι τοι-
όνδε. οἱ τάριχοι ἐπὶ τῷ πυρὶ κείμενοι ἐπάλλοντό τε καὶ ἤσπαι-
ρον ὅκως περ ἰχθύες νεοάλωτοι. καὶ οἱ μὲν περιχυθέντες
ἐθώμαζον, ὁ δὲ Ἀρταΰκτης ὡς εἶδε τὸ τέρας, καλέσας τὸν
ὀπτέοντα τοὺς ταρίχους ἔφη· Ξεῖνε Ἀθηναῖε, μηδὲν φοβέεο

1. πρὶν ἤ ohne ἄν. S. z. VIII 22. τὸ Ἀθηναίων κοινόν. S. z. VIII 135.

118. 2. ἐς πᾶν κακοῦ. Wie hier VII 118. Die gleiche Bedeutung hat VIII 52 ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι.

5. ὑπὸ νύκτα sub noctem, auch VIII 71.

7. ἐρημότατον ohne τό wie VII 199 ταύτῃ δὲ καὶ εὐρύτατόν ἐστι πάσης τῆς χώρης ταύτης.

119. 11. Ἀψίνθιοι der thrakische Stamm der Apsinthier wird auch VI 34 erwähnt. Sie wohnten in der nördlichen Chersonnes um die Stadt Αἶνος (früher Ἄψινθος genannt). Der Gott Pleistoros ist sonst nicht weiter bekannt.

14. κατελαμβάνοντο. καταλαμβάνεσθαι in gleicher Bedeutung VI 29 ὡς φεύγων τε καταλαμβάνετο (Ἱστιαῖος) ὑπ' ἀνδρὸς Πέρσεω, καταμηνύει ἑωυτόν.

Αἰγὸς Ποταμῶν. Αἰγὸς ποταμοί j. Galata, Name einer kleinen Hafenstadt an dem gleichnamigen Flusse unweit Sestos.

16. ἐλάμφθησαν, ἐλήφθησαν.

120. 20. ἐπάλλοντό τε καὶ ἤσπαιρον. Ein ähnliches Wunder Hom. Odyss. XII 394

τοῖσιν δ' αὐτίκ' ἔπειτα θεοὶ τέραα προὔφαινον·
εἷρπον μὲν ῥινοί, κρέα δ' ἀμφ' ὀβελοῖς ἐμεμύκει,
ὀπταλέα τε καὶ ὠμά· βοῶν δ' ὡς γίγνετο φωνή.

21. ὅκως περ ist in dieser Bedeutung (= wie auch) mehr dichterisch.

οἱ περιχυθέντες circumstantes.

τὸ τέρας τοῦτο· οὐ γάρ σοὶ πέφηνε, ἀλλ' ἐμοὶ σημαίνει ὁ ἐν Ἐλαιοῦντι Πρωτεσίλεως ὅτι καὶ τεθνεὼς καὶ τάριχος ἐὼν δύναμιν πρὸς θεῶν ἔχει τὸν ἀδικέοντα τίνεσθαι. νῦν ὦν ἄποινά οἱ τάδε ἐθέλω ἐπιθεῖναι, ἀντὶ μὲν χρημάτων τῶν ἔλαβον ἐκ τοῦ ἱροῦ, ἑκατὸν τάλαντα καταθεῖναι τῷ θεῷ, ἀντὶ δ' ἐμεωυτοῦ καὶ τοῦ παιδὸς ἀποδώσω τάλαντα διηκόσια Ἀθηναίοισι περιγενόμενος. ταῦτα ὑπισχόμενος τὸν στρατηγὸν Ξάνθιππον οὐκ ἔπειθε. οἱ γὰρ Ἐλαιούσιοι τῷ Πρωτεσίλεῳ τιμωρέοντες ἐδέοντό μιν καταχρησθῆναι, καὶ αὐτοῦ τοῦ στρατηγοῦ ταύτῃ ὁ νόος ἔφερε. ἀπαγαγόντες δὲ αὐτὸν ἐς τὴν ἀκτὴν ἐς τὴν Ξέρξης ἔζευξε τὸν πόρον, οἱ δὲ λέγουσι ἐπὶ τὸν κολωνὸν τὸν ὑπὲρ Μαδύτου πόλιος, σανίδα προσπασσαλεύσαντες ἀνεκρέμασαν,
121 τὸν δὲ παῖδα ἐν ὀφθαλμοῖσι τοῦ Ἀρταΰκτεω κατέλευσαν. Ταῦτα δὲ ποιήσαντες ἀπέπλωον ἐς τὴν Ἑλλάδα, τά τε ἄλλα χρήματα ἄγοντες καὶ δὴ καὶ τὰ ὅπλα τῶν γεφυρέων ὡς ἀναθήσοντες ἐς τὰ ἱρά. καὶ κατὰ τὸ ἔτος τοῦτο οὐδὲν ἐπὶ πλέον τούτων ἐγένετο.

122 Τούτου δὲ τοῦ Ἀρταΰκτεω τοῦ ἀνακρεμασθέντος προπάτωρ Ἀρτεμβάρης ἐστὶ ὁ Πέρσῃσι ἐξηγησάμενος λόγον, τὸν ἐκεῖνοι ὑπολαβόντες Κύρῳ προσήνεικαν, λέγοντα τάδε· Ἐπεὶ Ζεὺς Πέρσῃσι ἡγεμονίην διδοῖ, ἀνδρῶν δὲ σοί, Κῦρε, κατελὼν

3. *τίνεσθαι* steht in gleicher Bedeutung I 10. 27. III 47 (*τίσασθαι βουλόμενοι τοὺς Σαμίους τοῦ κρητῆρος τῆς ἁρπαγῆς*).

ἄποινα mulcta, auch VI 79.

8. *τιμωρέοντες*. *τιμωρέειν τινί* eig. jemandem sein Recht verschaffen. Bei dem Lebenden geschieht dies durch Beistand (I 141. VII 169 öft.), bei den Toten durch Rache. So hier (II 100. VIII 144).

9. *καταχρησθῆναι*. *καταχρᾶσθαι* töten auch VI 135. In gleicher Bedeutung war ob. c. 106 *κατεργάζεσθαι* gebraucht.

10. *ὁ νόος ἔφερε*. Häufiger ist *ἡ γνώμη φέρει τινί*. S. z. VIII 100.

12. *Μαδύτου*. Vgl. VII 33 *ἔστι δὲ τῆς Χερσονήσου τῆς ἐν Ἑλλησπόντῳ, Σηστοῦ τε πόλιος μεταξὺ καὶ Μαδύτου* (j. Maito) *ἀκτὴ τρηχέα ἐς θάλασσαν κατήκουσα Ἀβύδῳ καταντίον, ἔνθα μετὰ ταῦτα Ἀθηναῖοι Ἀρταΰκτην ἄνδρα Πέρσην λαβόντες Σηστοῦ ὕπαρχον ζώοντα πρὸς σανίδα διεπασσάλευσαν*. Aus dieser Stelle geht zugleich hervor, dasz wahrscheinlich auch an unserer Stelle *πρὸς σανίδα* zu lesen ist. *πρός* konnte vor dem gleich folgenden *προς* in *προσπασσαλεύσαντες* leicht ausfallen.

121. 16. *κατὰ τὸ ἔτος τοῦτο*. 478 v. Chr.

ἐπὶ πλέον. S. z. c. 41.

122. 19. *ἐξηγησάμενος*. *ἐξηγεῖσθαι* hier vom Vorschlage und dessen Begründung.

20. *λέγοντα*. Vgl. IV 36 *τὸν γὰρ περὶ Ἀβάριος λόγον οὐ λέγω, λέγοντα, ὡς τὸν ὀϊστὸν περιέφερε κατὰ πᾶσαν τὴν γῆν οὐδὲν σιτεόμενος*.

21. *διδοῖ*, das Praesens, weil die Perser noch die Herschaft besaszen.

ἀνδρῶν hängt von *σοί* ab.

Ἀστυάγεα, φέρε, γῆν γὰρ ἐκτήμεθα ὀλίγην καὶ ταύτην τρηχέαν, μεταναστάντες ἐκ ταύτης ἄλλην ἔχωμεν ἀμείνω. εἰσὶ δὲ πολλαὶ μὲν ἀστυγείτονες, πολλαὶ δὲ καὶ ἑκαστέρω, τῶν μίαν σχόντες πλέοσι ἐσόμεθα θωμαστότεροι. οἰκὸς δὲ ἄρχοντας ἄνδρας τοιαῦτα ποιέειν. κότε γὰρ δὴ καὶ παρέξει κάλλιον ἢ ὅτε γε ἀνθρώπων τε πολλῶν ἄρχομεν πάσης τε τῆς Ἀσίης; Κῦρος δὲ ταῦτα ἀκούσας καὶ οὐ θωμάσας τὸν λόγον ἐκέλευε ποιέειν ταῦτα, οὕτω δὲ αὐτοῖσι παραίνεε κελεύων παρασκευάζεσθαι ὡς οὐκέτι ἄρξοντας, ἀλλ' ἀρξομένους· φιλέειν γὰρ ἐκ τῶν μαλακῶν χώρων μαλακοὺς ἄνδρας γίνεσθαι· οὐ γάρ τοι τῆς αὐτῆς γῆς εἶναι καρπόν τε θωμαστὸν φύειν καὶ ἄνδρας ἀγαθοὺς τὰ πολέμια. ὥστε συγγνόντες Πέρσαι οἴχοντο ἀποστάντες, ἑσσωθέντες τῇ γνώμῃ πρὸς Κῦρον, ἄρχειν τε εἵλοντο λυπρὴν οἰκέοντες μᾶλλον ἢ πεδιάδα σπείροντες ἄλλοισι δουλεύειν.

1. *φέρε — ἔχωμεν.* Dem Cohortativus in affirmativen Sätzen setzt öfter auch Her. ein *ἄγε, φέρε, ἰδέ* voran. Vgl. I 11. II 14. 105.

καὶ ταύτην eamque. Zur Sache vgl. I 71.

4. *πλέοσι* pluribus (hominibus). — *θωμαστότεροι* Sinn: Wir werden in den Augen der Welt noch bewundernswerter erscheinen, wenn wir in einem grossen und fruchtbaren Lande wohnen, wo es uns an keinerlei Bequemlichkeit des Lebens gebricht.

5. *τοιαῦτα ποιέειν, κτήσασθαι γῆν μεγάλην τε καὶ εὐδαίμονα.*

παρέξει κάλλιον näml. *ἡμῖν.* Sinn: Wir werden niemals eine bessere Gelegenheit finden, das Ziel, welchem wir nachstreben müssen, zu erreichen, als jetzt. Das unpersönliche *παρέχει μοι* auch VIII 8 öft.

7. *οὐ θωμάσας τὸν λόγον.* Kyros fand das Verlangen natürlich und erklärlich.

8. *οὕτω* verb. mit *παρασκευάζεσθαι.*

9. *ἀρξομένους.* Fut. med. in passiver Bedeutung. Ganz wie hier VII 162. S. z. IX 58.

9. *φιλέειν* = consuesse. S. z. VIII 128.

10. *μαλακοὺς ἄνδρας γίνεσθαι.* Zum Gedanken vgl. Hippocr. de aëre § 33 *εὑρήσεις γὰρ ἐπὶ τὸ πλῆθος τῆς χώρης τῇ φύσι ἀκολουθέοντα καὶ τὰ εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς τρόπους. ὅκου μὲν γὰρ ἡ γῆ πίειρα καὶ μαλθακὴ — καὶ τῶν ὡρέων καλῶς κέεται, ἐνθαῦτα καὶ οἱ ἄνθρωποι σαρκώδεές εἰσι καὶ ἄναρθροι καὶ ὑγροὶ καὶ ἀταλαίποροι καὶ τὴν ψυχὴν κακοὶ ὡς ἐπὶ τὸ πολύ — ὅκου δ' ἐστὶ ἡ χώρη ψιλὴ καὶ τρηχείη — ἐνθαῦτα δὲ — ἔς τε τὰς τέχνας ὀξυτέρους τε καὶ συνετωτέρους καὶ τὰ πολέμια ἀμείνους εὑρήσεις.*

11. *ἀγαθοὺς τὰ πολέμια.* Vgl. VII 111 *τὰ πολέμια ἄκροι* und ob. c. 58 *τὰ πολέμια πρῶτοι.*

12. *συγγνόντες. συγγινώσκειν* heiszt einsehen, anerkennen (vgl. VI 92). Eine andre Bedeutung hat das Medium. S. z. c. 41.

ἑσσωθέντες τῇ γνώμῃ πρὸς Κύρου a Cyro prudentia superati.

I.

Revidiertes Verzeichnis sämmtlicher Abweichungen*) vom Texte der Teubner'schen Ausgabe (R. Dietsch).

Die Lesarten vor der Klammer sind die der Teubner'schen Textausgabe.

Buch I.

c. 6. *Σύρων*] *Συρίων* Bredow.
c. 9. *μηδέ*] *μηδέν* Ab.
c. 39. *τὸ ὄνειρον*] eingeklammert von Krüger.
c. 44. *τὸν αὐτὸν τοῦτον θεὸν οὐνομάζων*] eingeklammert von Naber.
c. 50. *τούτῳ ὅ τι*] *τοῦτο ὅ τι* Mediceus.
c. 51. *ἅμα τούτοισι*] *ἅμα τοῖσι* ist aus mehreren Handschriften hergestellt.
φαμένων] *φαμένων σφέων* Ab.
c. 55. *καὶ τότε*] *δὴ τότε* Krüger.
c. 58. *ἐθνέων πολλῶν, μάλιστα*] *ἐθνέων πολλῶν μάλιστα* Herold. Nach *πρός* ist *ταῦτα* eingeschoben von Ab.
c. 59. *τούτους*] *τριηκοσίους* nach Polyaen.
c. 62. *Ἀκαρνάν*] *Ἀχαρνεύς* Valckenaer.
c. 72. *Καππαδόκας*] eingeklammert von Naber.
c. 73. Nach *ἱμέρῳ* ist von Herold ein Komma gesetzt.
χρόνου δὲ γενομένου] *χρόνου δ' ἐγγενομένου* Naber.
c. 74. *ἐν δὲ καὶ — ἐποιήσαντο*] eingeklammert von Herold.
c. 75. *διέβησαν*] *διέβησαν ἄν* Ab.
c. 76. *ἐξελαύνειν*] eingeklammert von Ab.
c. 84. *τὸ χωρίον*] eingeklammert von Krüger.
c. 90. *τούτων*] *τοῦτο* nach jüngeren Handschriften. *τούτῳ* Mediceus.
c. 91. [*εἶπε*] *τὰ εἶπε*] *εἶπε τὰ εἶπε*. Nach den besseren Handschriften hergestellt von Ab.
c. 92. *ἀναθημάτων· τάδ'*] *ἀναθημάτων, τά* Herold.
c. 100. *ἐκεκοσμέατο*] *ἐκεκόσμητο* Bredow.
c. 106. *χωρὶς μὲν γάρ*] *πολλὸν μὲν γάρ* Ab.
τὸ ἐπέβαλλον] *τὸν ἐπέβαλλον* Herold.
c. 120. *ταύτῃ πλεῖστος γνώμην*] *ταύτῃ πλεῖστος γνώμῃ* Ab.
ὅμως μέν γέ τοι] *ὅμως γε μέντοι* Eltz.
c. 126. *μὴ βουλομένοισι δὲ ἐμέο πείθεσθαι*] *ἐμέο πείθεσθαι* eingeklammert von Naber.

---

*) Die zahlreichen dialectischen Aenderungen sind nicht aufgeführt. Ueber sie gibt die dem Text vorangehende Uebersicht über den Dialect genügenden Aufschlusz.

c. 132. ὁ λόγος αἱρέει] λόγος αἱρέει Mediceus.
c. 134. ἐντυγχάνοντες] συντυγχάνοντας Naber.
οἱ συντυγχάνοντες eingeklammert von Ab.
c. 142. οὔτε γὰρ τὰ ἄνω — καὶ αὐχμώδεος eingeklammert von Ab.
c. 143. δέ hinter πολλῷ gestrichen.
c. 146. Ὀρχομένιοι] Ὀρχομένιοί σφι Herold.
c. 147. ἔστωσαν δέ] ἔστωσαν δή Herold.
c. 148. πεπόνθασι — οὐνόματα eingeklammert von Stein.
c. 160. τὰ πάντα] πάντα τά Krüger.
c. 165. ἀνεστήσαντο] ἀνεκτήσαντο Ab.
c. 170. τὸ ἀνέκαθεν] τὰ ἀνέκαθεν Ab.
οἰκεομένας] οἰκημένας Krüger.
c. 171. δυνατός εἰμι μακρότατον ἐξικέσθαι] δυνατός εἰμι ἐπὶ μακρότατον ἐξικέσθαι Ab.
c. 173. τίς εἴη] τίς ἐστι Krüger.
c. 185. Vor ἄλλα ist von Bekker ἀλλ' eingeschoben.
καταπλώοντες ἐς τὸν Εὐφράτην] ἐς mit Lhardy gestrichen.
c. 199. ὁδόν eingeklammert von Ab.
c. 204. τοῦ ὦν δὴ πεδίου] τούτου ὦν δὴ πεδίου Stein.
c. 205. ἐθέλων γυναῖκα ἣν ἔχειν eingeklammert von Ab.
c. 216. νόμος] νόος Krüger.

Buch II.

c. 5. Αἴγυπτος] ἡ Αἴγυπτος Dietsch.
c. 10. ὥστε] ὥς γε Schweighäuser.
c. 11. κόλπον eingeklammert von Krüger.
c. 13. ἀποδιδῷ] ἀπιδιδῶται Steinmetz.
c. 14. καὶ ταῦτα μὲν ἐς Ἕλληνας Αἰγυπτίοισι ὀρθῶς ἔχοντα εἴρηται — καὶ ταῦτα μὲν ἐς Ἕλληνας ἔχοντα Αἰγυπτίοισι ὀρθῶς εἴρηται Ab.
c. 20. τῶν ὁδῶν eingeklammert von Krüger.
c. 22. ψυχρότερα; τῶν τὰ πολλά] ψυχρότερα· μαρτύρια γὰρ τοιαῦτα πολλά Ab.
c. 26. αὐτῷ] ἑαυτῷ Ab.
c. 32. τὰ κατύπερθε eingeklammert von Krüger.
ἐπεὶ ὦν] ἐκείνους ὦν Bekker.
c. 33. ἐς τοῦτο] ἐς τοσοῦτο Ab.
c. 42. σφι] σφισι Stein.
c. 43. τῶν Ἡρακλέα ἕνα νομίζουσι. Καὶ ἐθέλων δέ] τῶν καὶ Ἡρακλέα ἕνα εἶναι νομίζουσι. Ἐθέλων δὲ Ab.
c. 44. μέγαθος] μεγάλως Wesseling.
c. 47. τοῦ αὐτοῦ χρόνου] τῷ αὐτῷ χρόνῳ Ab. Diese früher vorgeschlagene Aenderung ist unnötig (vgl. V 36).
c. 56. ἔπειτεν δουλεύουσα] ἔπειτεν δὲ δουλ. Stein.
c. 62. τῇσι θυσίῃσι] τῆς θυσίης Schweighäuser.
c. 65. ἐοῦσα δέ] δέ eingeklammert von Bekker.
τά vor ἱρά eingeklammert von Valla.
c. 70. γράφω] γράψω Naber.
c. 76. Nach ἴβιες ist mit Schweighäuser ἥδε eingeschoben.
c. 87. Nach πολυτελέστατα ist βουλομένους eingeschoben von Ab.
νεκρούς hinter σκευάζουσι gestrichen von Ab.
c. 94. ἄγρια eingeklammert von Ab.
c. 102. περί] περισσῶς. Schneidewin. δεινῶς von demselben eingeklammert.
c. 116. δέ· κατὰ γάρ] δὲ κατάπερ Reiz.
c. 121. ὡς] πρός Ab.
c. 126. ταχθέντα] προσταχθέντα Naber.
c. 127. ἐμετρήσαμεν] ἐμετρήσαμεν * * * Ab.

c. 135. Ῥοδώπιος] mit allen Handschriften Ῥοδῶπιν hergestellt von Ab.
c. 136. ἐκείνῳ eingeklammert von Ab.
c. 141. ἀπικομένου, τοῖσι ἐναντίοισι αὐτοῖσι] ἀπικομένοισι ἐναντίοισι Schäfer.
c. 149. Hinter ἐστὶ ist Αἴγυπτος eingeschoben von Ab.
c. 150. καὶ τό] καὶ κατὰ τό Krüger.
c. 152. μετ' ἑωυτοῦ eingeklammert von Ab.
c. 154. ἐν τούτοισι δή] ἐν τούτοισι δέ Eltz.
c. 160. εἶναι] ἐξεῖναι Naber.
c. 165. γενοίατο] aus den besseren Handschriften ist ἐγένοντο hergestellt.
ἀνέονται] ἀνεῖνται Bredow.
c. 175. οἵ] οἷα Abresch.
c. 180. αὐτομάτως] αὐτόματος Schäfer.
δέ hinter Δελφούς gestrichen von Ab.

Buch III.

c. 4. τὰ πολέμια] τὰ πολεμικά MPKF.
c. 8. τῶν ποιευμένων τὰς πίστις eingeklammert von Ab.
παρεγγυᾷ] παρεγγυᾶται Dietsch.
c. 14. καί vor ἐπὶ τῇ θυγατρί gestrichen.
Nach καὶ ταῦτα ὡς ἀπενειχθέντα ὑπὸ τούτου ist ἤκουσε eingeschoben von Ab. (vgl. Philol. X 565). In den gleich folgenden Worten εὖ δοκέειν οἱ εἰρῆσθαι ist οἱ nicht durch den Mediceus überliefert, wie ich, durch Gaisford's und Bähr's Angabe verführt, in der Anmerkung zu dieser Stelle angegeben habe; vielmehr bietet der Mediceus wie alle übrigen Handschriften: σφι.
c. 16. αὐτό nach πλησθὲν δέ gestrichen von Ab. (vgl. Cur. Her. p. 9).
c. 26. δέ nach ἄριστον gestrichen; es fehlt im Mediceus.
c. 33. τελέσαι Κῦρον gestrichen von Ab.
c. 40. τοι αὐτῇσι] τῇσι.
c. 45. λόγος] So alle Handschriften (auch der Mediceus). ὁ λόγος Ab.
c. 48. κατὰ — γεγονός eingeklammert von Ab.
c. 49. Nach ἑωυτοῖσι ist συγγενέες eingeschoben.
c. 50. περὶ θυμῷ ἐχόμενος] περιθύμως ἔχων Ab. (vgl. Cur. Herod. p. 12).
c. 56. λέγεται] λέγεσθαι Ab.
c. 80. κατηρτημένον] κατηρτισμένον Stephanus.
c. 89. ἑβδομήκοντα] ἑβδ. καὶ ὀκτώ nach Hultsch Metrol. S. 142.
c. 95. ͵θ φ' μ'] ͵θ ω' π' nach Hultsch (N. Jahrb. f. Phil. 1862 S. 387 ff.).
c. 102. ἐς ταχυτῆτα] ἐς gestrichen von Ab.
c. 114. πάντα] παντοῖα Naber.
c. 128. ἔχοντα] λέγοντα Ab. (Cur. Herod. p. 4).
c. 136. οὐνομάστατα] ὀνομαστά Mediceus.
c. 139. Nach πάντως τοι ist ein Punkt gesetzt.
c. 148. προθεῖτο] προθέοιτο Krüger.
c. 154. Δαρείῳ] Δαρείου Mediceus.
c. 155. καὶ ἔπειτεν] καί gestrichen von Ab.

Buch IV.

c. 5. ἐπὶ τούτων ἀρχόντων] ἀρχόντων gestrichen von Stein.
c. 6. Nach Σκολότους ist Σκολότου eingeschoben von Ab.
c. 10. τὸ — Σκύθῃ gestrichen von Ab.
c. 11. δέοι μένοντας κινδυνεύειν] Die besten Handschriften: δεόμενα κινδυνεύειν. Danach ist δέοι ἀνακινδυνεύειν hergestellt von Ab. (vgl. Phil. X 710 ff.).
c. 18. ἄνω] ἄνω ἰόντι Krüger.

c. 24. Ὀργιεμπαῖοι] Ἀργιππαῖοι MPKF.
c. 34. θυούσας] ἑρδούσας Eldicke nach MPKF (ἐχούσας). Vgl. Phil. X 710 ff.
c. 36. λέγων] λέγοντα Schweighäuser.
c. 53. Δήμητρος] Μητρός MPKF.
c. 62. τῶν ἀρχηίων] ἐν τῷ ἀρχηίῳ Ab.
c. 65. ἀποπρίσας ἕκαστος] ἕκαστος gestrichen.
c. 66. τοῖσι δ' ἂν] τοῖσι δή eine Handschrift.
c. 70. ὑπέατι] ὀπέατι.
c. 76. τοί γε ὦν] τοιγαρῶν Ab.
c. 79. διεπρήστευσε] διέδρη ἐνθεῦτεν Ab. (vgl. Cur. Herod. p. 13).
c. 103. ἐπαναχθέντας] ἀπενειχθέντας Dietsch.
c. 119. οὐ πεισόμεθα] ἀπωσόμεθα (vgl. Philol. X 711 ff.).
c. 122. καὶ τοῦ] καὶ πρὸς τοῦ Ab.
c. 127. τοῦτο — ῥῆσις gestrichen von Stein.
c. 136. διοίχηνται] διοίχονται Mediceus.*)
στρατεύσασθαι] στρατεύσεσθαι Ab.
c. 139. Nach βιώμενοι sind die Worte καὶ βουλόμενοι gestrichen (sie fehlen im Mediceus).
c. 159. κατὰ τάντά] κάρτα ταῦτα Ab. Die Handschr. κατὰ ταῦτα.
c. 162. τοῦτο γὰρ ἐπί] τοῦτο ἐπεὶ ἐπί Ab. Ausserdem ist die Interpunction hinter ἔλεγε getilgt.
c. 172. ὀμνύουσι eingeschoben nach τούτους.
c. 201. φάναι eingeklammert von Krüger.

Buch V.

c. 13. τίνες δέ] τίνες τε Ab.
ἐποιέετο] ἐπεποίητο Ab.
c. 16. κατοικημένους ἐξαιρέειν ὧδε] ἐξαιρέειν κατοικημένους ὧδε Ab.
c. 17. ὑπερβάντα] ὑπερβάντι Ab.
c. 22. ἑλομένου] στελλομένου Dietsch.
c. 23. μισθὸν δωρεήν] δωρεὴν μισθόν Ab.
c. 24. καὶ ἐς] καὶ σὲ ἐς Ab.
c. 27. τελευτᾷ] τελευτᾷ * * * Ab.
c. 31. δίκαια] δίκαιον Mediceus.
παρέχειν ἐστί Mediceus.
c. 42. παρὰ ποταμόν] παρὰ Κίνυπα ποταμόν Stein.
c. 52. Nach οὐνομαζόμενος ist Ζάβατος eingeschoben.
c. 55. Die Worte τῷ ἑωυτοῦ πάθεϊ sind mit Jacobs gestrichen.
c. 63. Für Κονιαῖον ist Γονναῖον geschrieben.
c. 69. τάτε πάντα] τότε ἐπανιών (die besten Handschriften MPKF: τότε πάντων).
c. 76. ὀρθῶς] ὀρθῶς πρῶτος Naber.
c. 77. ἐν πέδαις] ἐν πέδῃσι.
c. 85. τούτους] τριηκοσίους Ab.
In c. 88 ist καί und ἔτι eingeklammert von Ab.
c. 88. ἐκ τότε] ἔκ τε τόσου MPKF. ἐκ τόσου Krüger. **)
c. 91. ὥστε] ὥς γε Ab.

---

*) Genauer: διοίχονται (H über ι). Vergeblich hat H. Stein die Richtigkeit dieser Angabe hartnäckig zu leugnen gesucht (N. Jahrb. f. Phil. 1863 S. 624 u. 1865 S. 480). Das Facsimile des Bibliothekars der Laurentiana, P. de Furia, hat denselben seines (allerdings sehr auffälligen) Irrtums überführt (vgl. Zarncke liter. Centralblatt 1865 Nro. 51 u. Neue Jahrb. f. Philol. 1865 S. 876).

**) Dasz τὲ zu streichen sei, sah vor Stein schon längst Krüger. Um so auffälliger ist des ersteren Bemerkung in den N. Jahrb. f. Phil. 1865 S. 480 „ἐκ τόσου hatte ich (??) emendiert."

Buch VI.

c. 2. ἐς ἑωυτούς ist eingeklammert (Dietsch).
c. 11. ἐλασσώσεσθαι] ἐλασσωθήσεσθαι MPKF.
c. 13. τοῦ Δαρείου] Die Handschriften: τὸν Δαρεῖον, was mit Dietsch eingeklammert ist.
c. 23. ὥστε ἐών] ὥστε τότε ἐών Ab.
c. 37. εἶναι] εἶπαι Ab.
c. 42. ἔτι πλέον] ἐπὶ πλέον MPKF.
c. 49. ἔχοντας] ἐπέχοντας MPKF.
c. 69. τῇ δέ] τὰ δέ Ab.
c. 73. ευοδώθη] ὠρθώθη mit einer Handschrift (S).
c. 87. πεντήρης] πεντετηρίς Schoemann.
c. 95. παρά τε Ἰκάριον] παρά τε Ἴκαρον Gebhardt.
c. 107. μετέχει] κατέχει Ab.

Buch VII.

c. 3. δοκέειν — ἐβασίλευσε] δοκέει — βασιλεῦσαι Flor.
c. 5. ἀλλά] ἀλλ' εἰ MPKF.
c. 10. παρεόντος] παρεόντι MPKF.
κατηγορέων] ἐπηγορέων Ab.
c. 15. καλέοντα } eingeklammert mit Valckenaer.
c. 26. ἐν τῇ πόλι }
c. 60. πλήθεος ἀριθμόν] πλῆθος ἐς ἀριθμόν MPKF.
c. 133. Ξέρξης] ὁ Πέρσης MPKF.
c. 140. Ἀσιηγενές] Συριηγενές MPKF.
c. 154. ὅς ist mit Reiske gestrichen.
c. 157. μεγάλης] μεγάλως Reiske.
c. 162. οὗτος — εἴη mit Wesseling gestrichen.
c. 167. ὡς Συρηκόσιοι] Mediceus: ὡς Καρχηδόνιοι καὶ Συρηκόσιοι. Ab. Καρχηδόνιοι.
c. 203. πεσεῖν ἄν] ἄν mit Krüger eingeklammert.
c. 207. περισπερχεόντων] περισπερχθέντων Valckenaer.
c. 221. Die besten Handschriften: γέγονε, ὅτι καὶ τὸν μάντιν (mit Auslassung der Worte: οὐ γὰρ μοῦνον τοὺς ἄλλους ἀλλά).
c. 236. τῷ] τῶν alle Handschriften. Im Uebrigen vgl. Band IV S. 198. 199.

Buch VIII.

c. 2. ὡς τὸ πλῆθος] ὅσον πλῆθος Ab. Die Handschriften: ὡς τὸ πλῆθος.
c. 38. ἐπέχοντας ist eingeklammert.
c. 57. μενέειν] μένειν Mediceus.
c. 60. ἐς (vor τὸ ἥκιστα) ist mit Krüger eingeklammert.
c. 84. ἀνακρούεσθε] ἀνακρούσεσθε Krüger.
c. 86. οὐ τεταγμένων] οὔτε τεταγμένων Baiter.
c. 96. ἀποπλῆσθαι] ἀποπεπλῆσθαι Ab. Die Handschriften: ἀποπλῆσαι.

Buch IX.

c. 33. Κλυτιάδην ist mit Valckenaer gestrichen.
c. 53. Πιτανήτεω] Πιτανητέων alle Handschriften.
c. 66. ἤϊε] ἦγε aus einigen freilich schlechteren Handschriften (SV) hergestellt.
c. 73. δήμου] Die besseren Handschriften: ἐκ δήμου. Koenius: ἐὼν δήμου.

c. 82. *κατὰ Μαρδονίῳ*] *κατά* gestrichen von Ab. Die Handschriften: *καθὼς Μαρδονίῳ*.
c. 97. *ἐπ' ἀμφότερα ἐπιλεγόμενοι γάρ*] *ἐπ' ἀμφότερα γὰρ ἐπιλεγόμενοι* Ab.
c. 98. *τοῖσι Ἕλλησι* eingeklammert von Ab.
c. 100. *αὐτῆς* ist eingeklammert und für *συμπίπτοντος* mit den Handschriften *συμπιπτούσης* gesetzt.
c. 106. *Πελοποννησίοισι*] *Πελοποννησίους* Schweighäuser.
c. 107. *ἔτι πλέον*] *ἐπὶ πλέον*.
c. 120. *σίνεσθαι*] *τίνεσθαι* die meisten Handschriften.

II. Verzeichnis der Eigennamen.

III. Grammatisches Register.

Plan von Plataeae. (Herod. IX. 58—69.)

1: 100000 — 5 Stadien

a Perser
b Athener
c Lakedaimonier
d Übrige hellenische Bundesgen.

I. Erste Stellung der Heere. II. Zweite Stellung. III. Dritte Stellung.

Plan zur Seeschlacht bei Salamis. (Herod. VIII. 76—93.)


UNIVERSITY OF ILLINOIS-URBANA
3 0112 114887745